# ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ
## ΑΝΘΟΛΟΓΙΟΝ.

# JOANNIS STOBÆI
## FLORILEGIUM.

AD MANUSCRIPTORUM FIDEM EMENDAVIT ET SUPPLEVIT

THOMAS GAISFORD, A.M.

GRÆCÆ LINGUÆ PROFESSOR REGIUS.

VOL. III.



OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCCXXII.

5809
30/9/00

# ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

## ΑΝΘΟΛΟΓΙΟΝ.

### ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ ΓΑΜΟΣ. ΞΖ.

1 [a] Εὐριπίδου Οἰδίποδι.

Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή.
ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω,
τέκνων θ' [b] ἁμαρτεῖν, καὶ πάτρας, καὶ χρημάτων,
ἀλόχου τε κεδνῆς· ὡς μόνων τῶν χρημάτων
ἣ κρεῖσσόν ἐστιν ἀνδρὶ, σώφρον' ἂν λάβῃ.

2 [a] Εὐριπίδου.

Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή.

3 [a] Ἀπολλωνίδου.

Φεῦ φεῦ γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα
οὐ χρυσὸς, οὐ τυραννὶς, οὐ πλούτου χλιδὴ
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς,
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία, καὶ φρονοῦσα τἄνδικα.

4 [a] Θεόγνιδος.

Οὐδὲν, Κύρν', ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικὸς,
μάρτυς ἐγώ· σὺ δέ [b] μοι γίγνου ἀληθοσύνης.

1.

[a] Sic A. Scil. fr. 9. Simpl. Εὐριπίδου Trinc.

[b] ἁμαρτάνειν] ἀμαρτεῖν A. Trinc. πέτρας mox Trinc.

2.

[a] Sic A. v. Œdip. fr. 1. Deest lemma Trinc.

3.

[a] Sic A. Trinc.

4.

[a] Sic A. Trinc. Scil. v. 1224.

[b] μοῦ] μοι A. B.

5 [a] Σοφοκλέους.

Τίς δ᾽ οἶκος ἐν βροτοῖσιν [b] ὠλβίσθη ποτὲ,
γυναικὸς ἐσθλῆς χωρὶς, ὀγκωθεὶς χλιδῇ;

6 [a] Ἀπολλωνίδου.

Γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι
σοφοῦ τινος γένοιτ᾽ ἂν ἵστορος λόγων.

7 [a] Εὐριπίδου Ὀρέστου.

Ὦ τὰς φρένας μὲν [b] ἄρσενας κεκτημένη,
τὸ σῶμα δ᾽ ἐν γυναιξὶ θηλείαις πρέπον.

8 [a] Τοῦ αὐτοῦ.

Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ
ἐσθλὴ παραζευχθεῖσα, καὶ [b] σώζει δόμους.

9 [a] Μενάνδρου.

Ἔνεστ᾽ ἀληθὲς φίλτρον [b] εὐγνώμων τρόπος,
τούτῳ κατακρατεῖν ἀνδρὸς εἴωθεν γυνή.

10 [a] Εὐριπίδου Ἀνδρομέδας.

Τῶν γὰρ πλούτων ὅδ᾽ ἄριστος,
γενναῖον λέχος εὑρεῖν.

11 [a] Μενάνδρου.

Οἰκεῖον οὕτως οὐδέν ἐστιν, ὦ Λάχης,
ἐὰν σκοπῇ τις, ὡς ἀνήρ τε καὶ γυνή.

12 [a] Ἀλεξάνδρου.

Ταμεῖον ἀρετῆς ἐστι γενναία γυνή.

5.

[a] Sic A. Scil. fr. inc. 24. Deest locus Trinc.

[b] ὀλβίστη] ὠλβίσθη A. B. e conjectura Scaliger.

6.

[a] Sic A. Deest lemma Trinc.

7.

[a] Sic A. Scil. v. 1204. Deest lemma Trinc.

[b] ἄρσενας] ἄρσενος A. B.

8.

[a] Sic A. Scil. fr. inc. 48. Deest lemma Trinc.

[b] σώζει] αὔξει A.

9.

[a] Sic A. Cleric. p. 228. Deest locus Trinc.

[b] εὐγνώμων] εὐγνωμόνων B.

10.

[a] Sic A. Scil. fr. 14. Deest lemma Trinc.

11.

[a] Sic A. Cleric. p. 228. Deest locus Trinc.

12.

[a] Sic A. Deest lemma Trinca-

13 [a] Εὐριπίδου Ἀντιγόνης.

Ζευχθεὶς γάμοισιν οὐκέτ᾽ ἔστ᾽ ἐλεύθερος·
ἀλλ᾽ ἕν γ᾽ ἔχει τὶ χρηστόν· ἐν κήδει γὰρ ὢν
ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν.

14 [a] Ἱπποθόωντος.

Ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή.

15 [a] Εὐριπίδου Φρίξῳ.

Γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει
ἥδιστόν ἐστι, δώματ᾽ ἢν οἰκῇ καλῶς,
ὀργήν τε πραΰνουσα καὶ [b] δυσθυμίας
ψυχὴν μεθιστᾶσ᾽· [c] ἡδὺ καὶ ἀπάται φίλων.

16 [a] Ἐκ τῶν Ἀρίστωνος.

Σπαρτιατῶν νόμος τάττει ζημίας, τὴν μὲν πρώτην ἀγα- 412 μίου· τὴν δευτέραν, ὀψιγαμίου· τὴν τρίτην καὶ μεγίστην, κακογαμίου.

17 [a] Πιττακοῦ.

[b] Πιττακὸς ἐπύθετό τινος διότι οὐ βούλεται γῆμαι· τοῦ δὲ φήσαντος, Ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν· ἐὰν δὲ αἰσχρὰν, ἕξω ποινήν· Οὔμενουν, ἔφη, ἀλλ᾽ ἐὰν μὲν καλὴν γήμῃς, οὐχ ἕξεις ποινήν· ἐὰν δὲ αἰσχρὰν, οὐχ ἕξεις κοινήν.

18 [a] Γαΐου ὑπὲρ Λουκίλλης.

Πολλάκις γὰρ γυνὴ καὶ παῖδας [b] ὑπερεβάλετο εὐνοίᾳ τῇ

vel. Fortasse ex Euripidis Alexandro desumtus est versus.

13.

[a] Sic A. Scil. fr. 8. Deest lemma Trinc.

14.

[a] Sic A. Hipponacti tribuit Arsen. Deest lemma Trinc.

15.

[a] Sic A. Scil. fr. 11. Deest lemma Trinc.

[b] δυσθυμίας] δυσθυμίαν Trinc.

[c] ἡδὺ καὶ ἀπάται] ἡδὺν καὶ ἀπαντᾶ Voss. Trinc. et sic A. nisi quod habet ἅπαντα. ἡδὺ κἀπάται B.

16.

[a] Sic A. Trinc. Vide Plutarchi Lysand. fin. p. 451. A. B.

17.

[a] Πιττακὸς A. Deest lemma Tr.

[b] Πιττακοῦ ἐπύθετό τις Voss. Tribuitur hoc dictum Bioni et aliis. Videatur Menagius ad Diog. Laërt. IV. 48.

18.

[a] Sic A. Trinc.

[b] ὑπερεβάλετο] ὑπερεβάλλετο Voss. Trinc.

πρὸς τὸν ἄνδρα· ἡ γὰρ τοῦ βίου κοινωνία [c] μακροτέραν τὴν φιλίαν ποιεῖ τῶν τεχθέντων ἅπαξ.

19 [a] Δημοσθένους ἐκ τοῦ κατὰ Νεαίρας.

Τὰς μὲν γὰρ ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν, τὰς παλλακὰς [b] δὲ τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώματος, τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως, καὶ τῶν ἔνδον φύλακα πιστὴν [c] ἔχειν.

20 [a] Μουσωνίου ἐκ τοῦ Εἰ ἐμπόδιον τῷ φιλοσοφεῖν γάμος.

Ἄλλου δέ τινος φήσαντος, ὅτι ἐμπόδιον αὐτῷ δοκοίη εἶναι [b] τῷ φιλοσοφεῖν [c] ὁ γάμος καὶ ὁ σὺν γυναικὶ βίος, Πυθαγόρᾳ μὲν, εἶπεν ὁ Μουσώνιος, οὐκ ἐμπόδιον ἦν, οὐδὲ Σωκράτει, οὐδὲ Κράτητι, ὧν ἕκαστος συνῴκησε γυναικί· καὶ οὐκ ἂν ἔχοι τὶς εἰπεῖν ἄμεινον ἐκείνων ἑτέρους φιλοσοφήσαντας. Καίτοι γε Κράτης ἄοικός τε καὶ [d] ἀσκευὴς καὶ ἀκτήμων τέλεον ἦν, ἀλλ' ὅμως ἔγημεν· εἶτα μηδ' ὑπόδυσιν ἔχων ἰδίαν, ἐν ταῖς δημοσίαις Ἀθήνησι στοαῖς διημέρευε [e] καὶ διενυκτέρευε μετὰ τῆς γυναικός· ἡμεῖς δὲ ἀπ' οἰκίας ὁρμώμενοι, καὶ οἰκέτας τοὺς ὑπηρετοῦντας ἔχοντες ἔνιοι, τολμῶμεν ὅμως λέγειν ἐμπόδιον εἶναι φιλοσοφίᾳ γάμον; Καὶ μὴν ὅ γε φιλόσοφος διδάσκαλος δήπου καὶ [f] ἡγεμὼν πάντων τοῖς ἀνθρώποις ἐστὶ τῶν κατὰ φύσιν [g] ἀνθρώπῳ προσηκόντων· κατὰ φύσιν δ', εἴ τι ἄλλο, καὶ τὸ γαμεῖν φαίνεται [h] εἶναι. Ἐπεὶ [i] τοῦ χάριν ὁ τοῦ ἀνθρώπου δημιουρ-

[c] μακροτέραν] μικροτέραν A. Mox λεχθέντων Trinc.

19.

[a] Sic A. Scil. p. 1386, 19. Simpl. Δημοσθένους. Trinc.

[b] δὲ om. A.

[c] ἔχειν om. Voss.

20.

[a] Sic A. qui a m. sec. super φιλοσοφεῖν scriptum habet ἡρουμένῳ. (f. ἡρημένῳ) Trinc. Εἰ ἐ. ὁ γάμος τῷ φιλοσόφῳ.

[b] τοῦ φιλοσοφεῖν] τῷ φιλοσοφεῖν A. B.

[c] γάμος] ὁ γάμος A. B.

[d] ἀσκευὴς] ἀσκηνὴς B.

[e] καὶ] κἀκεῖ B. et sic A. m. sec. ubi καὶ γὰρ m. pr.

[f] ἡγεμὼν καὶ] καὶ ἡγεμὼν A. Tr.

[g] ἀνθρώπων] Forte ἀνθρώποις. Gesner. ἀνθρώπῳ credo A. qui lituram habet in ultima litera. ἀνθρώπῳ B. ἀνθρώπῳ item Koënius ad Gregor. Dial. Dor. LXXX.

[h] οὖν] εἶναι A. B.

[i] τοῦ χάριν] τούτου χάρις A. τούτου

γὸς πρῶτον μὲν ἔτεμε δίχα τὸ γένος ἡμῶν, εἶτ' ἐποίησεν αὐτῷ διττὰ αἰδοῖα, τὸ μὲν εἶναι θήλεος, τὸ δὲ ἄρρενος· εἶτα δὲ ἐνεποίησεν ἐπιθυμίαν ἰσχυρὰν ἑκατέρῳ θατέρου τῆς θ' ὁμιλίας καὶ τῆς κοινωνίας, καὶ πόθον ἰσχυρὸν ἀμφοῖν ἀλλήλων [k] ἐνεκέρασεν· τῷ [l] μὲν ἄρρενι, τοῦ θήλεος· τῷ δὲ θήλει, τοῦ ἄρρενος; [m] Ἆρ' οὖν γνώριμον, ὅτι ἐβούλετο συνεῖναί τε αὐτὼ καὶ συζῆν, καὶ τὰ πρὸς τὸν βίον ἀλλήλων συμμηχανᾶσθαι, καὶ γένεσιν παίδων καὶ τροφὴν ἅμα ποιεῖσθαι, ὡς ἂν τὸ γένος ἡμῶν [n] ἀΐδιον ᾖ. Τί δ'; εἰπέ μοι, πότερα προσήκει ἕκαστον ποιεῖν καὶ τὰ τοῦ πέλας, καὶ ὅπως οἶκοι ὦσιν ἐν τῇ πόλει αὐτοῦ, καὶ ὅπως ἡ πόλις [o] μὴ ἔρημος ᾖ, καὶ ὅπως τὸ κοινὸν ἕξει καλῶς; Εἰ μὲν γὰρ [p] φῂς, ὡς τὸ αὑτοῦ σκεπτέον μόνον, ἀποφαίνεις τὸν ἄνθρωπον [q] λύκου μηδὲν διαφέροντα μηδ' ἄλλου θηρίου τῶν ἀγριωτάτων μηδενὸς, ἅπερ ἀπὸ βίας καὶ πλεονεξίας πέφυκε ζῆν, μὴ φειδόμενα μηδενὸς ἀφ' ὅτου [r] μέλλει καρποῦσθαί τι ἡδύ· ἄμοιρα μὲν κοινωνίας ὄντα, ἄμοιρα δὲ συνεργείας τῆς ἀπ' ἀλλήλων, ἄμοιρα δὲ δικαίου πάντος. Εἰ δ' ὁμολογήσεις τὴν ἀνθρω- 413
πείαν φύσιν [s] μελίσσῃ μάλιστα προσεοικέναι, ἣ [t] μὴ δύναται μόνη ζῆν, ἀπόλλυται γὰρ μονωθεῖσα, πρὸς ἓν δὲ καὶ κοινὸν ἔργον τῶν ὁμοφύλων [u] συννένευκε, καὶ συμπράττει καὶ συνεργάζεται τοῖς πλησίον· εἰ ταῦτα ταύτῃ ἔχει, καὶ ἔτι πρὸς τούτοις κακία μὲν ἀνθρώπου εἶναι ὑπείληπται ἀδικία τε καὶ ἀγριότης καὶ τὸ τοῦ πλησίον πράττοντος κακῶς ἀφροντιστεῖν, ἀρετὴ δὲ φιλανθρωπία καὶ χρηστότης καὶ δικαιοσύνη ἐστὶ, καὶ τὸ εὐεργετικὸν εἶναι, καὶ τὸ κηδεμονι-

χάριν B. Conf. cum seqq. Plato Sympos. p. 190. seqq. supra pag. 395.

[k] ἀνεκέρασεν] ἐνεκέρασεν B.

[l] μὲν γὰρ] γὰρ om. A.

[m] ἆρ' οὖν] ἆρ' οὐ οὖν A. ἆρ' οὐ B.

[n] ἀΐδιον] αἰδοῖον Trinc.

[o] μὴ] μὲν A.

[p] ὡς φῂς] ὡς om. Trinc. A.

[q] λύκου] λύκον Trinc.

[r] μέλλει om. A.

[s] μελίσσῃ μάλιστα] μάλιστα μελίσσῃ A.

[t] μὴ] οὐ A.

[u] συννένευκε] συνένευκε Trinc.

κὸν εἶναι τοῦ πέλας· οὕτω καὶ πόλεως ἑκάστῳ τῆς [w] ἑαυτοῦ φροντιστέον, καὶ τῇ πόλει οἶκον περιβλητέον. Ἀρχὴ δὲ οἴκου περιβολῆς, γάμος. Ὥστε ὁ ἀναιρῶν ἐξ ἀνθρώπων γάμον, ἀναιρεῖ μὲν οἶκον, ἀναιρεῖ δὲ πόλιν, ἀναιρεῖ δὲ σύμπαν τὸ ἀνθρώπειον γένος. Οὐ γὰρ ἂν διαμένοι μὴ γενέσεως οὔσης, οὐδ᾽ ἂν γένεσις εἴη μὴ γάμου ὄντος, ἥ γε δικαία καὶ νόμιμος. [x] Ὅτι μὲν γὰρ οἶκος, ἢ πόλις, [y] οὔτ᾽ ἐκ γυναικῶν συνίσταται μόνον, [z] οὔτ᾽ ἐξ ἀνδρῶν μόνον, ἀλλ᾽ ἐκ τῆς πρὸς ἀλλήλους κοινωνίας, δῆλον· ἀνδρῶν δὲ καὶ γυναικῶν κοινωνίας ἄλλην οὐκ ἂν εὕροι τὶς οὔτ᾽ ἀναγκαιοτέραν οὔτε προσφιλεστέραν. Ποῖος γὰρ [a] ἑταῖρος ἑταίρῳ οὕτω προσηνὴς, ὡς γυνὴ καταθύμιος τῷ γεγαμηκότι; ποῖος [b] δ᾽ ἀδελφὸς ἀδελφῷ; ποῖος δὲ γονεῦσιν υἱός; τίς δαὶ ἀπὼν οὕτω ποθεινὸς, ὡς ἀνὴρ γυναικὶ καὶ γυνὴ ἀνδρί; [c] τίνος δὲ παρουσία μᾶλλον ἢ λύπην ἐλαφρύνειεν ἂν, ἢ χαρὰν ἐπαυξήσειεν, ἢ συμφορὰν ἐπανορθώσειε; τίσι δὲ νενόμισται κοινὰ εἶναι πάντα, καὶ σώματα, καὶ ψυχαὶ, καὶ χρήματα, πλὴν ἀνδρὸς καὶ γυναικός; Ταῦτά τοι καὶ πάντες ἄνθρωποι πρεσβυτάτην νομίζουσι πασῶν τὴν ἀνδρὸς καὶ γυναικὸς φιλίαν· καὶ οὐδὲ μήτηρ ἢ πατὴρ νοῦν ἔχων οὐδεὶς ἀξιοῖ φίλτερος [d] τῶν ἑαυτοῦ τέκνων τῶν συνεζευγμένων γάμῳ. Καὶ ὁ λόγος δὲ ἐκεῖνος φαίνεται δηλοῦν, ὅσον προτερεῖ τῆς γονέων πρὸς τέκνα φιλίας ἡ γυναικὸς πρὸς ἄνδρα, ὅτι [e] Ἄδμητος δόσιν ταύτην λαβὼν παρὰ θεῶν, εἰ παράσχοι τὸν ἀνθ᾽ ἑαυτοῦ τεθνηξόμενον, ζῆσαι διπλασίον [f] χρό-

[w] ἑαυτοῦ] αὑτοῦ Trinc. Mox διαμένη A. quod sane malim, et mox ἦ.

[x] ὅτι] οὔτε A. B.

[y] οὔτ᾽] ὅστ᾽ Trinc.

[z] οὔτ᾽ ἐξ ἀνδρῶν μόνον om. A.

[a] ἕτερος ἑτέρῳ] Lego ἑταῖρος ἑταίρῳ. Gesner.

[b] δ᾽ om. Trinc.

[c] τίνος δαὶ] τὶς δὲ A. B.

[d] τῶν ἑ. τέκνων τῶν συνεζευγμένων] τῷ ἑ. τέκνῳ τῷ συνεζευγμένῳ A. B.

[e] Ἄδμητος] Ἄδμητον A.

[f] χρόνῳ] χρόνον A. Trinc. Dedi διπλασίον pro διπλασίῳ.

νον τοῦ τεταγμένου αὐτῷ, τῶν μὲν γονέων οὐκ ἔτυχεν ἐθελόντων προαποθανεῖν αὐτοῦ, καίτοι γεγηρακότων· ἡ γυνὴ δὲ ἡ γαμετὴ Ἄλκηστις, κομιδῆ νέα οὖσα, ἐδέξατο [g] ἑτοίμως τὸν θάνατον πρὸ τοῦ ἀνδρός.

Ὅτι δὲ μέγα καὶ ἀξιοσπούδαστον ὁ γάμος ἐστὶ, καὶ [h] ταύτῃ δῆλον. Θεοὶ γὰρ ἐπιτροπεύουσιν αὐτὸν, καθὸ νομίζοιται παρ᾽ ἀνθρώποις, μεγάλοι· πρώτη μὲν Ἥρα, καὶ διὰ τοῦτο [i] ζυγίαν αὐτὴν προσαγορεύομεν· εἶτα Ἔρως, εἶτα Ἀφροδίτη· πάντας γὰρ τούτους ὑπολαμβάνομεν ἔργον πεποιῆσθαι τοῦτο, συνάγειν ἀλλήλοις πρὸς παιδοποιΐαν ἄνδρα καὶ γυναῖκα. Ποῦ μὲν γὰρ Ἔρως [k] παραγίγνοιτ᾽ ἂν δικαιότερον, ἢ ἐπὶ νόμιμον ἀνδρὸς καὶ γυναικὸς ὁμιλίαν; ποῦ δὲ Ἥρα; ποῦ δὲ Ἀφροδίτη; πότε [l] δ᾽ ἂν εὐκαιρότερον εὔξαιτό τις τοῖς θεοῖς τούτοις, ἢ πρὸς γάμον ἰών; τί [m] δὲ καλοῦντες ἀφροδίσιον ἔργον προσηκόντως ἂν μᾶλλον καλοῖμεν, ἢ τὴν γαμετῆς τῷ γεγαμηκότι σύνοδον; Διὰ τί τοιγαροῦν 414 φαίη τὶς ἂν θεοὺς μὲν οὕτω μεγάλους ἐπισκοπεῖν, καὶ ἐπιτροπεύειν γάμον καὶ παιδοποιΐαν, μὴ προσήκειν δὲ ἀνθρώπῳ ταῦτα; Διὰ τί δὲ προσήκειν μὲν τῷ ἀνθρώπῳ ταῦτα, μὴ [n] προσήκειν δὲ τῷ φιλοσόφῳ; Πότερον κακίω εἶναι χρὴ τῶν ἄλλων τὸν φιλόσοφον; ἀλλ᾽ οὐ χρὴ, κρείττω [o] δὲ καὶ δικαιότερον καὶ καλοκἀγαθικώτερον. Ἢ ὅτι κακίων [p] οὐκ ἔστι καὶ ἀδικώτερος [q] ἀνὴρ τοῦ μὲν κηδομένου τῆς ἑαυτοῦ πόλεως ὁ μὴ [r] κηδόμενος, τοῦ δὲ τὸ κοινὸν σκοποῦντος ὁ τὸ αὑτοῦ μόνον ὁρῶν; ἢ ὅτι φιλόπολις καὶ φιλάνθρωπος καὶ κοινωνικὸς μᾶλλον ἐστὶν ὁ μονήρη βίον αἱρούμενος, τοῦ νέ-

[g] ἑτοίμως] προθύμως A. B.

[h] ταύτῃ] ταύτην A.

[i] ζυγίαν] ἀζυγίαν Trinc.

[k] παραγίγνοιτ᾽] παραγένοιτ᾽ A. παραγίνοιτ᾽ Trinc.

[l] δ᾽ αὖ] δ᾽ ἂν A. B.

[m] δαὶ] δὲ A. B.

[n] προσήκειν μὲν] προσήκει δὲ A.

[o] δὲ] γὰρ A. B.

[p] οὐκ] κ᾽ οὐκ Trinc.

[q] ἀνὴρ] ἂν ἀνὴρ A. B.

[r] κηδόμενος] φειδόμενος A. B. Mox τὸ αὐτὸ Trinc.

μοντος οἶκον, καὶ ποιουμένου παῖδας, καὶ [s] πόλιν αὔξοντος τὴν ἑαυτοῦ, ἅπερ ὑπάρχει τῷ γαμοῦντι; Ὅτι μὲν οὖν προσήκει τὸν φιλόσοφον γάμου καὶ παιδοποιΐας ἐπιμελεῖσθαι, δῆλον. Εἰ δὲ προσήκει τοῦτο, πῶς ἂν ὀρθῶς ἔχοι, ὦ νεανίσκε, ὁ λόγος ἐκεῖνος, ὃν σὺ ἀρτίως ἔλεγες, ὡς ἐμπόδιόν ἐστι τῷ φιλοσόφῳ γάμος; οὐ γὰρ δὴ φιλοσοφεῖν ἕτερόν τι φαίνεται ὂν, ἢ τὸ ἃ πρέπει καὶ ἃ προσήκει λόγῳ μὲν ἀναζητεῖν, ἔργῳ δὲ πράττειν. Τότε μὲν δὴ τοιαῦτά τινα εἶπεν.

21 [a] Ἱεροκλέους ἐκ τοῦ Περὶ γάμου.

[b] Ἀναγκαιότατος ἐστιν ὁ περὶ τοῦ γάμου λόγος. Ἅπαν μὲν γὰρ ἡμῶν τὸ γένος ἔφυ πρὸς κοινωνίαν· πρώτη δὲ καὶ στοιχειωδεστάτη [c] τῶν κοινωνιῶν ἡ κατὰ τὸν γάμον. Οὔτε γὰρ πόλεις ἂν ἦσαν μὴ ὄντων οἴκων, οἶκός τε ἡμιτελὴς μὲν τῷ ὄντι ὁ τοῦ ἀγάμου, τέλειος δὲ [d] καὶ πλήρης ὁ τοῦ γεγαμηκότος.

22 [a] Ἐν ταυτῷ.

Οὐκ οὖν ἔχομεν ἐν τοῖς περὶ [b] οἰκιῶν [c] ἀποδεδειγμένον, ὥστε σοφῷ [d] προηγούμενος μέν ἐστιν ὁ μετὰ γάμου βίος, ὁ δ' ἄνευ γυναικὸς κατὰ περίστασιν; ὥστ' ἐπειδὴ χρὴ μὲν ἐν οἷς γε δυνάμεθα μιμεῖσθαι τὸν ἔχοντα νοῦν, τούτῳ δὲ προηγούμενόν ἐστι τὸ γαμεῖν, δηλονότι καὶ ἡμῖν ἂν εἴη καθῆκον, εἴ γε μή τις εἴη περίστασις ἐμποδών. Καὶ δὴ τοῦτο μὲν πρῶτον. Ἔοικε δὲ καὶ πρὸ τοῦ σοφοῦ παρακαλεῖν ἡμᾶς ἡ καὶ αὐτὸν τὸν σοφὸν ἐπὶ τὸν γάμον ἐξοτρύνουσα φύσις· ἥτις οὐ συναγελαστικοὺς ἡμᾶς ἀπειργάσατο μόνον, ἀλλὰ καὶ

[s] πόλιν] πόλιν ἄξιον A. B.

21.

[a] Sic A. Trinc.

[b] Ἀναγκαιότατος] ἀναγκαιότατον A. Mox ἔφη pro ἔφυ Trinc.

[c] τῶν om. A.

[d] καὶ om. A. Supra γάμου pro ἀγάμου Tr.

22.

[a] Sic A. Trinc.

[b] οἰκιῶν] οἴκων A. B.

[c] ἀποδεδειγμένον] Ita mss. cum Trinc. et Gesn. 1. 2. ἀποδεδειγμένοις Gesn. 3. et al.

[d] προηγούμενος μὲν] μὲν προηγούμενος Trinc.

συνδυαστικοὺς, μετὰ τοῦ [e] καὶ ἕν τε καὶ κοινὸν ἔργον [f] ὑποθεῖναι τῷ συνδυασμῷ· λέγω δὲ τὴν παίδων γένεσιν, καὶ βίου διεξαγωγὴν εὐσταθοῦς. Δικαία δὲ διδάσκαλος ἡ φύσις, ὅτι τῇ παρ' αὐτῆς κατασκευῇ σύμφωνον τὴν ἐκλογὴν χρὴ γίγνεσθαι τῶν καθηκόντων. Ζῇ γοῦν ἕκαστον τῶν ζώων ἑπομένως τῇ ἑαυτοῦ φυσικῇ κατασκευῇ, καὶ νὴ Δία τὸ φυτὸν ἅπαν ὡσαύτως, κατὰ τὸ ἐπὶ [g] τῶν [h] λεγομένων ζῆν· πλὴν οὐκ ἐκλογισμῷ καὶ ἀριθμήσει [i] τινι χρώμενα, καὶ ταῖς ὑπὸ τῶν βασανιζομένων ἐκλογαῖς· ἀλλὰ τὰ μὲν τῇ φύσει φυτὰ ψιλῇ, ψυχῆς γάρ ἐστιν ἀμέτοχα, τὰ δὲ ζῶα φαντασίαις τε σπώσαις ἐπὶ τὰ οἰκεῖα καὶ ἐξελαυνούσαις [k] προθυμίαις. Ἡμῖν δὲ ἡ φύσις ἔδωκε τὸν λόγον, τά τε ἄλλα πάντα, καὶ σὺν πᾶσι, μᾶλλον δὲ πρὸ πάντων, αὐτὴν κατοψόμενον τὴν φύσιν· ὅπως ὡς πρός τινα σκοπὸν [l] εὐ- 415
φεγγῆ τε καὶ ἀραρότα τεταγμένος [m] ταύτην, ἐκλεγόμενός τε τὸ σύμφωνον αὐτῇ πᾶν, καθηκόντως βιοῦντας ἡμᾶς ἀπεργάζοιτο.

23 [a] Ἐν ταυτῷ.

[b] Ὅθεν καὶ οὐκ ἂν ἁμάρτοι τὶς ἀτελῆ φήσας οἰκίαν τὴν ἄνευ γάμου, [c] τῷ μήτε τὸ ἄρχον ἄνευ τοῦ ἀρχομένου δύνασθαι νοηθῆναι, μήτ' ἄνευ τοῦ ἄρχοντος τὸ ἀρχόμενον· οὗτος γὰρ ὁ λόγος εὖ μάλα μοι δοκεῖ δυσωπεῖν τοὺς ἠλλοτριωμένους πρὸς γάμον.

[e] καὶ suprascriptum in A.
[f] ὑποθῆναι] ὑποθεῖναι A. Mox παίδων om. B.
[g] αὐτῶν] τῶν A. B. τὸν Trinc.
[h] λεγόμενον] λεγομένων A. B.
[i] τινα] τινι A. et sic Needhamus, qui mox dedit ἀπὸ pro ὑπό. Bentleius ἀνακρίσει pro ἀριθμήσει.
[k] προθυμίαις] προθυμίας A. Paullo supra Needhamus dedit τὰ μὲν φυτὰ τῇ φύσει ψιλῇ et mox ἐλαυνούσαις conjicit pro ἐξελαυνούσαις.
[l] εὖ φθέγγηται] Lego εὐφεγγῆ τε. Alius codex habet εὖ φεύγη τε. Gesner. φεύγητε A. φεύγηται B.
[m] πρὸς αὐτὴν] ταύτην A. Trinc.

23.

[a] Sic A. Trinc.
[b] ὅθεν καὶ οὐκ] Deest καὶ Trinc.
[c] τῷ μήτε] τὸ μ. Trinc.

24 [a]Ἐν ταυτῷ.

Φημὶ τοίνυν καὶ σύμφορον εἶναι τὸν γάμον, πρῶτον μὲν ὅτι θεῖον ὡς ἀληθῶς φέρει καρπὸν τὴν [b]παίδων γένεσιν, οἳ παραστάται μὲν ἡμῖν οἷον συμφυεῖς ἔτι καὶ αὐτοῖς ἐρρωμένοις ἐν ἁπάσαις [c]γίγνονται πράξεσιν· [d]ἀγαθοὶ δὲ ἐπίκουροι κάμνουσιν ὑφ' ἡλικίας καὶ γήρᾳ [e]πιεζομένοις, οἰκεῖοι μὲν ἐν εὐπραγίαις εὐφροσύνης κοινωνοὶ, συμπαθεῖς δὲ ἐν τοῖς ἐναντίοις καιροῖς διάδοχοι τῶν ἀνιαρῶν. Ἔπειτα καὶ [f]πρὸ γενέσεως τέκνων λυσιτελὴς ἡ μετὰ γυναικὸς συμβίωσις. Πρῶτον [g]μὲν γὰρ [h]ἀποτετριμμένους τοῖς θυραίοις καμάτοις ὑποδέχεται θεραπευτικῶς ἀναλαμβάνουσα, καὶ μετ' ἐπιμελείας ἀνακτωμένη πάσης· ἔπειτα τῶν ὄντων δυσχερῶν ἐν τῇ διανοίᾳ λήθην ἐντίθησι. Τὰ γὰρ σκυθρωπὰ τοῦ βίου, περὶ μὲν τὴν ἀγορὰν, ἢ τὸ γυμνάσιον, ἢ τὸ χωρίον, ἢ καθόλου [i]πάσης μερίμνης ἀσχολίας, καὶ περὶ τοὺς φίλους τε καὶ συνήθεις διατρίβουσιν ἡμῖν, οὐκ ἔστι πρόχειρα τοῖς ἀναγκαίοις ἐπιπροσθούμενα [k]περισπασμοῖς· ἀνεθεῖσι δ' ἐκ τούτων, εἴς τε τὴν οἰκίαν ἐπανελθοῦσι, καὶ οἷον [l]εὐσχόλοις τὴν ψυχὴν γενομένοις, [m]ἐμπελάζει καιρῷ [n]χρώμενα τούτῳ τοῦ ἀνιᾶν ἡμᾶς, ὅτ' ἂν [o]γε ἔρημος εὐνοίας καὶ μονήρης ὁ

24.

[a] Sic. A. Præcedentibus conjungit Trinc.

[b] τῶν παίδων] Deest articulus A. Trinc.

[c] γίγνονται] γίγνεται A. B. γίγνεσθαι Trinc.

[d] ἀγαθοῖς] Lego ἀγαθοὶ. Gesn.

[e] πιεζομένοις] πιεζομένους B.

[f] πρὸς γένεσιν] προσγενέσεως A. πρὸς γενέσει Bentleius apud Needhamum, scil. *præter liberorum procreationem*, de qua supra egit. Dedi πρὸ γενέσεως.

[g] μὲν γὰρ] γὰρ om. Trinc.

[h] ἀποτετριμμένους] ἀποτετρῦμμένους A. ἀποτετρυμένους B.

[i] πάσης μερίμνης καὶ ἀσχολίας] πᾶσαν . . ἀσχολίαν B. πάσης μερίμνης ἀσχολίας Tr. πάσης μερίμνης ἀσχολία Nov. Coll. πάσας μερίμνας καὶ ἀσχολίας Needhamus.

[k] περισπασμοῖς] περισπασμοὶ A. Trinc.

[l] συσχόλοις] ἀσχόλοις A. B. Legendum εὐσχόλοις.

[m] ἐμπελάζει] ἐν πελάζει A.

[n] χρώμενα] κλώμενα A. B. κρώμενα Trinc.

[o] γε] γὰρ A. Trinc.

βίος. Ἡ γυνὴ δὲ παροῦσα μεγάλη γίνεται καὶ πρὸς ταῦτα παρηγορία, πυνθανομένη τὶ περὶ τῶν ἐκτὸς, ἢ περὶ τῶν ἔνδον ἀναφέρουσα καὶ συνδιασκεπτομένη, καί τινα διάχυσιν [p] κἀξ ἀπλάστου προθυμίας εὐφροσύνην παρέχουσα. Καὶ μὴν οἵα μέν ἐστιν ἐν ἑορταῖς συνεπιμεληθῆναι θυσιῶν καὶ ἱερουργιῶν, οἵα δ' ἐν ἀνδρὸς ἀποδημίαις εὐσταθῆ διατηρῆσαι καὶ μὴ παντάπασιν [q] ἀπροστάτευτον τὸν οἶκον, [r] οἵα δὲ κηδεμὼν οἰκετῶν, οἵα δὲ ἐν νόσοις [[s] οἵα δὴ] παραστάτις, μακρὸς ἂν γένοιθ' ὁ λόγος πάντ' ἐπεξιὼν τὰ κατὰ μέρος. Ἀρκεῖ γὰρ κεφάλαιον εἰπεῖν, ὡς δεῖ μὲν ἅπασιν ἀνθρώποις πρὸς μετρίαν τοῦ βίου διεξαγωγὴν δυοῖν, συγγενικῆς ἐπικουρίας, καὶ συμπαθοῦς εὐνοίας. Οὔτε δὲ συμπαθέστερόν τι γυναικὸς εὕροιμεν ἂν, οὔτε τέκνων συγγενέστερον. Παρέχει δ' ἑκάτερον ὁ γάμος. Πῶς [t] οὖν οὐχὶ λυσιτελέστατον ἡμῖν; Ἀλλ' ἔγωγε καὶ καλὸν ἡγοῦμαι τὸν [v] μετὰ γάμου βίον. Τίς γὰρ ἕτερος τοιοῦτος γένοιτ' ἂν οἰκίας κόσμος, οἷός ἐστιν ὁ κατὰ τὴν ἀνδρὸς καὶ γυναικὸς κοινωνίαν; οὐ μὲν δὴ [u] πολυτελεῖς οἶκοι, καὶ [w] ὀρθόστρωτοι

[p] ἐξ ἀπλάστους] κἀξ ἀπλάστου A. B. καὶ ἀπλάστους Trinc. mox καὶ om. A. Trinc. ante εὐφρ.

[q] ἀπροστάτευτον] ἀπροστάτητον A.

[r] οἷα δοκεῖ δαίμων] οἷα δὲ κηδεμὼν præclare Bentleius.

[s] οἷα δὴ παραστάτης] παραστάτις sine οἷα δὴ Bentleius. παράστατις præbet A. παραστάτις Trinc.

[t] οὖν om. A.

[v] μέτα γάμου] τοῦ γάμου Trinc.

[u] πολυτελεῖς] ποτατελεῖς A.

[w] ὀρθόστρωτοι] Forte κερόστρωτοι. Gesner.

Ib. Verba Hieroclis satis elegantia sunt, et frustra mutata, ut observat Cl. Salmasius ad Ælium Spartianum (p. 149.) Ut enim λιθόστρωτα generali nomine quæ *lapidibus strata*, ita quæ *in altum* ὀρθόστρωτα. Et quemadmodum apud Codinum, cum de trullo loquitur, πάτωσις dicitur quod in *solo* ponitur, μουσείωσις quod in *cameris*, ὀρθομαρμάρωσις quod in *parietibus*: ita de *pavimento* στρῶσις dicitur, de *parietibus* ὀρθόστρωσις. Igitur ὀρθόστρωτοι τοῖχοι sunt ὀρθομαρμαρωτοὶ, hoc est *crustis marmoreis et laminis inducti*. Deinde cum ψαλιστοὶ μυρρινῶνες *fornicati myrrhinones* reddit (Gesnerus) et ad marginem exponit, *loca myrtis consita opere topiario structis arcuatim, vel ejusmodi picturas*, non recte mentem authoris explicat, potius enim *forficati myrrhinones* dicendi sunt, quam

τοῖχοι, καὶ περίστοα τοῖς ὑπὸ τῆς [x] ἀπειραγαθίας θαυμα-
ζομένοις λίθοις διακεκοσμημένα, οὐδὲ ζωγραφία, καὶ ψα-
λιστοὶ μυρρινῶνες, οὐδ' ἄλλό τι τῶν ἐκπληττόντων τοὺς ἠλι- 416
θίους, κάλλος ἐστὶν οἰκίας· ἀλλὰ ζεῦγος ἀνδρὸς καὶ γυναικὸς, [y] συγκαθειμαρμένων ἀλλήλοις καὶ καθιερωμένων θεοῖς γαμηλίοις, γενεθλίοις, ἐφεστίοις, συμφωνούντων μὲν ἀλλήλοις, καὶ πάντα κοινὰ πεποιημένων, μέχρι καὶ τῶν σωμάτων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν ψυχῶν· καὶ [[z] περὶ] προστασίαν μὲν ἐχόντων τὴν ἐπιβάλλουσαν τοῦ οἴκου καὶ τῶν θεραπόντων, ἀνατροφὴν δὲ καὶ κηδεμονίαν τῶν τέκνων, ἐπιμέλειαν δὲ οὔτε σύντονον [a] οὔτε μὴν ῥᾴθυμον ἀλλ' ἐμμελῆ καὶ καθηρμοσμένην τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Τί γὰρ ἂν γένοιτο

κρεῖσσον καὶ ἄρειον,

κατὰ τὸν θαυμασιώτατον Ὅμηρον,

ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν [b] οἰκί' ἔχητον
ἀνὴρ ἠδὲ γυνή;

διὸ καὶ πολλάκις ἐθαύμασα τοὺς ὡς βαρὺν ἡγουμένους τὸν μετὰ γυναικὸς βίον. Οὐ γὰρ ἡ γυνὴ μὰ Δία βάρος ἢ φορτίον ἐστὶ, καθάπερ οὗτοι δοκοῦσιν· ἀλλ' ἥδε μὲν κἀκ τῶν ἐναντίων κοῦφόν τι καὶ ῥᾷστα φέρεσθαι δυνάμενον, μᾶλλον δὲ καὶ τῶν ὄντως [c] ἐπαχθῶν καὶ βαρέων κουφιστικόν. Οὐδὲν γὰρ οὕτω φορτικόν ἐστι τῶν ὄντων, ὥστε μὴ ῥᾷστον εἶναι συμφρονοῦσί γε ἀνδρὶ καὶ γυναικὶ, καὶ κοινῇ φέρειν αὐτὸ

*fornicati.* Ita Glossæ veteres Græco-Latinæ, ψαλίζω *forfico:* et Latino-Græcæ, *forficatio* ψαλίδωμα. Revera ψαλίζειν Græcis est *tondere.* Hesychius ψαλίξαι, κεῖραι. Ut igitur apud Martialem *tonsile buxetum,* ita Nostro ψαλιστοὶ μυρρινῶνες *tonsilia myrteta.* Pearson. Proleg. Hierocl. p. xxxvii. Equidem cum Gesnero ψαλιστοὶ vertam *fornicati.* Videatur Schneiderus ad Vitruv. VI. viii. 4.

[x] ἀπειραγαθίας] ἀπειρογαθίας B.

[y] συγκαθειμαρμένων] συγκαθειργμένων Wyttenbach. ad Plutarch. II. p. 138. B.

[z] περὶ προστασίαν] περὶ om. Gesner. ed. 3.

[a] οὔτε μὴ] οὔτε μὴν A. B. μὴ expungendum censuit Gesnerus.

[b] οἰκί'] Ex Homeri Od. Z. 183. ubi legitur οἶκον. Needham.

[c] ἐπαχθῶν] ἐπαχθέων A.

βουλομένοις. Βαρὺ δέ ἐστιν ὡς ἀληθῶς ἀφροσύνη καὶ δύσοιστον τοῖς αὐτὴν κεκτημένοις, ὑφ' ἧς δὴ καὶ τὰ φύσει κοῦφα γίνεται βαρέα, τά τε ἄλλα καὶ γυνή. Τῷ ὄντι γὰρ καὶ συχνοῖς [d] δή τισιν ἀφόρητος ἐγένετο ὁ γάμος, ἀλλ' οὐχὶ παρ' ἑαυτῷ, οὐδὲ [e] τῷ φύσει τοιάνδε τὴν μετὰ γυναικὸς εἶναι κοινωνίαν· ἀλλ' ὅτ' ἂν γαμῶμεν ἃς μὴ δεῖ, μετὰ τοῦ καὶ [f] αὐτοὶ παντάπασιν ἀπειροβίως διακεῖσθαι, καὶ ἀπαρασκεύως ἔχειν πρὸς τὸ ἀγαγεῖν ὡς χρὴ τὴν ἐλευθέραν ἄγεσθαι, τὸ τηνικαῦτα συμβαίνει χαλεπὴν καὶ ἀφόρητον γίνεσθαι τὴν κοινωνίαν. Ἀμέλει καὶ ταύτῃ χωρεῖ τοῖς πολλοῖς ὁ γάμος. Οὐ γὰρ ἐπὶ παίδων γένεσιν καὶ βίου κοινωνίαν ἄγονται γυναῖκας· ἀλλ' οἱ μὲν διὰ προικὸς ὄγκον, οἱ δὲ δι' ἐξοχὴν μορφῆς, οἱ δὲ δι' ἄλλας τινὰς τοιουτοτρόπους αἰτίας, αἷς χρώμενοι [g] κακοῖς συμβούλοις, οὐδὲν περὶ τῆς διαθέσεως καὶ τοῦ ἤθους τῆς νύμφης πολυπραγμονήσαντες, ὄλεθρον αὐτῶν θύουσι τὸν γάμον, καὶ θύραις κατεστεμμέναις τύραννον ἀντὶ γυναικὸς ἐπεισάγουσιν ἑαυτοῖς, καὶ ταῦτα μηδὲ ἐφ' ὁποσονοοῦν [h] ἀνταρκέσαι δυνάμενοι, καὶ τὴν περὶ τῶν πρωτείων ἅμιλλαν ἀγωνίσασθαι. Φανερὸν οὖν, ὡς [i] οὐ δι' αὐτὸν, ἀλλὰ διὰ ταῦτα πολλοῖς βαρὺς καὶ ἀφόρητος ὁ γάμος γίνεται. Χρὴ δ' οὔτ' ἀναίτια [j] φησὶν αἰτιᾶσθαι, [k] οὔτ' ἔγκλημα [l] πραγμάτων ποιεῖσθαι τὴν αὐτῶν ἀσθένειαν, [m] καὶ περὶ τὴν χρῆσιν αὐτῶν. Ἐπεί τοι καὶ ἀλόγιστον ἄλλως πανταχόθεν μὲν ἀφορμὰς ζητεῖν φιλιῶν, καί τινας προσποιεῖσθαι φίλους καὶ [n] ἑταίρους, οἷον συμ-

[d] δὴ] γὰρ δὴ A. B.

[e] τῷ φύσει τοιάνδε] τὰ φ. τοιάδε A. B.

[f] αὐτοὶ] αὐτοὺς Needhamus.

[g] κακοῖς] κακαῖς A. B.

[h] ἀνταρκέσαι δυνάμενοι] αὐταρκέσαι δυνάμενοι Trinc. ἀνταρκέσαι δυνάμενοι Can.

[i] οὐ δι'] οὐ om. Trinc.

[j] φασὶν] φησὶν A. B. i. e. Hom. Il. Λ. 653. N. 775.

[k] οὔτ'] οὐδὲ A.

[l] πραγμάτων ποιεῖσθαι] ποιεῖσθαι πραγμάτων A.

[m] καὶ περὶ] καὶ delet Bentleius apud Needhamum.

[n] ἑταίρους] ἑτέρους A.

μάχους ἐσομένους πρὸς τὰ τοῦ βίου δυσχερῆ· τὴν δὲ καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τῶν νόμων καὶ παρὰ τῶν θεῶν διδομένην ἄνεσιν συμμαχίαν τε καὶ βοήθειαν, τουτέστι τὴν ἐκ γυναικὸς καὶ τέκνων, [o] μὴ ζητεῖν τε καὶ προσποιεῖσθαι.

[a] Ἀντιπάτρου ἐκ τοῦ Περὶ Γάμου.

Ὁ εὐγενὴς καὶ [b] εὔψυχος νέος, ἔτι δ' ἥμερος καὶ πολιτικὸς, θεωρῶν διότι τέλειος οἶκος καὶ βίος οὐκ ἄλλως δύνα- 417
ται γενέσθαι, ἢ μετὰ γυναικὸς καὶ τέκνων· ἀτελὴς γὰρ ὥσπερ πόλις οὐχ ἡ ἐκ γυναικῶν μόνον, ἀλλὰ καὶ ἡ ἐκ ψιλῶν ἀνδρῶν· ὃν τρόπον [c] τε ποίμνη ἐπιγονὴν μὴ ἔχουσα, οὐ καλὴ, οὐδὲ βουκόλιον εὐθηνοῦν, πολὺ μᾶλλον οὐδὲ πόλις, οὐδ' οἰκία· ταῦτα [d] δὲ δὴ κατανενοηκὼς ὁ εὐγενὴς, καὶ ὡς φύσει πολιτικὸν γενόμενον, συναύξειν τὴν πατρίδα δεῖ. Καὶ γὰρ οὐκ ἂν ἄλλως [e] δύναιντο αἱ πόλεις σώζεσθαι, εἰ μὴ οἱ βέλτιστοι ταῖς φύσεσι τῶν πολιτῶν, ἢ τῶν γενναίων παῖδες, τῶν προτέρων καθαπερεὶ φύλλων καλοῦ δένδρου ἀπομαραινομένων καὶ ἀπορρεόντων, οὗτοι καθ' ὥραν [f] γαμοῖεν, καθαπερεί τινας γενναίους [g] βλαστοὺς διαδόχους τῇ πατρίδι καταλιπόντες, οἳ θάλλειν αὐτὴν ἀεὶ ποιοῖεν, καὶ τὴν ἀκμὴν ἀΐδιον φυλάττοιεν, καὶ ὅσον ἐφ' ἑαυτοῖς μηδέποτ' εὐεπίθετον τοῖς ἐχθροῖς, στοχαζόμενοι τοῦ καὶ ζῶντες καὶ μεταλλάξαντες ἀμύνειν τῇ πατρίδι καὶ βοηθεῖν, τῶν ἀναγκαιοτάτων καὶ [h] πρὸ τῶν καθηκόντων νομίζουσι τὸ συγκραθῆναι εἰς γάμον, [i] πᾶν μὲν τὸ τῇ φύσει ἐπιβάλλον σπεύδοντες ἐπιτελεῖν, πολὺ δὲ μάλιστα τὸ εἰς τὴν τῆς πατρίδος σωτηρίαν καὶ αὔξησιν ἀνῆκον, καὶ ἔτι μᾶλλον εἰς τὴν τῶν θεῶν τιμήν. Εἰ γὰρ ἐκλείποι τὸ γένος, [k] τίς τοῖς θεοῖς θύσει;

[o] μὴ ζητεῖν τ. κ. πρ. om. A. B.

25.

[a] Sic A. Trinc.

[b] εὔψυχος] ἔμψυχος B.

[c] τε ποίμνη] τε om. Trinc.

[d] δὲ] δὲ δὴ A. B.

[e] δύναιντο] δύνανται A.

[f] γαμοῖεν] γαμῶεν A.

[g] βλαστοὺς] μαστοὺς Trinc.

[h] πρὸ τῶν] πρώτων conj. Gesner. Nescio an scribendum una voce πρωτοκαθηκόντων.

[i] πᾶν] παρὰ A. B.

[k] τίς θεοῖς] τί τοῖς θεοῖς A. B.

λύκοι τινὲς, ἢ ταυροκτόνων γένος λεόντων. Συμβέβηκε δὲ καὶ τὸν μὴ πεῖραν ἐσχηκότα γαμετῆς γυναικὸς καὶ τέκνων ἄγευστον εἶναι τῆς ἀληθινωτάτης καὶ γνησίου εὐνοίας. Αἱ μὲν γὰρ ἄλλαι φιλίαι ἢ φιλοστοργίαι ἐοίκασι ταῖς τῶν ὀσπρίων ἢ τινων ἄλλων παραπλησίων κατὰ τὰς παραθέσεις μίξεσιν· αἱ δ' ἀνδρὸς καὶ γυναικὸς ταῖς δι' ὅλων κράσεσιν, ὡς οἶνος ὕδατι, [l] καὶ τοῦτο ἔτι μὲν μίσγεται δι' ὅλων. Οὐ γὰρ μόνον τῆς οὐσίας καὶ τῶν φιλτάτων πᾶσιν ἀνθρώποις τέκνων καὶ τῆς ψυχῆς, ἀλλὰ καὶ τῶν σωμάτων οὗτοι μόνοι κοινωνοῦσι. Καὶ κατ' [m] ἄλλον δὲ τρόπον εἰκότως μεγίστη ἐστίν. Αἱ μὲν γὰρ ἄλλαι κοινωνίαι καὶ ἑτέρας τινὰς ἀποστροφὰς ἔχουσι·

[n] ταύτας δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν

τὴν τοῦ ἀνδρός. [o] Προστίθεται γὰρ σώζουσα πατρὸς καὶ μητρὸς μὴ ἀγνώμονος ἕνα τοῦτον σκοπὸν τοῦ βίου ποιεῖσθαι καὶ τέλος, τοῦ τὸ ἀρέσκειν αὐτῷ τῶν γονέων ἑκατέρων παραχωρούντων ἑκουσίως τὰ πρῶτα τῆς εὐνοίας ἀπονέμειν, τὴν μὲν τῷ ἀνδρὶ, [p] τὸν δὲ τῇ γυναικί. Οὐκ [q] ἄπειρος δὲ τῆς πρὸς γυναῖκα συμβιώσεως καὶ ὁ Εὐριπίδης εἰς ταῦτα ἀποβλέψας, καὶ ἀποθέμενος τὴν ἐν τῷ γράφειν [r] μισογυνίαν, ταῦτ' εἴρηκεν·

Verba ταυροκτόνων λεόντων ad Sophocl. Phil. 400. respicere arbitratur Wakefieldius.

[l] καὶ τοῦτο ἔτι μὲν] καὶ τοιαῦτα ἕτερα, Wyttenbachius ad Plutarch. II. pag. 142. E. Aliis locum sanandum committit Schæferus Dionys. Halic. p. 139.

[m] ἄλλον δὲ] δὲ om. B.

[n] ταύτας] Euripid. Med. 247.

[o] προστίθεται γὰρ σώζουσα π. κ. μ. μὴ ἀ. ἕνα τοῦτον σκ. τ. β. π. κ. τ. τοῦ τὸ ἀρέσκειν αὐτῶν τῶν γ. παραχωρούντων] Wyttenbachius ad Plutarch. II. p. 142. E. conjicit, προτίθεται γὰρ σώζουσα π. κ. μ. μ. ἀγνώμονος εὔνοιαν, τοῦτον σκ. τ. β. καὶ ποιεῖται τέλος τοῦτο, ἀρέσκειν αὐτῷ. Mihi in mentem venit, προτίθεται γὰρ ἥγε (vel ὡς) οὖσα πατρὸς καὶ μητρὸς μὴ ἀγνώμονος ἕνα τοῦτον σκόπον τοῦ βίου ποιεῖσθαι καὶ τέλος τούτῳ ἀρέσκειν, αὐτῶν τ. γ. ἑκατέροις π. Pro τοῦ τὸ A. B. habent τούτων, αὐτῷ pro αὐτῶν cum Gesneri margine, et mox ἑκατέρων inserunt post γονέων.

[p] τὴν δε] τὸν δὲ A. B.

[q] ἄπειρος δὲ] ἀπείρως A. Trinc.

[r] μισογυνίαν] μισογονίαν A. B.

[s]Γυνὴ γὰρ ἐν νόσοισι καὶ κακοῖς πόσει
ἥδιστόν [t]ἐστι, δῶματ᾽ ἢν οἰκῇ καλῶς,
ὀργήν τε πραΰνουσα, καὶ δυσθυμίας
ψυχὴν μεθιστᾶσ᾽· ἡδὺ καὶ ἀπάται φίλων.

[v]Τυγχάνει δὲ καὶ ἡρωϊκὸν τὸ πρᾶγμα. Νῦν δὲ ἐν [w]ἰδίαις 418 πόλεσιν, ἅμα τῇ ἄλλῃ τῇ καθεστώσῃ [x]ἐκλύσει καὶ ἀναρχίᾳ καὶ τῇ ἐπὶ τὸ [y]καταφερὲς ῥᾴθυμον [z]ἐπικλίσει, καὶ τὸ γαμεῖν τῶν χαλεπωτάτων εἶναι δοκεῖ· [a]τὸν δὴ θεὸν ἐξουσίαν διδόντα πρὸς ἀκολασίαν καὶ ποικίλων ἡδονῶν ἀπόλαυσιν ἀγεννῶν καὶ μικροχαρῶν, ἰσόθεον νομίζουσι· [b]τὴν δὲ πρὸς τῆς γυναικὸς εἴσοδον, οἱονεί τινος φρουρᾶς εἰς πόλιν εἰσαγωγήν. Ἔοικε μέντοι δύσκολος ἐνίοις ὁ μετὰ γυναικὸς φαίνεσθαι βίος, διὰ τὸ μὴ δύνασθαι ἄρχειν, ἀλλ᾽ ἡδονῆς δούλους εἶναι· καὶ τοὺς μὲν ὑπὸ τοῦ κάλλους τεθηρευμένους, [c]τοὺς δ᾽ ὑπὸ τῆς προικὸς, τὰ μὲν ὑπ᾽ αὐτῆς ἑκουσίως καταχαρίζεσθαι τῇ γυναικὶ, καὶ μὴ διδάσκειν περὶ οἰκονομίας μηθὲν, μηδὲ περὶ αὐξήσεως οἴκου, μηδὲ τίνος ἕνεκα [d]συνεληλύθασι, μηδὲ περὶ θεῶν εὐσεβείας καὶ δόξης καὶ [e]δεισιδαιμονίας ἐμποιεῖν, μηδὲ τὸ τῆς τρυφῆς ὀλέθριον παριστάναι, μηδὲ τὸ ἀχάριστον τῶν ἡδονῶν, μηδὲ ἐθίζειν ἀτενίζειν εἰς τὸ ἔμπροσθεν τοῦ βίου καὶ πᾶν τὸ μέλλον ὀρθῇ τῇ γνώμῃ ἐκλογίζεσθαι, μηδὲ ἂν τυφλῶς καὶ ἀσκέπτως εὔελπιν εἶναι, μηδ᾽ ὅτι ἐὰν ὁ ἀνὴρ βουληθῇ, δύναται πάντως

[s] γυνὴ] εὐνὴ A. Trinc. et mox νοσεῖ pro πόσει.

[t] ἐστι] ἐπὶ A. Trinc. δῶμα ἂν Trinc. καὶ—μεθιστᾶσ᾽ om. A. Tr.

[v] τυγχάνει—γυνὴ δόξῃ om. Trinc.

[w] ἰδίαις] Forte ἐνίαις. GESNER.

[x] ἐκχύσει] ἐκλύσει A. B.

[y] καταφέρειν] καταφερὲς A. B. καὶ ante ῥαθυμὸν interjicit Wyttenbachius ad Plutarch. de S. N. V. p. 103.

[z] ἐπικληΐσει] ἐπικλίσει A.

[a] τὸν δὴ θεὸν] Leg. τὸν δὴ βίον vel βίοτον—ἰσόθεον cf. v. 44. VALCKEN. τὸν δ᾽ ἠΐθεον Jacobs.

[b] τῶν δὲ τῆς] τὴν δὲ πρὸς τῆς A. B. Delendum videtur πρός.

[c] τοὺς δ᾽] δ᾽ om. A.

[d] συνελήλυθας.] συνεληλύθασι A. B.

[e] δεισιδαιμονίας] δυσειδαιμονίας B. περὶ θεῶν δόξης εὐσέβειαν μὴ δεισιδαιμονίαν ἐμποιεῖν, μ. τ. τ. τρυφῆς Wyttenbach. ad Plutarch. de S. N. V. p. 35. Dedi τρυφῆς pro τροφῆς.

γενέσθαι ὧν ἐπιθυμεῖ· καὶ μὴ πρὸς τῷ παρόντι μόνῳ γίγνεσθαι, ἀλλὰ καὶ αὐτὴν συνεπιβλέπειν τὸ πόθεν καὶ πῶς, καὶ εἰ σωτηρίως καὶ [f] συμφερόντως εἰς τὰ ὅλα. Ἐπεὶ καὶ εἴ τις ταῦτα καὶ τὰ ἄλλα τὰ καλῶς τεθεωρημένα καὶ παραγγελλόμενα παρὰ τοῖς φιλοσόφοις δύναιτο πράττειν, [g] ὃ ἂν τῶν πλείστων καὶ κουφότατον εἶναι βάρος γαμετὴ γυνὴ δόξῃ. Ὁμοιότατον γάρ ἐστιν, ὡς εἴ τις μίαν ἔχων χεῖρα ἑτέραν ποθὲν προσλάβοι· ἢ ἕνα πόδα ἔχων ἕτερον ἀλλαχόθεν ἐκτήσατο. Ὡς γὰρ οὗτος πολὺ ἂν ῥᾷον καὶ βαδίσαι οὗ [h] θέλοι, καὶ [i] προσαγάγοιτο· οὕτως ὁ γυναῖκα εἰσαγόμενος ῥᾷον ἀπολήψεται [k] τὰς κατὰ τὸν βίον σωτηρίους καὶ συμφερούσας χρείας. Ἀντὶ γοῦν δύο ὀφθαλμῶν χρῶνται [l] τέσσαρσι· καὶ ἀντὶ δύο χειρῶν, ἑτέραις τοσαύταις, αἷς καὶ ἀθρόως πράττοι ἂν ῥᾷον τὸ τῶν χειρῶν ἔργον. Διὸ καὶ ἐὰν αἱ ἕτεραι κάμνοιεν, ταῖς ἑτέραις [m] ἂν θεραπεύοιτο· καὶ τὸ [n] σύνολον δύο [o] γεγονὼς ἀνθ᾽ ἑνὸς, μᾶλλον ἂν ἐν τῷ βίῳ κατορθῴη. Διόπερ τὸν νομίζοντα τὴν εἴσοδον τῆς γυναικὸς καταβαρύνειν τὸν βίον, καὶ δυσκίνητον ποιεῖν, ὅμοιον πάσχειν, ὡς εἴ τις πλείονας πόδας [p] κωλύοι προσλαβεῖν, ἵν᾽ ἐὰν πολὺ δέῃ βαδίζειν, μὴ ἐφελκώμεθα πολλούς· ἢ τῷ πλείονας [q] χεῖρας κτωμένῳ μέμφοιτο, ὅτ᾽ ἂν γάρ [r] τι δέῃ πράττειν [s] ἐμποδίσεσθαι ὑπὸ τοῦ πλήθους αὐτῶν. Κατὰ ταῦτα γὰρ καὶ εἴ τις προσλάβοι οἷον ἑαυτὸν ἕτερον (οὐθὲν

[f] συμφερόντως] εἰ συμφερόντως A. B.

[g] ὃ ἂν τῶν] Lego ῥᾷστον αὐτῷ καὶ κουφ. GESN. τὸ πάντων ἥδιστον κ. κ. Wakefield. κουφοτάτων A. B.

[h] θέλοι] θέλει B. Supra κτήσαιτο Wakefield. pro ἐκτήσατο.

[i] προσαγάγοιτο] γελάσαι καὶ προσαγάγοιτο A. B. βαδίσαι καὶ πρ. Tr.

[k] κατὰ τὰς τὸν βίον] τὰς κατὰ τὸν βίον A. Trinc.

[l] τέτταρσι] τέσσαρσι A.

[m] ἂν θερ.] αὖ θερ. Trinc.

[n] συνόδων] σύνοδον A. Gesner. marg. σύνολον B. ut e conjectura Tyrwhittus.

[o] γεγονὸς] γεγονὼς A. B.

[p] κωλύοι] κωλύει A.

[q] χεῖρας om. A. Trinc. Sequentia post μέμφοιτο om. Trinc.

[r] τι δέῃ] τοι δέοι A. δέοι B.

[s] ἐμποδίσεσθαι] ἐμποδισθήσεται B.

γὰρ διοίσει, εἴτε θῆλυ τοῦτό ἐστιν, εἴτε ἄῤῥεν) πολὺ ἐλαφρότερον καὶ [t] εὐκοπώτερον πάντα [v] ἂν πράξειεν τὰ ἔργα [w] φιλαγάθῳ ἀνδρὶ, καὶ θέλοντι [x] σχολὴν ἄγειν ἢ περὶ τοὺς λόγους, ἢ τὰ πολιτικὰ ἔργα, [y] ἢ ἄμφω ταῦτ', εἰ καὶ τελείως 419
τοῦτο εὐμετάθετόν ἐστιν. Ὅσῳ γὰρ μᾶλλον αὐτὸς ἀπὸ τῆς οἰκονομίας ἀπέστραπται, τοσούτῳ μᾶλλον τὴν [z] διαδεξομένην τὴν [a] οἴκησιν παραληπτέον, καὶ περὶ τὰ ἀναγκαῖα [b] ἑαυτὸν ἀπερίσπαστον. Οὐ κακῶς καὶ ὁ κωμικὸς ἐπιτέμνει σχολαστὴς,

[c] Δεῖ δ' οἶμαι γαμεῖν
τὸν ἐπιμελῆσαι δυνατὸν οἰκονομεῖν ὄχλον
πλείω.

ἐπιφωνήσας,

τὸν ἀμελῆ μᾶλλον ἐπιθυμοῦντα δὲ
σχολῆς, ἵν' ἔχων οἰκονόμον ἀδεῶς περιπατῇ.

26 [a] Πλάτωνος Νόμων ς.

Περὶ γάμων δὴ ταῦτ' [b] ἔστω παραμύθια λεγόμενα, ὡς χρὴ τῆς ἀειγεννοῦς φύσεως ἀντέχεσθαι, τῷ παῖδας παίδων καταλείποντι ἀεὶ τῷ θεῷ ὑπηρέτας ἀνθ' αὐτοῦ παραδιδόναι.

27 [a] Ἐν ταυτῷ.

Γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμπάδα [b] τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων.

[t] ἀκωπότερον] εὐκοπώτερον A. B.
[v] ἂν] ἢ A. B.
[w] φιλαγάθῳ] Addo τὰ καθήκοντα. GESNER.
[x] σχολὴν] σχολεῖν A.
[y] ἢ] μὴ A. B.
[z] διαδεξομένην] διαδεξαμένην A. B.
[a] οἴκησιν] Forte διοίκησιν. GESNER.
[b] ἑαυτὸν] ἑαυτῶν A. B. Forte l. ἑαυτῷ. Post ἀπερίσπαστον Gesnerus addit τηρητέον.
[c] ἀεὶ] ἐστιν ἀεὶ A. B. δεῖ δ' Valckenærius et Tyrwhittus, qui versus distinxerunt. ἐπιθυμοῖντά γε Valckenærius.

26.

[a] Sic A. Seil. p. 773.
[b] ἔστω] ἔσται A. Voss. Trinc. Mox Voss. χρή τ'. Tr. ἀειγενοῦς.

27.

[a] Sic A. Seil. p. 776.
[b] τὸν βίον] τοῦ βίου Voss.

# ΟΤΙ ΟΥΚ ΑΓΑΘΟΝ ΤΟ ΓΑΜΕΙΝ. ΞΗ.

1 [a] Ἀναξανδρίδου.

Ὅστις γαμεῖν [b] βουλεύετ' οὐ βουλεύεται
ὀρθῶς, διότι βουλεύεται, χοὔτω γαμεῖ.
πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τῷ βίῳ.
[c] ἢν γὰρ πένης ὢν τὴν γυναῖκα χρήματα
λαβὼν ἔχει δέσποιναν, οὐ γυναῖκ' ἔτι,
[d] ἧς ἐστι δοῦλος καὶ πένης. ἢν δ' αὖ λάβῃ
μηδὲν φερομένην, δοῦλος [e] αὐτὸς γίγνεται·
δεῖ γὰρ τὸ λοιπὸν ἀνθ' ἑνὸς τρέφειν δύο.
ἀλλ' ἔλαβεν αἰσχράν· οὐ βιωτὸν ἔστ' ἔτι,
οὐδ' εἴσοδος τὸ παράπαν εἰς τὴν οἰκίαν.
ἀλλ' ἔλαβεν ὡραίαν τίς· οὐδὲν γίγνεται
μᾶλλόν τι τοῦ γήμαντος, ἢ τῶν γειτόνων.
ὥστ' [f] οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίγνεται.

2 [a] Ἀλέξιδος.

Τίς δῆθ' ὑγιαίνων, νοῦν τ' ἔχων, τολμᾷ ποτε
γαμεῖν διαπραξάμενος [b] ἥδιον βίον;
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον, ἢ γυναῖκ' ἔχειν,
πτωχῷ γε; τοὺς μὲν γοῦν ἀτίμους οὐκ [c] ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας·
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον

1.

[a] Sic A. Trinc.

[b] βουλεύεται] βούλεται Voss. Arsen. pro βουλεύετ' Gesn. marg.

[c] ἢν] ἣ A. Voss.

[d] ἧς ἐστι δοῦλος· καὶ πένης ἢν αὖ λάβῃ] Ita distinguere satius nobis visum, cum vulgo legeretur ἧς ἐστι δοῦλος καὶ πένης· ἢν δ' αὖ λάβῃ. Grotius.

[e] αὐτὸς] αὖθις Gesner. marg. αὔτως Grotius e Scaligeri emendatione.

[f] οὐδαμῶς] οὐδαμοῦ B.

2.

[a] Sic A. Trinc.

[b] ἥδιον] ἥδιστον B.

[c] ἐᾷ] ἐᾶν A.

ἔξεστιν εἶναι· τὰς γὰρ εὐθύνας μόνον
[d] ἐφημερινὰς τὰς τοῦ βίου κεκτήμεθα.

3 [a] Φιλήμονος.

Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

4 [a] Μενάνδρου.

Ὦ τρὶς [b] κακόδαιμον ὅστις ὢν πένης γαμεῖ,
καὶ [c] παιδοποιεῖθ'. [d] Ὡς ἀλόγιστός ἐστ' ἀνὴρ,
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
[e] μήτ' ἂν ἀτυχήσας εἰς τὰ [f] λοιπὰ τοῦ βίου,
[g] ἐπαμφιάσαι τοῦτο δύναιτο χρήμασιν·
ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος [h] ζῇ, τῶν ἀνιαρῶν ἔχων
τὸ μέρος ἁπάντων, τῶν δ' ἀγαθῶν οὐ [i] δυνάμενος.

5 [a] Ναυμαχίου.

Καλὸν μὲν δέμας ἁγνὸν ἔχειν, ἀδμῆτά τε μίμνειν
παρθενικὴν, καθαροῖσί τ' ἀεὶ μελεδήμασι χαίρειν·
μήτε [b] βαρυτλητῶν λαγόνων περὶ φόρτον ἄγουσαν,
μήτε πόνον τρομέουσαν ἀγάστονον Εἰλειθυίης,
ἀλλ' ἧσθαι βασίλειαν ἀφαυρῶν θηλυτεράων,
ψυχῆς ὄμμα φαεινὸν ὑπὲρ βιότοιο [c] χέουσαν,

[d] ἐφημερίνας] Vitium prodit penultima hujus vocabuli syllaba contra usum producta. Interjeci τὰς, nescio an recte.

3.

[a] Sic A. Trinc. Cleric. p. 154.

4.

[a] Sic A. Trinc. Cleric. p. 154.

[b] κακόδαιμον] κακοδαίμων Grot. ms. et B. v. Aulus Gellius II. 23.

[c] παιδοποιεῖθ'.] Ita Trinc. Gesn. 1. 2. παιδοποιεῖ. Gesn. 3. Gellius.

[d] ὡς—ὃς] ὃς—ὡς A.

[e] μήτ' ἂν ἀτυχήσας] εἰ μήτε ανατειχίσῃ Gellius. Sed μηταvατῦχισῃ ed. pr.

[f] λοιπὰ] κοινὰ Gellius.

[g] ἐπαμφιάσαι] ἐπαμφιέσθαι Gellius. ubi δύναται τοῦτο pro τοῦτο δύναιτο.

[h] ζῇ, τῶν ἀνιαρῶν] ζητῶν μὲν, ἀνιαρὸν δ' Gellius. Mox τῶν δ' om. ib.

[i] οὐ δυνάμενος] οὐδένος B. An l. οὐδὲν μέρος?

Ib. ὑπὲρ γὰρ ἑνὸς ἀλγῶν ἅπαντας νουθετῶ. Hic versus apud Gellium exstat connexus prioribus. Itaque adjecimus. Grotius. ἀλέγων non ἀλγῶν habet Gellius.

5.

[a] Sic A. Trinc.

[b] βαρυτλητῶν] βαρυτληθῶν A. Tr.

[c] χέασαν] χέουσαν A. B. Gesn. marg.

ἔνθα γάμοι κεδνοὶ καὶ ἀληθέες, ἔνθα μιγεῖσα
θεσπεσίοις ἐπέεσσι [d] νοήματα φάεα τίκτει.
εἰ δέ σε καὶ [e] ξυνοῖο πόθος βιότοιο [f] κιχάνοι,
καὶ τοῦτο προδαεὶς ἐρέω, πῶς χρή σε περῆσαι
τὸν πλοῦν, [g] ὡς φασὶν, τὸν δεύτερον [h] εὔφρονι θυμῷ.

6 [a] Φιλιππίδου Ἀνανεούσης.

Ἔλεγον ἐγώ σοι μὴ γαμεῖν, ζῆν δ' ἡδέως.
τὸ Πλάτωνος [b] ἀγαθόν ἐστι τοῦτο, [c] Φίδυλε,
μὴ λαμβάνειν γυναῖκα, μηδὲ τῇ τύχῃ
διὰ πλειόνων αὐτὸν [d] παραβάλλειν πραγμάτων.

7 [a] Ἀναξανδρίδου.

Κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ.

8 [a] Ἱππώνακτος.

Δύ' ἡμέραι γυναικός [b] εἰσὶν ἥδισται·
ὅτ' ἂν γαμῇ τις, κἀκφέρῃ τεθνηκυῖαν.

[d] νοήματα φαίδιμα τίκτει] Ita nos legendum conjicimus, pro φάεα. Forte malit alius νοήματα φάεα. MS. A habebat νοήμια. Grotius. Non ita: MS. A. habet νοήμτ͂ i. e. νοήματα, ut edd. Grotius in ms. post φάεα inserit, "aut "νοήμονα παιδία, ut νοήμονα sit po-"situm pro νοερὰ, ut et apud Ho-"merum." Idem: "Proclus in "Timæum: ὁ σπουδαῖος ὁρῶν ἑαυ-"τὸν καλὸν χαίρει καὶ εὐφραίνεται, "καὶ τίκτων ἐν ἑαυτῷ νοήματα καλὰ "τὴν ἑαυτοῦ συνουσίαν ἀσπάζεται. "Philo [De Vita Contempl. p. "899=482.] de virginibus: τῶν "περὶ τὸ σῶμα ἡδονῶν ἠλόγησαν· οὐ "θνητῶν ἐκγόνων ἀλλ' ἀθανάτων ὀρε-"χθεῖσαι, ἃ μόνη τίκτειν ἀφ' ἑαυτῆς "οἵα τε ἐστιν ἡ θεοφιλὴς ψυχή."

[e] ξείνοιο] ξυνοῖο A. B.

κιχάνει
[f] κιχάνοι] τυγχάνει A.

[g] ὥστε φασιν] ὡς φασι A. Trinc.

[h] εὔφρονι] ἔμφρονι A. B. Gesn. marg.

6.

[a] Sic A. Simpl. Φιλιππίδου Tr. Verum esse credo dramatis titulum Ἀνανέωσις, quem supra reddidi I. 13. e conjectura, quia locus iste mss. meis deerat. Nolui autem h. l. literulam mutare.

[b] ἀγαθὸν] ἀγαθὸν δ' B. δ' habet A. suprascriptum.

[c] φίλυδε] φίδυλε A. Voss. Arsen. Gesn. marg. φείδυλε B.

[d] παραβάλλειν] προβάλλειν A.

7.

[a] Sic A. Deest locus Trinc.

8.

[a] Sic A. Trinc.

[b] ἐστιν] εἰσὶν A. Trinc. et sic dedit Grotius e Scaligeri emendatione.

9 [a] Ἐπιχάρμου.

[b] Οὐδὲν γαίᾳ κλεινᾷ γυναικὸς βαρύτερον.
[c] οἶδ' ὁ συντυχών· μακάριος δ' ὃς ἀγνοεῖ.

10 [a] Μενάνδρου.

Μηδέποτε γήμῃ μηδὲ εἷς εὔνους ἐμοί.

11 [a] Μενάνδρου.

Γαμεῖν κεκρικότα δεῖ σε γιγνώσκειν, ὅτι
[b] ἀγαθῶν μεθέξεις, ἂν λάβῃς μικρὸν κακόν.

12 [a] Εὐριπίδου ἐξ Ἰνοῦς.

Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι.
[b] χρὴ γὰρ τὸν εὐτυχοῦνθ' ὅτι πλείστας ἔχειν
γυναῖκας, [c] εἴπερ ἂν τροφὴ δόμοις παρῆν·
ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων,
τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσώζετο.
νῦν δ' εἰς μίαν βλέπουσι κίνδυνον μέγαν
ῥίπτοντες· οὐ γὰρ [d] τῶν τρόπων πειρώμενοι
νύμφας [e] ἐς οἴκους ἑρματίζονται βροτοί.

9.

[a] Sic A. Trinc.

[b] Οὐδέν γ' ὦ Κλινία γυναικὸς βαρύτερον] Ita nos posuimus non longe recedentes a Scaligeri conjectura, οὐδὲν γα Κλινία, quod mihi videtur præter comœdiam δωριάζειν. Vulgo οὐδὲν γαίᾳ κλεινᾷ. MS. A. οὐδὲν γαία κλίνα. Grotius. Οὐθὲν γαῖα κλῖναι A.

[c] οὐ συντυχὼν εἶδε] Ita levi transportatione versum sanavi. Erat enim οἶδ' ὁ συντυχὼν, ex quo Scaliger conjectabat, οἶδας τυ κἠγὼν. Grotius. εἶδ' pro οἶδ' A. Trochaicos potius mutilos hic esse censet Dobræus in Aristoph. p. (115.)

10.

[a] Sic A. Trinc. Cleric. p. 228,

11.

[a] Sic A. Cleric. ib. Deest lemma Trinc.

[b] ἀγαθὸν] ἀγαθῶν B. Grotius. Idem ἀγαθοῦ in annot. e Scaligeri emendatione.

12.

[a] Sic A. Scil. Fr. 7. Simpl. Εὐριπίδου Trinc.

[b] χρὴ] χρῆν Grotius.

[c] εἴπερ ἂν] εἴπερ δὴ B. Utrumque ἂν et δὴ ignorant A. Trinc.

[d] τῶν τρόπων] τὸν τρόπον Trinc.

[e] ἐς οἴκους] ἴσοίκους A. ubi ἐ initio abrasum, ut videtur. εἰς οἴκους Trinc.

13 [a] Εὐριπίδου Ἄλκηστις.

Ζηλῶ δ' ἀγάμους ἀτέκνους τε βροτῶν.
[b] μία γὰρ ψυχὴ, [c] τῆς ὑπεραλγεῖν
μέτριον ἄχθος.

14 [a] Εὐριπίδου Ἄλκηστις.

Οὔ ποτε φήσω
γάμον εὐφραίνειν πλέον, ἢ λυπεῖν.

15 [a] Εὐριπίδου Σθενοβοίας.

Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατῄσχυν' ἐν δόμοισι νηπία.

16 [a] Φιλήμονος.

Τὸν [b] μόνον ὄντα καὶ κακὴ τύχη τρέφει.

17 [a] Ἀριστοφάνης ἐν Πολυΐδῳ.

Ἰδοὺ, δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι
Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοιχ' ἥξειν ἄγων.

18 [a] Μενάνδρου.

Τὸ γυναῖκ' ἔχειν, εἶναί τε παίδων, Παρμένων,
πατέρα, μερίμνας τῷ βίῳ πολλὰς φέρει.

19 [a] Σοφοκλέους Τηρεῖ.

Νῦν δ' οὐδέν εἰμι χωρὶς, ἀλλὰ πολλάκις
ἔβλεψα [b] ταύτῃ τὴν γυναικείαν φύσιν, 421

13.

[a] Sic A. Scil. v. 885. Deest lemma Trinc.

[b] μία γὰρ ψυχὴ τῆς] ψυχῇ δὲ μίᾳ τῆς δ' Gesn. marg. Grotius locum integrum ex Euripidis ed. exscripsit.

[c] τῆς] τῆς A. τῆσδ' B.

14.

[a] Sic A. Scil. v. 238. Deest lemma Trinc.

15.

[a] Sic A. Scil. Fr. 7. Deest lemma Trinc.

16.

[a] Sic A. Trinc. Cleric. p. 350.

[b] μόνον] Addo δὲ. Gesner. μόνιον edidit Grotius e Scaligeri emendatione. Idem proponit μοῦνον in notis. τὸν δὲ μόνον cum Gesnero Bentleius.

17.

[a] Sic A. Simpl. Ἀριστοφάνους Trinc.

18.

[a] Sic A. Trinc. Cleric. p. 228.

19.

[a] Sic A. Scil. Fr. 7. Simpl. Σοφοκλ. Trinc.

[b] ταύτῃ] ταύτην A. B.

ὡς οὐδέν ἐσμεν. [c] Αἱ νέαι μὲν γὰρ πατρὸς
ἥδιστον οἶμαι ζῶμεν ἀνθρώπων βίον·
[d] τερπνῶς γὰρ ἀεὶ πάντας ἡ [e] ἄνοια τρέφει·
ὅτ' ἂν δ' ἐς ἥβην ἐξικώμεθ' εὔφρονες,
ὠθούμεθ' ἔξω, καὶ διεμπολούμεθα
θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο·
αἱ μὲν ξένους πρὸς ἄνδρας, αἱ δὲ βαρβάρους,
αἱ δ' εἰς [f] ἀήθη δώμαθ', αἱ δ' ἐπίρροθα.
καὶ ταῦτ', ἐπειδ' ἂν εὐφρόνη ζεύξῃ μία,
χρεὼν ἐπαινεῖν, καὶ δοκεῖν καλῶς ἔχειν.

20 [a] Φιλήτα.

Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ [b] ἔχῃς.

21 [a] Διφίλου.

Γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.

22 [a] Χαιρήμονος.

Γυναῖκα θάπτειν κρεῖττόν ἐστιν, ἢ γαμεῖν.

23 [a] Φιλήμονος.

Γαμεῖν [b] ὃς ἐθέλει, εἰς μετάνοιαν ἔρχεται.

[c] αἱ νέαι γὰρ ἐν πατρὸς] Ita conjeci scribendum ut subintelligatur οἴκῳ. Vulgo erat, αἱ νέαι μὲν γὰρ πατρὸς, pro quo Scaliger αἱ νέαι μὲν γὰρ πάρος. GROTIUS. μὲν γὰρ ἐν B. μὲν ἐν Valckenærius Theocr. Adon. p. 322. B. et Brunckius.

[d] τερπνῶς] τερπνὸς Gesn. marg.

[e] ἄνοια] ἄγνοια conj. Brunckius.

[f] ἀληθῆ] ἀήθη B. Hoc vel ἀγήθη conj. Scaliger apud Grotium. Aliud quid subesse putat Valckenærius ad Euripid. Hippol. 628. σαλευτὰ Jacobsius apud Brunckium. Sed ut ut hoc, vv. ἀληθὴς et ἀήθης haud raro commutantur. v. Jortini *Tracts* II. p. 101. Routhii Reliq. Sacr. T. IV. p. 379. Supra XLIV. 9. p. 194. sive pag. 277, 52. Gesn. Paullo supra διεμπολώμεθα Valckenærius.

20.

[a] Φϊλῖτα A. Φιλήτου Trinc.

[b] ἔχῃς] λάβῃς conjicit Wakefieldus.

21.

[a] Sic A. Trinc.

22.

[a] Sic A. Trinc.

23.

[a] Sic A. Cleric. p. 350. Deest locus Trinc.

[b] ὃς ἐθέλει] ὁ μέλλων Menagius ad Diogen. Laert. II. 33. Porsonus in Adv. p. 296. πρὸς μετ. ἔ. vel potius μετάνοιαν μετέρχεται Bentleius.

24 [a] Ἱπποθόου.

[b] Ζευχθεὶς γάμοισιν οὐκ ἔτ' ἔστ' ἐλεύθερος.

25 [a] Μενάνδρου.

Ὅστις γενόμενος βούλεται ζῆν ἡδέως,
ἑτέρων γαμούντων αὐτὸς ἀπεχέσθω [b] γάμου.

26 [a] Θεοδέκτου.

Παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος.
τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν·
ὅτ' ἂν δὲ τύχωμεν, ὕστερον λυπούμεθα.

27 [a] Ἀντιφάνους.

Ὡς ἔστι [b] τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

28 [a] Μενάνδρου.

Πατρῷ' ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα,
[b] τὰ δὲ μετὰ γυναικὸς εἰσιόντ' εἰς οἰκίαν
οὔτ' ἀσφαλῆ τὴν κτῆσιν οὔθ' ἱλαρὰν ἔχει.

29 [a] Θάλητος.

[b] Θαλῆς τῇ μητρὶ γυναῖκα λαβεῖν δεομένῃ, Οὔπω καιρὸς, ἔλεγεν· εἶτα προβὰς, Οὐκέτι καιρός.

30 [a] Σωκράτους.

Σωκράτης ἐρωτηθεὶς τίνες μεταμέλονται τῶν ἀνθρώπων, εἶπεν, Οἱ γήμαντες.

31 [a] Πλάτωνος.

Πλάτων ἐρωτηθεὶς, Εἰ γήμας φιλοσοφήσω; Οὐκ εἰδὼς,

24.
[a] Sic A. Ἱπποθώου Trinc. Versus Euripidi in Antigona assignatur supra LXVII. 13.

25.
[a] Sic A. Cleric. p. 228. Deest locus Trinc. v. 1. πενόμενος Bentleius.
[b] γάμων] γάμου A.B.

26.
[a] Sic A. Trinc.

27.
[a] Sic A. Trinc.
[b] τὸ γ.—τοῦ δ.] τοῦ γ. τὸ δ. A.

28.
[a] Sic A. Trinc. Cleric. p. 232.
[b] τὰ μετὰ γυναικὸς δ' Porsonus Adv. p. 289.

29.
[a] Sic A. Deest lemma Trinc.
[b] Vide Menagium ad Diogen. Laert. I. 26.

30.
[a] Sic A. Deest locus Trinc.

31.
[a] Sic A. Deest lemma Trinc.

ἔφη, οὐδὲ μόνον σαυτὸν σώζειν, καὶ γυναῖκα ἐπὶ τῶν ὤμων συνδιασώσεις;

32 [a] Λυσίου.

Ἧι γὰρ ἂν ἡμέρᾳ γυνὴ προδῷ τὸ σῶμα καὶ τὴν τάξιν λίπῃ τῆς αἰδοῦς, εὐθέως παραλλάττει τῶν φρενῶν, ὥστε νομίζειν τοὺς μὲν οἰκείους ἐχθροὺς, τοὺς δὲ ἀλλοτρίους πιστοὺς, περὶ δὲ τῶν καλῶν καὶ αἰσχρῶν ἐναντίαν ἔχειν τὴν γνώμην.

33 [b] Σόλωνος.

[b] Σόλων συμβουλεύοντος τινὸς αὐτῷ κατὰ τῶν μὴ γαμούντων ἐπιτίμιον τάξαι· Χαλεπὸν, [c] εἶπεν, ὦ ἄνθρωπε, φορτίον ἡ γυνή.

34 [a] Θάλητος.

Θαλῆς ἐρωτηθεὶς διὰ τί ἀκμάζων οὐκ ἐπαιδοποίησεν, ἀπεκρίνατο· Διότι τὸ ζῆν οὐκ ἐβουλόμην [b] λύπαις αὐθαιρέτοις κατεγγυῆσαι.

35 [a] Λυκούργου.

Ὅτ' ἂν γυνὴ ὁμονοίας τῆς πρὸς ἄνδρα στερηθῇ, ἀβίωτος ὁ καταλειπόμενος γίνεται βίος.

36 Ἐπαμινώνδας ἐρωτηθεὶς τί ὀνεῖται ὁ μὴ γήμας, [b] μηδὲ παιδοποιησάμενος· Τὸ μὴ ὀκνεῖν, εἶπεν, ὑπὲρ τῆς πατρίδος [c] ἀποθνήσκειν.

37 [a] Ἀντιφῶντος.

Φέρε δὴ, προσελθέτω ὁ βίος εἰς τὸ πρόσθεν, καὶ γάμων καὶ

32.

[a] Sic A. Trinc. Fragm. p. 37.

33.

[a] Sic A. Deest locus Trinc.

[b] Λυκοῦργος] Σόλων A. B.

[c] εἶπεν] ἔφη A. B.

34.

[a] Sic A. Deest locus Trinc.

[b] λύπαις αὐθαιρέτοις] αὐθαιρέτοις (ως) A. αὐθαιρέτως B.

35.

[a] Sic A. Trinc.

36.

[b] μηδὲ παιδοποιησάμενος om. Voss. Trinc.

[c] ἀποθνήσκειν] ἀποθανεῖν B.

37.

[a] Sic A. Ἀντιφάνους Trinc.

γυναικὸς ἐπιθυμησάτω. Αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ, καινοῦ
δαίμονος ἄρχει, καινοῦ πότμου. Μέγας γὰρ ἀγὼν γάμος
ἀνθρώπῳ. Εἰ γὰρ [b] τύχοι μὴ ἐπιτηδεία γενομένη, τί χρὴ τῇ 422
συμφορᾷ χρῆσθαι; χαλεπαὶ μὲν ἐκπομπαὶ, τοὺς φίλους
ἐχθροὺς ποιῆσαι, ἴσα φρονοῦντας, ἴσα πνέοντας [c] ἀξιώσαντα
καὶ ἀξιωθέντα· χαλεπὸν δὲ κεκτῆσθαι κτῆμα τοιοῦτον δο-
κοῦντα ἡδονὰς κτᾶσθαι, λύπας [d] ἄγεσθαι. Φέρε δὴ μὴ τὰ
[e] παλίγκοτα λέγωμεν, λεγέσθω τὰ πάντων ἐπιτηδειότατα.
Τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας; τί [f] δὲ
γλυκύτερον ἄλλως τε καὶ [g] νέῳ; ἐν τῷ αὐτῷ δέ γε τούτῳ,
ἔνθα τὸ ἡδὺ ἔνεστι, πλησίον που καὶ τὸ λυπηρόν. Αἱ γὰρ
ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ᾽ ἀκολουθοῦ-
σιν αὐταῖς λῦπαι καὶ πόνοι. Ἐπεὶ καὶ Ὀλυμπιονῖκαι,
καὶ Πυθιονῖκαι, καὶ οἱ τοιοῦτοι ἀγῶνες, καὶ σοφίαι, καὶ
πᾶσαι ἡδοναὶ, ἐκ μεγάλων λυπημάτων ἐθέλουσι παρα-
γίγνεσθαι. Τιμαὶ [h] γὰρ, ἆθλα, δελέατα, ἃ ὁ θεὸς ἔδωκεν
ἀνθρώποις, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθι-
στῶσιν. Ἐγὼ γὰρ εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, οἷον
ἐγὼ, ἐμαυτῷ οὐκ ἂν δυναίμην ζῆν, οὕτως ἐμαυτῷ πολλὰ
πράγματα παρέχων, ὑπέρ τε τῆς ὑγείας τοῦ σώματος,
ὑπέρ τε τοῦ καθ᾽ ἡμέραν βίου ἐς τὴν ξυλλογὴν, ὑπέρ τε δό-
ξης, καὶ σωφροσύνης, καὶ εὐκλείας, καὶ τοῦ εὖ ἀκούειν.
[i] Τί οὖν εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, ὅ γε [k] μὴ οὕτως

[b] τύχοι] τύχη A. Nescio an verba καινοῦ δαίμονος ἄρχει καινοῦ πότμου poetæ alicujus sint.

[c] ἐξιώσαντα] ἀξιώσαντα A. B. Gesn. marg.

Ib. Obscurum hunc locum ita corrigi posse arbitror: καὶ τοὺς φίλους . . . ἴσα πνεόντας, ἐξώσαντα καὶ ἐξωσθέντα. *Difficile est repudiare conjugem, et amicos, cum illa conspirantes, in inimicos mutare, dum illam e domo perturbans ipse te ex illorum domibus excludis.* Jacobs. in Athen. p. 8.

[d] ἄγεσθαι] ἄδεσθαι B.

[e] παλίγκοτα] παλίσκοτα Trinc.

[f] δαὶ] δὲ A. B.

[g] νέῳ] νέα A. νέας B.

καὶ
[h] γὰρ] γὰρ A. καὶ B. τιμαὶ γὰρ, ἃς ἄθλων δελέατα ὁ θεὸς ἔδωκεν ἀνθρώποις—Valckenærius.

[i] τί οὖν] τι ἂν A. B.

[k] μοι] μὴ A. B, μ᾽ Trinc.

ἐπιμελὲς εἴη; Οὐκ οὖν δῆλον, ὅτι γυνὴ ἀνδρὶ, ἐὰν ᾖ κατα-θυμία, οὐδὲν ἐλάττους τὰς φιλότητας παρέχεται καὶ τὰς [1]ὀδύνας, ἢ αὐτὸς αὑτῷ, ὑπέρ τε τῆς ὑγείας δισσῶν σωμάτων, ὑπέρ τε τοῦ βίου τῆς συλλογῆς, καὶ ὑπέρ τε τῆς σωφροσύνης, καὶ τῆς εὐκλείας. Φέρε δὴ καὶ παῖδες γενέσθωσαν· φροντίδων ἤδη πάντα πλέα, καὶ ἐξοίχεται τὸ νεοτήσιον σκίρτημα ἐκ τῆς γνώμης· καὶ πρόσωπον οὐκέτι τὸ αὐτό.

## ΟΤΙ ΤΟΙΣ ΜΕΝ ΕΠΩΦΕΛΗ ΤΟΝ ΓΑΜΟΝ, ΤΟΙΣ ΔΕ ΑΣΥΜΦΟΡΟΝ Ο ΤΩΝ ΣΥΝΑΠΤΟΜΕΝΩΝ ΑΠΕΤΕΛΕΣΕ ΤΡΟΠΟΣ. ΞΘ.

1 [a] Θεοδέκτου.

Ὅτ᾽ ἂν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις,
οὐχ, ὡς δοκεῖ, γυναῖκα λαμβάνει μόνον·
ὁμοῦ δὲ τῇδέ τ᾽ εἰσκομίζεται λαβὼν
καὶ δαίμον᾽ ἤτοι χρηστὸν, ἢ τοὐναντίον.

2 [a] Σουσαρίωνος.

Ἀκούετε λεῷς, Σουσαρίων λέγει τάδε·
κακὸν γυναῖκες· ἀλλ᾽ ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.
καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι, κακόν.

3 [a] Εὐριπίδου.

Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις,
οὔτ᾽ εὐτυχοῦσι· συμφορὰ δ᾽ ὃς ἂν τύχῃ
κακῆς γυναικὸς, εὐτυχεῖ δ᾽ ἐσθλῆς τυχών.

[1] ὀδύνας] ὠδῖνας B.

1.
[a] Sic A. Trinc. Mox ἢ pro ἤτοι Trinc.

2.
[a] Sic A. Trinc.

3.
[a] Sic A. Trinc. Scil. inc. 49.

4 [a]Μενάνδρου.

[b]Γυνὴ πολυτελής ἐστ' ὀχληρὸν, οὐδ' ἐᾷ
ζῆν τὸν λαβόνθ' ὡς βούλετ'· ἀλλ' [c]ἔνεστί [d]τοι
ἀγαθὸν ἀπ' αὐτῆς, παῖδες, ἐλθόντ' εἰς νόσον
τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς, 423
ἀτυχοῦντι συμπαρέμεινεν, [e]ἀποθανόντα τε
ἔθαψε, περιέστειλεν οἰκείως· [f]ὅρα
εἰς ταῦθ', ὅτ' ἂν λυπῇ τι τῶν καθ' ἡμέραν.
οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ'· [g]ἂν δ' ἐκλέγῃς
ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς
[h]τῶν προσλεγομένων, οὐ δυνήσῃ διατέλους.

5 [a]Εὐριπίδου.

Μακάριος, ὅστις εὐτυχεῖ γάμον λαβὼν
ἐσθλῆς γυναικός· εὐτυχεῖ δ' ὁ μὴ λαβών.

4.

[a] Sic A. Trinc. Cleric. p. 122.

[b] ——— πρὸς τὸ πρᾶγμ' ἔχω Κακῶς. A. Ἐπαριστερῶς γὰρ αὐτὸ λαμβάνεις. Τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε Ὁρᾷς ἐν αὐτῷ· τὰ δ' ἀγάθ' οὐκ ἐπιβλέπεις.] Hanc partem versus cum tribus sequentibus censuimus præponendos iis qui apud Stobæum exstabant. Omnino enim videntur cohæsisse. Depromti autem hi sunt ex Clementis Strom. II. Distinximus personas colloquentes. Grotius. Idem in mss. addidit, οὐκ ἔτι βλέπει· Εὔροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Σίμυλε, Ἀγαθὸν, ὅτῳ τι μὴ πρόσεστι καὶ κακόν. "Interposuimus," inquit, "duos illos versus, εὔροις δ' "ἂν οὐδὲν et quæ sequuntur, hic "omissos, infra autem in parte "hujus loci positos tit. CVIII."

[c] ἔνεστι] ἔν ἐστι A.

[d] τοι] Lego τι. Gesner. Sic B. Arsen. Voss.

[e] ἀποθανόντα τε] ἀποθανόντα σε Grotius.

[f] ὁρᾷ.] Malim ὅρα ut referretur ad sequentia. Gesner. Sic B. et Grotius.

[g] ἂν δ' ἐκλέγῃς] Vulgo ἂν δὲ λέγῃς. At titulo CVIII. ubi idem fragmentum citatur, est ἂν ἐκλέγῃ. Unde hanc lectionem concinnavimus. Grotius. δ' ἐκλέγῃς habet B. ut vulgo A.

[h] τῶν προσδεχομένων οὐ δυνήσῃ διατελεῖν] Cum heic esset προσλεγομένων, infra autem tit. CVIII. προσδοκωμένων, fecimus quod medium est προσδεχομένων, id est προσδεκτῶν. Posterius autem hemistichium heic habebat οὐ δυνήσῃ διὰ τέλους, infra autem ὀδυνήσῃ διὰ τέλους. Restituimus ut vides. Grotius. προσγενομένων Voss. προσλελεγμένων B. Vera lectio videtur, quam infra CVIII. præbet Stobæus, προσδοκωμένων, ὀδυνήσῃ διὰ τέλους.

5.

[a] Sic A. Scil. inc. 50. Deest locus Trinc.

6 [a] Ἡσιόδου.

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς· τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχου· ἥτ' ἄνδρα, καὶ ἴφθιμόν περ ἐόντα,
[b] αὔει ἄτερ δαλοῖο, καὶ ὠμῷ γήραϊ θῆκε.

7 [a] Εὐριπίδου Ἀλκμαίωνος.

[b] Γυναῖκα καὶ ὠφέλειαν
καὶ νόσον ἀνδρὶ φέρει μεγίσταν,
ἐδίδαξα τὠμῷ λόγῳ.

8 [a] Φιλιππίδου.

Αἰσχρὰν γυναῖκ' ἔγημας, [b] ἀλλὰ πλουσίαν.
κάθευδ' ἀηδῶς, ἡδέως [c] μασώμενος.

9 [a] Εὐριπίδου Πρωτεσιλάου.

Ὅστις [b] δὲ πάσας συντιθεὶς ψέγει λόγῳ
γυναῖκας ἑξῆς, σκαιός ἐστι, κοὐ σοφός.
πολλῶν γὰρ οὐσῶν, τὴν μὲν εὑρήσεις κακήν·
τὴν δ', ὥσπερ αὕτη, λῆμ' ἔχουσαν εὐγενές.

10 [a] Μενάνδρου.

Τὸ γαμεῖν, ἐάν τις τὴν ἀλήθειαν σκοπῇ,
κακὸν μέν ἐστιν, ἀλλ' ἀναγκαῖον κακόν.

6.

[a] Sic A. Trinc. Scil. Opp. 700.

[b] εὔει ἄτερ δαλοῦ] αὔει ἄτερ δαλοῖο A. B. Gesn. marg. δαλοῖο item Voss. καὶ ἐν ὠμῷ Trinc. Gesn.

7.

[a] Sic A. Scil. fr. 6. Deest locus Trinc.

[b] γυνὴ καὶ ὠφέλειαν ἀνδρὶ καὶ νόσον φέρει μεγίσταν, ἐκδιδάσκετ' ἐμῷ λόγῳ] Emendavimus hos quoque versus non parum corruptos, sic enim legebantur, Γυναῖκα καὶ ὠφέλειαν καὶ νόσον ἀνδρὶ φέρῃ μεγίστων, ἐδίδαξα τοὐμῷ λόγῳ. Grotius in mss. Valckenærius Diatr. p. 149. ita disponit: Γυναῖκα δ' ὠφέλειαν | καὶ νόσον ἀνδρὶ φέρειν μεγίσταν | ἐδίδαξα τῷ 'μῷ λόγῳ. Nil variant mss. nisi quod A. habet τῷ ἐμῷ. Pro γυναῖκα Gesnerus conjicit γυνή.

8.

[a] Sic A. Trinc.

[b] ἀλλὰ] ἀλλ' οὐ Trinc.

[c] μασσώμενος] μασώμενος A.

9.

[a] Sic A. Scil. fr. 3. Simpl. Εὐριπίδου Trinc.

[b] δὲ om. A.

10.

[a] Sic A. Trinc. Cleric. p. 230.

11 [a] Εὐριπίδου Μελανίππη.

Τῆς μὲν κακῆς κάκιον οὐδὲν γίγνεται
γυναικός· ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις.

12 [a] Τοῦ αὐτοῦ.

Τί γὰρ ἀνδρὶ κακὸν μεῖζον, ἁμαρτεῖν
πιστῆς ἀλόχου;

13 [a] Εὐριπίδου.

[b] Γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν,
μακάριος αἰών· [c] οἷς δὲ μὴ πίπτουσιν εὖ,
τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς.

14 [a] Σοφοκλῆς Φαίδρα.

Οὕτω γύναικὸς οὐδὲν ἂν μεῖζον κακὸν
κακῆς ἀνὴρ κτήσαιτ' ἂν, οὐδὲ σώφρονος
κρεῖσσον· παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει.

15 [a] Ἡσιόδου Θεογονίας.

Ὣς δ' [b] αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε [c] ξυνήονας ἔργων
[d] λευγαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' [e] ἀγαθοῖο.
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι [f] ἐθέλῃ, ὀλοὸν δ' [g] εἰς γῆρας ἵκοιτο

11.

[a] Sic A. Scil. fr. 7. Simpl. Εὐριπίδου Tr. ubi κακοῖς pro κακῆς.

12.

[a] Sic A. Deest lemma Trinc. v. Alcest. 884.

13.

[a] Sic A. Deest lemma Trinc. v. Orest. 601.

[b] γάμοι] γάμοις A. B. γάμοις δ' ὅσοι—καθιστάσι Trinc. Mox εὖ om. A.

[c] οἷς—πίπτουσιν] τοῖς—πίτνουσιν A. τοῖς Trinc.

14.

[a] Sic A. Scil. fr. 5. Simpl. Σοφοκλέ. Trinc.

15.

[a] Sic A. Scil. v. 600. Simpl. Ἡσιόδου. Trinc.

[b] αὔτως] αὐτὸς A. Gesn. marg.

[c] ξυνήονας] ξυνήωνας A.

[d] λευγαλέων] ἀργαλέων Gesner. marg.

[e] ἀγαθοῖο] ἀγαθοῖσιν Trinc.

[f] ἐθέλῃ] θέλει A.

[g] εἰς γῆρας ἵκοιτο] ἐπὶ γῆρας ἵκηται B. Gesn. marg.

χήτει γηροκόμοιο, [h] ὅ γ' οὐ βιότου ἐπιδευὴς
[i] ζώει, ἀποφθιμένου δὲ διὰ [k] ζωὴν δατέονται
χηρωσταί· [l] ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' [m] ἔσχετ' ἄκοιτιν [n] ἀραρυῖαν πραπίδεσσι,
[o] τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει.

16 [a] Εὐριπίδου Ἑκάβης.

Μηδὲν θρασύνου, μηδὲ τοῖς σαυτοῦ κακοῖς
τὸ θῆλυ συνθεὶς ὧδε πᾶν [b] μέμψῃ γένος. 424
πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν εἴσ' ἐπίφθονοι,
αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.

17 [a] Ἐπιχάρμου.

Τὸ δὲ γαμεῖν ὅμοιόν ἐστι τῷ [b] τρὶς ἓξ ἢ τρεῖς [c] κύβους
ἀπὸ τύχης [d] βαλεῖν· ἐὰν μὲν γὰρ λάβῃς τεταγμένην
τοῖς τρόποις καὶ τ' ἄλλ' ἄλυπον, εὐτυχήσεις τῷ γάμῳ·
εἰ δὲ καὶ φιλέξοδόν τε καὶ λάλον καὶ δαψιλῆ,
οὐ γυναῖχ' ἕξεις, διὰ βίου δ' ἀτυχίαν κοσμουμέναν.

18 [a] Εὐριπίδου Οἰδίποδι.

Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή·
[b] ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

19 [a] Εὐριπίδου Μελανίππῃ.

Ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος.
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις

[h] ὅ γ'] ὅ δ' B.
[i] ζώει] ζώῃ Trinc.
[k] ζωὴν] κτῆσιν B. Gesn. marg.
[l] ᾧ δ'] ὡς δ' A. Mox γάμου om. B.
[m] ἔσχετ'] ἔσχεν B. δ' om. Tr.
[n] ἀραρυῖαν] ἀρηρυῖαν A.
[o] τῷδέ τ'] τῷδ' B. qui post ἀντιφερίζει subjicit ἔμμεναι. τῷδέ τ' Trinc.

16.

[a] Sic A. Scil. 1183. Simpl. Εὐριπίδου Trinc.
[b] μέμψαι] μέμψῃ Trinc.

17.

[a] Sic A. Trinc.
[b] τρὶς] τρεῖς Trinc.
[c] κύβους] κύβους μόνους A. B.
[d] λαβεῖν] βαλεῖν A. Trinc.

18.

[a] Sic A. Scil. fr. 1. Simpl. Εὐριπίδου Trinc.
[b] ἡ] εἰ A. B.

19.

[a] Sic A. Scil. fr. 26. Deest lemma Trinc.

αἶσχος γυναιξὶ, καὶ κεκοίνωνται ψόγον
ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' εἰς γάμους
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν.

20 [a] Εὐριπίδου Ἀλεξάνδρου.

Ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί.

21 [a] Γαΐου ὑπὲρ Λουκίλλης.

Φυλάττομαι δέ τι πικρότερον εἰπεῖν διὰ τὸ τῆς μητρυιᾶς ὄνομα. Πολλὰ γὰρ προείληπται τῶν ὀνομάτων εἰς πίστιν ἀπεχθείας· καὶ μητρυιὰ δυσκόλως ἀληθεύειν πιστεύεται. Δεῖ δὲ οὐ ταῖς φήμαις τῶν ὀνομάτων ἐξελέγχεσθαι τοὺς τρόπους· πολλοὶ γὰρ ἤδη διαβεβλημένας προσηγορίας ἔχοντες ἔσχον οὐ πονηρὰν διάνοιαν· πάλιν ἕτεροι καὶ καλοῖς ὀνόμασιν ἐκ τῆς φύσεως κεκοσμημένοι ψυχαῖς [b] ἀνομοίαις προσέρχονται πρὸς τὰ ἔργα.

22 [a] Θεμιστίου ἐκ τοῦ Περὶ Ψυχῆς.

[b] Ἀλλὰ μάλιστα διψῶν ἀπέθανεν τῆς γυναικὸς, [c] ἐρῶν ἐρώσης ἀπολιπόμενος. Οὐθὲν εἰπεῖν οὔτε ποιῆσαι πρὸς [d] αὐτὴν ἰταμὸν ἐτόλμησαν· ἀλλ' οὕτως ἐνεκαρτέρησαν ἀμφότεροι τῷ πρέποντι, ὥσπερ ἀποδείξασθαι θέλοντες ὅτι πλεῖστον αἰδοῦς ἔρωτι δικαίῳ μέτεστιν· ὅθεν ἔμοιγε πλεῖστον αὐτῇ φαίνεται χρόνον ἀνὴρ συμβεβιωκέναι· πάντα γὰρ διόλου τὸν δεκαετῆ χρόνον ὁμαλῶς συνεβίωσεν. Αἱ δὲ [e] ἄλλοις συνοικοῦσιν οὐ συμβιοῦσιν, ὅτ' ἂν [f] λυπῶσι τοὺς [g] μὲν ἄνδρας, ἢ [h] ζηλοτυπῶσιν, ἢ διαφέρωνται περὶ χρημά-

20. δρ

[a] Sic fere A. ubi Ἀλεξ^αν. Scil. fr. 11. Deest locus Trinc.

21.

[a] Sic A. Trinc.

[b] ἀνομίαις] ἀνομοίαις Voss. Tr. ψυχῆς ἀνομοίοις A. Mox περὶ pro πρὸς Voss. Arsen.

22.

[a] Sic A. Deest locus Trinc. Plutarcho assignat Wyttenbachius T. V. p. 586=877.

[b] Ἀλλὰ] Ἀλλ' οὐ A. B.

[c] ἐρῶν] Suspicor ἐρῶν adscriptum ad διψῶν, velut interpretamentum: moriens dici commode non poterat ἐρῶν. Valcken.

[d] αὐτὴν] Forte αὐτούς. Gesn.

[e] ἄλλοις] ἄλλαις A.

[f] λυπῶσι] λυποῦσι B.

[g] μὲν] μὲν abundat. Gesner.

[h] ζηλοτυπῶσιν] ζηλοτυποῦσιν A. B.

των, ἢ κακῶς λέγωσι, ἢ φεύγωσι θρυπτόμεναι τὰς φιλοφροσύνας [i] καὶ συνδιαιτήσεις. Ὥστε [k] ἂν τοῦτον ἐξαίρῃς τὸν χρόνον ἐν ᾧ ταῦτα πράττουσιν, ἀπολείπεται βραχὺς ἐκεῖνος ὁ τῆς συμβιώσεως.

23 [a] Μουσωνίου ἐκ τοῦ τίτλου κεφάλαιον γάμου.

Βίου καὶ γενέσεως παίδων κοινωνίαν [b] κεφάλαιον εἶναι γάμου. Τὸν γὰρ γαμοῦντα, ἔφη, καὶ τὴν γαμουμένην [c] ἐπὶ τούτῳ συνεῖναι χρὴ ἑκάτερον θατέρῳ, ὥστ' ἅμα μὲν ἀλλήλοις βιοῦν, ἅμα δὲ [d] ποιεῖσθαι, καὶ κοινὰ δὲ [e] ἡγεῖσθαι πάντα, καὶ μηδὲν ἴδιον, μηδ' αὐτὸ τὸ σῶμα. Μεγάλη μὲν γὰρ γένεσις ἀνθρώπου, ἣν ἀποτελεῖ τοῦτο τὸ ζεῦγος. Ἀλλ' οὔπω τοῦτο ἱκανὸν τῷ γαμοῦντι, ὃ δὴ καὶ δίχα γάμου γένοιτ' ἂν συμπλεκομένων ἄλλως, ὥσπερ καὶ τὰ ζῶα 425 συμπλέκεται αὐτοῖς. Δεῖ δὲ ἐν γάμῳ πάντως συμβίωσίν τε [f] εἶναι καὶ κηδεμονίαν ἀνδρὸς καὶ γυναικὸς περὶ ἀλλήλους, καὶ ἐρρωμένους, καὶ νοσοῦντας, καὶ ἐν παντὶ καιρῷ, ἧς ἐφιέμενος ἕκαστος, ὥσπερ καὶ παιδοποιΐας, [g] εἰσὶν ἐπὶ γάμον. Ὅπου μὲν οὖν ἡ κηδεμονία αὕτη τέλειός ἐστι, καὶ τελέως αὐτὴν οἱ συνόντες ἀλλήλοις παρέχονται, ἁμιλλώμενοι νικᾶν ὁ ἕτερος τὸν ἕτερον· [h] οὗτος μὲν οὖν ὁ γάμος ᾗ προσήκει ἔχει, καὶ ἀξιοζήλωτός ἐστι· καλὴ γὰρ ἡ τοιαύτη κοινωνία· ὅπου δ' ἑκάτερος σκοπεῖ τὸ ἑαυτοῦ μόνον ἀμελῶν θατέρου, [i] ἢ καὶ νὴ Δί' ὁ ἕτερος οὕτως ἔχει, καὶ οἰκίαν μὲν οἰκεῖ τὴν [k] αὐτήν, τῇ δὲ γνώμῃ βλέπει ἔξω, μὴ βουλόμενος τῷ [l] ὁμόζυγι συντείνειν τε καὶ συμπνεῖν, ἐνταῦθ' ἀνά-

[i] ἢ] καὶ A. B.
[k] ἂν τοῦτον] αὐτοῦ τοι B.

23.

[a] Sic A. Simpl. Μουσωνίου Tr. Gesner.: *Musonii ex libro de Scopo Nuptiarum.*
[b] κεφάλαιον—γαμουμένην om. A. B.
[c] ἔστι Voss.
[d] ποιεῖσθαι] Malim τεκνοποιεῖσθαι. GESNER.
[e] ἡγεῖσθαι] γενέσθαι Voss.
[f] εἶναι] θεῖναι B.
[g] εἰσὶν] Lego εἶσιν. GESNER.
[h] οὕτω μὲν] οὗτος μὲν οὖν A. B.
[i] ἢ καὶ] ἢ om. A. B.
[k] αὐτὴν] ἑαυτὴν A.
[l] ὁμόζυγι] ὁμοζύγῳ A. B.

γκῃ φθείρεσθαι μὲν τὴν κοινωνίαν, φαύλως δὲ ἔχειν τὰ πράγματα τοῖς συνοικοῦσιν, καὶ ἢ διαλύονται τέλεον [m] ἀπ' ἀλλήλων, ἢ τὴν συμμονὴν [n] χείρω ἐρημίας ἔχουσιν.

## ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ, ΕΤΙ ΚΑΙ ΠΕΡΙ ΓΑΜΟΥ. Ο.

1 [a] Εὐριπίδου Μελανίππης.

Γάμους δ' ὅσοι [b] σπεύδουσι μὴ πεπρωμένους,
μάτην πονοῦσιν· ἡ δὲ [c] τὸ χρεὼν πόσει
μένουσα, κἀσπούδαστος ἦλθεν εἰς δόμους.

2 [a] Τοῦ αὐτοῦ.

[b] Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.

3 [a] Εὐριπίδου Ἀντιόπῃ.

Κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών.

4 [a] Τοῦ αὐτοῦ Μελανίππῃ.

Ὅσοι γαμοῦσι [b] δ' ἢ γένει κρείσσους γάμους,
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν.
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν [c] δώμασι
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
ἀνόνητος, αἱ [d] γὰρ διαλύσεις [e] οὐ ῥᾴδιαι.

5 [a] Μενάνδρου.

Ὅτ' ἂν πένης ὢν, καὶ γαμεῖν τις ἑλόμενος,

[m] ἀπ' ἀλλήλων] ἐπαλλήλων Voss.
[n] χείρω] χείρονα A.

1.

[a] Sic A. Scil. fr. 8. Simpl. Εὐριπίδου Tr. In Tit. ἔτι κ. π. γ. om. A.
[b] σπεύδουσι] παιδεύουσι A.
[c] τὸ] τῷ Voss. Arsen. Gesn. marg. τὼ A.

2.

[a] Sic A. Deest lemma Trinc. v. Phœniss. 18.
[b] σπεῖρε] σπεῖρον A.

3.

[a] Sic A. Scil. fr. 17. Deest locus Trinc.

4.

[a] Sic A. Scil. fr. 9. Deest lemma Trinc.
[b] δ' ἢ γένει] διὰ γένος B. m. sec. δὲ γένει Trinc.
[c] δώμασι] τοῖς δώμασι A. Trinc. Mox ἀπακτὸς Trinc.
[d] γὰρ] δὲ Gesn. marg. γε B. m. sec.
[e] ῥᾴδιαι] οὐ ῥᾴδιαι Grotius auctore Scaligero.

5.

[a] Sic A. Trinc. Cleric. p. 230.

τὰ [b] μετὰ γυναικὸς ἐπιδέχηται χρήματα,
αὐτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει.

6 [a] Εὐριπίδου Μελεάγρῳ.

Εἰ δ' εἰς γάμους ἔλθοιμ', ὃ μὴ τύχοι ποτὲ,
τῶν ἐν [b] πόνοισιν ἡμερευουσῶν [c] ἀεὶ
βέλτιον ἂν τέκοιμι δώματι τέκνα.
ἐκ γὰρ πατρὸς καὶ μητρὸς [d] ὅστις ἐκπονεῖ
σκληρὰς διαίτας, οἱ γόνοι βελτίονες.

7 [a] Μενάνδρου.

Δύ' [b] ἔστι· κρῖναι τὸν γαμεῖν μέλλοντα δεῖ
ἤτοι [c] προσηνὴν ὄψιν, ἢ χρηστὸν τρόπον·
τὴν γὰρ ὁμόνοιαν τὴν [d] πρὸς ἀλλήλους ποιεῖ.

8 [a] Ἡσιόδου Ἔργων.

Παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς,
πάντα μάλ' ἀμφὶς ἰδὼν, μὴ γείτοσι χάρματα [b] γήμῃς.

9 [a] Θεόγνιδος.

[b] Κύνας μὲν δὴ νῶϊ διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν

[b] μετὰ] παρὰ Voss. Ars. Gesn. marg. Mox ἑαυτὸν Voss.

6.

[a] Sic A. Scil. fr. 9. Deest locus Trinc.

[b] πόνοισιν] δόμοισιν Musgravius et v. seq. σώμασιν pro δώματι.

[c] ἀεὶ] τινι Valckenærius Diatr. p. 143. et v. seq. βελτίον'—δώμασιν.

[d] ὅστις ἐκπονεῖ] ἐκπονουμένων Clement. Alex. Str. VI. Grotius inss.

7.

[a] Sic A. Cleric. p. 230. Deest lemma Trinc.

[b] ἔστ' ἃ] ἔστι A. Voss. Trinc. Post h. v. interpunxi leviter, ut relatio sit ad superiora, quæ interciderunt.

[c] προσηνῆ] προσηνὴν A. Voss. Tr. In προσηνὴν Elmsleius latere arbitratur προσηνῆ γ', quem vide ad Med. 1263. προσηνὴς ὄψις ἢ χρηστὸς τρόπος Bentleius.

[d] πρὸς] παρὰ Voss.

Ib. ταῦτα γὰρ ὁμόνοιαν] Ita nos pro τὴν γὰρ ὁ. Grotius. Vide Dobræum ad Aristoph. p. 115.

8.

[a] Sic A. Scil. v. 697. Simpl. Ἡσιόδου Trinc.

[b] γήμῃς] νείμῃς A. B. χάρμα γή. Trinc.

9.

[a] Sic A. Trinc. Scil. v. 183.

[b] Κρίους μὲν καὶ ὄνους] Ita in Theognide editur. In Stobæo autem corrupte κύνας μὲν δὴ νῶϊ. Grotius.

[c] βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει 426
ἐσθλὸς ἀνὴρ, ἤν οἱ χρήματα πολλὰ φέρῃ.

10 [a] Εὐριπίδου ἐν Ἀντιόπῃ.

Πᾶσι δ' ἀγγέλλω βροτοῖς
ἐσθλῶν ἀπ' ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα.
οὐ γάρ ποτ' ἂν [b] πράξειαν ἐς τέλος κακῶς.

11 [a] Καλλικρατίδου ἐκ τοῦ Περὶ οἴκου εὐδαιμονίας.

Ἔχει δὲ τὸ ἴχνος τοῦτο τᾶς διακοσμάσιος πρᾶτον καὶ αὐτὸς ὁ ἄνθρωπος ἐν τᾷ διαιρέσει τᾶς ψυχᾶς ταύτας· ὃ μέν τι ἐντὶ λογισμὸς, ὃ δὲ θυμὸς, ὃ δὲ ἐπιθυμία. Ὁ μὲν ὦν λογισμὸς οἰκοδεσπότᾳ καὶ ἄρχοντι ποτεμφερής ἐντι, πρεσβύτερός τε γὰρ ἐντὶ τᾷ φύσει, καὶ τᾷ γενέσει διανοητικώτατος καὶ διακριτικώτατος· ἁ δ' ἐπιθυμία, [b] θᾶλυ, καὶ νεαρὸν, καὶ ὑγρὸν πάθος ὑπάρχοισα ψυχᾶ, τᾷ γυναικὶ ποτιφερής ἐντι· ὁ δὲ θυμὸς, ὁρμᾶς καὶ ζέσιος μεστὸς ἐὼν, καὶ συνακούων καὶ [c] συνεπακολουθῶν πολλάκις τῷ λογισμῷ, ἢ τῷ νῷ, καὶ νεανίᾳ [d] ποθωμοίωται. Ἁ μὲν γὰρ μονάς ἐντι τὸ γεννῶν καὶ ὁρίζον· ἁ δὲ δυὰς, τὸ ὁριστὸν καὶ ὁριζόμενον. Καὶ τὸ μὲν περιττὸν ἐκ τᾶς καθ' αὑτὸ φύσιος, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι· διότι τὸ μὲν [e] καθ' αὑτὸ φύσιος περαίνει, [f] τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι. Καὶ τὸ μὲν κατὰ περισσὰς χώρας [g] συντάσσον, ἐξομοιάζει αὐτῷ· τὸ δὲ μόνον, ὥσπερ ὕλα [h] καὶ ὑποκείμενον. Ὁ δὲ αὐτὸς λόγος [i] καὶ ἐπὶ τῶν γραμμᾶν, καὶ χωρίων. Τὸ μὲν γὰρ τετράγωνον

[c] βήσεσθαι] βήσσεσθαι A.

10.

[a] Sic A. Scil. fr. 18. Simpl. Εὐριπίδου Trinc.

[b] πράξειαν] πράξειας Arsen.

11.

[a] Sic A. Deest lemma Trinc.

[b] θῆλυ] θᾶλυ A. B.

[c] συνεπακολουθῶν] ἐπακολουθῶν A. B.

[d] ποθωμοίωται] ποθ' ὁμοίωται (ω superscr.) A.

[e] καθ' αὑτὸ φύσιος] Addo ἐκ τᾶς Gesner. φύσιος om. A. B.

[f] τὸ δὲ] καὶ τὸ A. B.

[g] συντάσσον] συντάττον A. B. συντάσσεν Trinc.

[h] καὶ om. A. B.

[i] ἐπὶ] ἐπὶ τῶν A. B.

ὁρίζει καὶ συντάσσει· τὸ δ' ἑτερόμακες ὥσπερ ὕλα ὑποκειμένα ὁρίζεται καὶ συντάσσεται, τετραγωνιζόμενον καὶ ἐξισούμενον. Δεῖ δὲ τὸν μωσικὸν μιμέεσθαι τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθόντα οὕτω πειρᾶσθαι τὰν μέσαν καθιστάνειν, ὅκως καὶ ἐπὶ τὰ βαρέα καὶ ἐπὶ τὰ ὀξέα διαρκέσαι δύναται, καὶ μήτε ῥήξῃ, μήτε ἀπολίπῃ τὴν στάσιν· [l] οὕτως οὖν δεῖ καὶ γάμον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυχᾶς, ὅκως μὴ μόνον ἐν εὐτυχίαις συνεκτρέχειν ἀλλάλοις δυνατοὶ ὦντι. Καὶ γὰρ αὐλὼς ὁ αὐλατὰς ποτὶ τὸν ἴδιον τόνον διαρκέσαι [m] δυναμένως λαμβάνει, καὶ παδάλια ὁ κυβερνάτας ποτὶ τὸ μέγεθος τᾶς [n] ναός.

12 [a] Νικοστράτου Περὶ Γάμου.

[b] Ταυτὶ μὲν οὖν τὰ θρυλλούμενα σὺ οἶσθα, μήτε [c] εὐγενείᾳ προσέχειν, μήτε δόξῃ τῶν πατέρων, [d] οὕτως γε ὡς αὐτῇ τῇ γυναικί. Πολλαὶ γὰρ δὴ πάνυ καλῶν καὶ ἀγαθῶν πατέρων φαῦλαι ἐφωράθησαν, καὶ οὐκ ἐσωφρόνησαν. Χρήματα δὲ οἱ μὲν οὐδὲ πάμπαν [e] φιλοφρονεῖν εἰώθασιν· ἔνιοι δὲ οὐδ' ἂν γῆμαι ἔφασαν, ἄλλως τε εἰ μὴ πλουτοίη καὶ προῖκα ἐπάγοιτο πολλήν. Ἀλλ' ἐνταῦθά που καὶ τὸ λαμπρὸν τοῦ δουλεύειν ἐστὶν [f] ἰδίᾳ μὲν τῇ γυναικὶ ὑπὸ τοῦ πλούτου [g] διατεθρυμμένῃ, ἰδίᾳ δὲ τοῖς χρήμασιν ὑποθωπεύοντα [h] αὐτόν τινα, καὶ ἢν συμβαίνῃ μάλιστα λαμβάνοντα ἐκεῖθεν ἀναλίσκειν. Εἰ δὲ κατ' ἐμέ τις εἴης, καὶ σμικρὰν ἥδιστ' ἂν πύθοιο. Κρεῖττον ἄρα ἦν ἀνδρικόν τι γύναιον καὶ

[l] οὕτω] οὕτως οὖν A. B.

[m] δυναμένως] δυναμένοις B. δυνάμενος λαμβάνεν Trinc.

[n] νηός] ναός B.

12.

[a] Sic A. Trinc.

[b] ταῦτ' εἶ] ταῦτα Jacobsius in Athen. p. 55. Potius ταυτὶ ut p. 427, 20.

[c] εὐγενείᾳ] εὐγενεῖ A. B. εὖ γένει Trinc.

[d] οὕτως γε] οὕτως τε A. Trinc.

[e] φιλοπραγμονεῖν] φιλοφρονεῖν A. B. πολυπραγμονεῖν Valckenærius, ut sæpius infra.

[f] ἰδίᾳ—ἰδίᾳ] ἴδια—ἴδια B. Mox τοῖς om. Trinc.

[g] διατεθρυμμένῃ] διατεθραμμένη A. B.

[h] αὐτὸν] αὐτῶν A. B.

κατ᾽ ἀγροὺς τεθραμμένον ἀναζητεῖν τε καὶ πολυπραγμονεῖν· ἱκανὸν μὲν πονεῖν, ὁπότε ὕδωρ ἀνιμᾶν δέοι, καὶ πῦρ ἐναῦσαι, ἢν τούτου καιρὸς, οὐκ ἀνελεύθερον δὲ, οὔτε ἀρτοποιὸν, χρηστόν γε μὴν καὶ ἀράξαι ποτὲ μύλην, καὶ [i] ἐπαφήσας αὐτῆς [j] διδοῦσαν ὥσπερ ἐπὶ λύρας. Ταῦτα μὲν δὴ ῥώμη τε γυ- 427 ναικὶ, ταῦτα δὲ τῷ οἴκῳ ὄφελος. Ἐπειδὴ δὲ οὐκ εὔδηλόν ἐστιν ἄρτι γαμοῦντι, ὁποῖαι δή τινες τοῖς τρόποις αἱ γυναῖκες [k] ἀναφανήσονται, Ἰνδοὶ οὕτω γαμοῦσι, [l] καὶ οἱ σοφοὶ αὐτῶν, καὶ οὐδεπώποτε ψευσθῆναι λέγονται. Ἐκεῖνοι τοίνυν [m] οἱ Ἰνδοὶ καὶ γυμνοὶ καὶ σοφοὶ οὐχ ὅπως πλούτῳ καὶ δόξῃ ἔγημαν Ἰνδοῦ ἀνδρὸς καὶ πλουσίου θυγατέρα, ἀλλὰ αὐτὴν τὴν κόρην τήν τε ὄψιν αὐτῆς καὶ τὸ κάλλος ἐπολυπραγμόνησαν, σοφίᾳ δή τινι τοῦτό γε, οὐκ ἀκολασίᾳ οὐδεμιᾷ, οὐδὲ κατὰ τὰ αὐτὰ ἡμῖν. Αἱ γὰρ δὴ ὄψεις αἱ χρησταὶ ἔχοιεν ἄν [n] τι πλεῖστον τοῦ κάλλους τῆς ψυχῆς, καὶ ἔνι οὔτε θυμώμενον, οὔτε ὀργιζόμενον, οὔτε χολῶντα, τὸ πρόσωπον φαιδρὸν ἔχειν τε καὶ καθαρόν. Εἰ δέ τις πανοῦργος καὶ [o] κρυψίνους, εὐθὺς μὲν καὶ τῷ ὀφθαλμῷ παραβλέπει, καὶ δεινὸν δέδορκεν· ὅστις δὲ μωρίᾳ εὐήθης, [p] ταῖς κόραις καὶ τοῖς ὀφθαλμοῖς ἀναπέπταται, ὄνων ὀφθαλμοὶ καὶ προβάτων τοιοῦτοι· ὁ δέ γε συνάγων τὰς ὀφρῦς σκαιός ἐστι· καὶ ὅτῳ ἐπανθεῖ οὐκ ἐρύθημα ἀλλὰ σκότος τε καὶ νέφος, τούτου τε ἡ ψυχὴ οὐδαμῇ οὐδαμῶς εὐφραίνεται. Ταυτὶ μὲν τὰ γνωρίσματα καὶ σημεῖα οὐ παρθένοις ἄρα καὶ γυναιξὶν, ἀλλὰ καὶ αὐτοῖς πρόσεστι τοῖς ἀνδράσι. Περὶ μὲν

[i] ἐπαφήσας] ἐπαφήσεις Wyttenbachius Plut. p. 46. B. i. e. *muliercula utilis agitandæ molæ aliquando, sui tractationem præbenti musicam.*

[j] διδοῦσαν] Forte ᾄδουσαν. Gesner.

[k] ἀναφανήσονται] ἅμα φανήσονται Trinc.

[l] καὶ] om. A. B.

[m] οἱ ἴνδοι] Al. additur καὶ οἱ γυμνοὶ καὶ οἱ σοφοὶ Gesn. marg. Et sic A. B. si οἱ bis omittas.

[n] τι] το B.

[o] κριψίνους] κρυψίνους A. Trinc.

[p] ταῖς κόραις καὶ τοῖς ὀφθαλμοῖς] τοῖς ὀφθαλμοῖς καὶ ταῖς κόραις A.

οὖν τῶν Ἰνδῶν [p] οὕτως ὁ λόγος κρατεῖ, ὡς καταμαντεύονται περὶ τῶν γυναικῶν πόρρωθεν, ὁποῖαί τινες ἔσονται. Μή δή μου δὲ καταγνώτω [q] μηδεὶς, ἐπεὶ κοινότερον τῷ κάλλει καταχρήσομαι συμβουλεύων αὐτὸ [r] μεταθεῖναι. Οὐ γὰρ τοὺς καλοὺς καὶ τὰς καλὰς ἐγὼ προξενῶ, ἀλλ' ἑτέρως οὐκ ἔνι εἰπεῖν, ἑπόμενον τῷ [s] Ἰνδῶν λόγῳ. Εἶδος μὲν δὴ τῆς γυναικὸς ἡμῖν ἐξεταστέον εἰ χάριέν τι καὶ ἀστεῖον καὶ ἐλευθέριον, εἴ γε [t] μέλλει τις ἡδέως μὲν ἀναπαύεσθαι, ἡδέως δὲ καὶ εἰς τὴν οἰκίαν τὴν αὐτὸς αὑτοῦ εἰσελεύσεσθαι. Τὸ γὰρ δὴ αἰσχρὰν γήμαντα, εἶτα ἐξίστασθαι τῆς οἰκίας τῇ γυναικὶ, οὐκ ἐξίστασθαι μὰ Δί' ἐστι τῆς οἰκίας, ἀλλὰ φεύγειν τὴν γυναῖκα. Ὥσπερ δὲ τὸ εἶδος πρότερον ἀξιοῦμεν δοκιμάζειν τῆς γυναικὸς, οὕτω καὶ αὐτοῦ ἑκάστου τοῦ νυμφίου πρότερόν γε τὸ εἶδος ἐξεταστέον, ὡς μὴ ἄν τι λυποίη αἰσχρὸς ὢν, ἢν τύχῃ [[v] ὡραίαν γήμας· τοῦτό γέ ἐστιν, ὡς μὴ ἄν τι λυποίη φαῦλος ὢν, ἢν τύχῃ] ἀγαθήν τε καὶ χρηστὴν γήμας. Ἔνι δὲ καὶ ἀπὸ τῆς φωνῆς τὰ ἀπὸ τῆς [u] τύχης ἑκάστου εἰδέναι. Καὶ τοίνυν φωνὴν μετὰ ταῦτα τῆς γυναικὸς ἐξεταστέον· τάχα μὲν γὰρ ἡδίων ἡ ᾠδικὴ ἕωθέν τε καὶ μετ' ἄριστον· μᾶλλον δὲ συνεστάλθω αὐτὴ ἡ φωνὴ εἰς τὸ πρᾶον, καὶ τραχὺ πώποτε μήτε βοῆσαι, μήτε [w] φθέγξ-

[p] οὕτως] οὗτος B.

[q] μηδεὶς] μὴ δὲ εἷς A.

[r] μεταθεῖναι] Malim μετιέναι GESNER. μεταθεῖν Wyttenbachius Plut. p. 47. D. qui sic totum locum interpretatur: "*Ne vero* "*quis me reprehendat, quando* "*pulchritudinis nomine ad res* "*communes per abusionem trans-* "*fero, suadens eam quaquaver-* "*sum currendo investigare.* In "καταχρήσομαι est significatio κα- "ταχρήσεως, *catachresis, abusionis,* "figuræ rhetoricæ, quod et Ges- "nerus vertens expressit." Idem rursus ad p. 73. A. *Neque vero quis me reprehendat, quod ratione pervulgata præcipiam de pulchritudine et jubeam eam consectari.*

[s] ἰνδῶν] ἰνδῶ A. Mox εἶδος μὲν δὴ usque ad χρηστὴν γήμας inclusive om. Trinc.

[t] μέλλοι] μέλλει A. B.

[v] ὡραίαν usque ad τύχῃ om. A. B.

[u] τύχης] Lego ψυχῆς. GESNER. Mox ἕωθεν δὲ Trinc.

[w] φθέγξαιτο] φθέγξετο Trinc. ubi desunt reliqua post ἀποφαίνει.

αιτο· τὰ γὰρ τοιαῦτα ἀνδρωδεστέρας τὰς γυναῖκας ἀποφαίνει. Οἷον [x] δὲ οἰκία ὡς ἄτοπον ἀνὴρ μὲν ἐκ [y] τυρβαιδὲ. Καὶ ναὶ μὰ Δία φωναὶ ἀνδρῶν πολλαὶ, καὶ ἄλλα πολλά ἐστιν, ἃ [z] χρὴ ἕκαστον ἡμῶν πολυπραγμονεῖν· ὡς δ' οὖν ὑπομνῆσαι ἱκανὰ οἶμαι καὶ ταῦτα.

13 [a] Ἀντιπάτρου ἐκ τοῦ Περὶ γυναικὸς συμβιώσεως.

Πρῶτον μὲν χρὴ τὴν μνηστείαν [b] μὴ εἰκῇ ποιήσασθαι ἀλλὰ πάνυ πεφροντισμένως, μηδ' εἰς πλοῦτον μηδ' εἰς ὀγκοῦσαν εὐγένειαν μηδὲ εἰς ἄλλην [c] χάσμην μηδεμίαν ἀποβλέπειν, μηδὲ μὰ Δία εἰς κάλλος· καὶ γὰρ τοῦτο ὡς ἐπὶ πᾶν ὄγκον καὶ δεσποτικὸν ἦθος περιποιεῖ· ἀλλὰ πρῶτα μὲν 428 τὸ τῶν γονέων ἐξετάζειν [d] ἦθος καὶ τρόπον· ἐπεὶ πολιτικὸς καὶ ἄφορτος, εὐγνώμων· ἔτι [e] δὲ καὶ σώφρων καὶ δίκαιος· [f] ἐπὶ δὲ τούτοις ἀκενόσπουδος καὶ ἴχνος, καὶ τὰ ἄλλα περὶ τοῦ ποιούς τινας φίλους κτᾶσθαι δεῖ παραγγέλλεσθαι· ἔπειτα καὶ τὴν μητέρα ᾗ γαμεῖσθαι μέλλουσα συντρέφεται, καὶ τὸν ταύτης τρόπον κατὰ τὸ πλεῖστον ἀποπλάττεται· μετὰ ταῦτα ἐπακολούθως πῶς ἑαυτῶν τρόπῳ ἤγασι τὴν θυγατέρα, καὶ μὴ ἡττημένοι εἰσὶν καὶ [g] ἀποβεβλεφότες ἀπὸ τοῦ συμφέροντος διὰ τὴν ἄγαν φιλοστοργίαν, καὶ τοῦτο ποικίλως ἐξητακέναι, καὶ διὰ δούλων, καὶ ἐλευθέρων τῶν τε ἔνδοθεν καὶ τῶν ἔξωθεν, καὶ διὰ γειτόνων, καὶ [h] τῶν ἄλλων εἰσοδίων εἴσω, διὰ φίλων ἐπιπλοκὰς ἑστιατικὰς, ἢ ἄλλως μαγείρων, ἢ [i] δημιουργῶν, ἢ ἀκεστριῶν, ἢ τῶν ἄλλων τεχνιτῶν καὶ τεχνιτίδων. Καὶ λίαν γὰρ προχειρότερον τοὺς τοι-

[x] δὲ om. A. B. οἷον et rell. om. Trinc.

[y] ἐκ * τυρβαι] ἐκτυρβαὶ A. B.

[z] χρὴ] χρῆν A. B.

13.

[a] Sic A. Deest locus Trinc.

[b] εἰκῇ] μὴ εἰκῇ A. B.

[c] χήσμην] χάσμην A. B.

[d] ἦθος εἰ] ἦθος καὶ τρόπον ἐπεὶ A. B.

[e] δὲ] δὲ καὶ B.

[f] ἐπὶ] ἔτι A. B. Latitare quid videtur in ἴχνος.

[g] ἀποβεβλεφότες] ἀποβεθλεφότες A.

[h] δι' ἄλλων] τῶν ἄλλων A. B.

[i] δημιουργῶν] δημιουργιῶν A. B.

ούτους εἰσάγουσιν, καὶ ὑπὲρ τὴν ἀξίαν μεγάλα πράγματα καὶ πίστιν ἐγχειρίζουσιν.

14 [a] Μουσωνίου ἐκ τοῦ τίτλου κεφάλαιον γάμου.

Διὸ χρὴ τοὺς γαμοῦντας οὐκ εἰς γένος ἀφορᾶν, εἰ ἐξ εὐπατριδῶν· οὐδ᾽ εἰς χρήματα, εἰ πολλὰ κέκτηνταί τινες· οὐδ᾽ εἰς σώματα, εἰ καλὰ ἔχουσιν. Οὔτε γὰρ πλοῦτος, οὔτε κάλλος, οὔτ᾽ εὐγένεια κοινωνίαν μᾶλλον αὔξειν πέφυκεν, ὥσπερ οὐδ᾽ ὁμόνοιαν οὐδ᾽ αὖ τὴν παιδοποιΐαν [b] κρείττω ταῦτα ἀπεργάζεται· ἀλλὰ σώματα μὲν πρὸς γάμον ἀποχρῶντα τὰ ὑγιῆ, καὶ τὴν ἰδέαν μέσα, καὶ αὐτουργεῖν ἱκανὰ, ἃ δὴ καὶ ἐπιβουλεύοιτ᾽ ἂν ὑπὸ τῶν ἀκολάστων ἧττον, καὶ ἐργάζοιτο μᾶλλον [c] ὅσα σώματος ἔργα, καὶ παιδοποιοῖτο μὴ ἐνδεῶς. Ψυχὰς δὲ ἐπιτηδειοτάτας εἶναι νομιστέον, τὰς πρὸς σωφροσύνην, καὶ δικαιοσύνην, καὶ ὅλως πρὸς ἀρετὴν [d] εὐφυεστάτας. Ποῖος μὲν γὰρ γάμος χωρὶς ὁμονοίας καλός; ποία δὲ κοινωνία χρηστή; πῶς δ᾽ ἂν ὁμονοήσειαν ἄνθρωποι πονηροὶ ὄντες ἀλλήλοις; ἢ πῶς ἀγαθὸς πονηρῷ ὁμονοήσειεν; οὐδέν γε μᾶλλον ἢ ὀρθῷ ξύλῳ στρεβλὸν συναρμόσειεν ἂν, ἢ στρεβλὰ ἄμφω ὄντα ἀλλήλοιν. Τὸ γὰρ δὴ στρεβλὸν τῷ τε ὁμοίῳ [e] τῷ στρεβλῷ ἀνάρμοστον, καὶ [f] τῷ ἐναντίῳ τῷ εὐθεῖ [g] ἔτι μᾶλλον. Ἔστι δὴ καὶ ὁ πονηρὸς τῷ τε πονηρῷ οὐ [h] φίλος, οὐδ᾽ ὁμονοεῖ, καὶ πολὺ ἧττον τῷ χρηστῷ.

15 [a] Χείλωνος.

Γάμους εὐτελεῖς καὶ ἰσοτίμους [b] ποιοῦ.

14.

[a] Sic A. Simpl. Μουσωνίου Tr.

[b] κρείττω ταῦτα] ταῦτα κρείττω A.

[c] ὡς τὰ σώματος] ὡς ἀσώματος A. Trinc. ὅσα σώματος Gesn. B. A. suprasc.

[d] εὐφυεστάτας] εὐφυεστάτους Tr.

[e] τῷ] τῷ τε A.

[f] τῷ ἐναντίον] τὸ Trinc. ἐναντίῳ A. B.

[g] ἔστι] ἔτι B.

[h] φίλους] φίλος A.

15.

[a] Sic A. Trinc.

[b] ποιεῖν] ποιοῦ A. B. Gesner. marg. v. Diog. Laërt. I. 70.

16 [a] Κλεοβούλου.

Κλεόβουλος ἔφη δεῖν συνοικίζειν ἀνδράσι τὰς ἑαυτῶν θυγατέρας, τὴν μὲν ἡλικίαν, παρθένους· τὸ δὲ φρονεῖν, γυναῖκας.

17 [a] Περικλέους.

Περικλῆς ὁ τῶν Ἀθηναίων στρατηγὸς, [b] δυοῖν αὐτοῦ τὴν θυγατέρα μνηστευομένων, τοῦ μὲν πλουσίου καὶ ἀπαιδεύτου, τοῦ δὲ πένητος καὶ φιλολόγου, τούτῳ αὐτὴν ἐξέδωκεν, [c] εἰπὼν, Ὅτι ἀμείνων ἐστὶ τοῦ ὄντος ὁ δυνάμενος γενέσθαι πλούσιος.

18 [a] Δημοκρίτου.

Δημόκριτος ἔφη, ὡς ὁ γαμβροῦ μὲν ἐπιτυχὼν εὗρεν υἱόν· ὁ δὲ ἀποτυχὼν, ἀπώλεσε καὶ θυγατέρα.

## ΟΤΙ ΕΝ ΤΟΙΣ ΓΑΜΟΙΣ ΤΑΣ ΤΩΝ ΣΥΝΑΠΤΟΜΕΝΩΝ ΗΛΙΚΙΑΣ ΧΡΗ ΣΚΟΠΕΙΝ. ΟΑ. 429

1 [a] Εὐριπίδου Φοίνικος.

[b] Μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα
δίδωσιν ὅστις οὐκέθ' ὡραῖος γαμεῖν·
δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.

16.

[a] Sic A. Deest lemma Trinc. Vide Diogen. Laert. I. 91.

17.

[a] Sic A. Deest lemma Trinc.

[b] δυοῖν] δυεῖν Voss.

[c] εἰπὼν ὅτι] ἐρωτηθεὶς δὲ ὑπό τινος διὰ τὶ τοῦτο ἐποίησεν, οὗ ἔφη A.

18.

[a] Sic A. Deest lemma Trinc.

1.

[a] Sic A. Scil. fr. 4. Deest locus Trinc.

[b] Primo versui de tribus hanc restituo sententiam: Μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ νέα [Γυνὴ]—Ex τῃ νέα ubi natum esset τέκνα, versus alterius omitti debuit initium. Sequentis loci, qui potuit alibi in Phœnice poni, hæc mihi scriptio pro δίδωσιν legitima videtur: Δμώς ἐστιν, ὅστις οὐκ ἔθ' ὡραῖος γαμεῖ· Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή. Horum versuum secundus ut Euripidis legitur in Aristoph. Thesm. 420. Hujus *dominæ* meus ille δμώς apte, ni fallor, respondet. VALCKEN. Diatr. p. 273. Initio vs. 2. κἂν δμωσὶν propius ad vestigia literarum Porsonus *Tracts* p. 227. γαμεῖν pro γαμεῖ A. B.

2 [a] Θεόγνιδος.

Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι.
οὐ γὰρ πηδαλίῳ πείθεται, ὡς ἄκατος,
οὐδ' [b] ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

3 [a] Εὐριπίδου Αἰόλου.

Κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον.
μακρὰ γὰρ ἰσχὺς μᾶλλον [b] ἀρσένων μένει,
[c] θηλεῖα δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.

4 [a] Σαπφοῦς.

Ἀλλ' ἐὼν φίλος ἀμῖν, λέχος [b] ἄρνυσο νεώτερον.
οὐ γὰρ τλάσομ' ἐγὼ [c] ξυνοικεῖν οὖσα γεραιτέρα.

5 [a] Εὐριπίδου.

Ἐγὼ γὰρ ἕξω λέκτρα [b] αὐτοῖς καλῶς ἔχειν,
δίκαιόν ἐστιν, οἷσι συγγηράσομαι.

6 [a] Ἡσιόδου Ἔργων.

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων,

2.

[a] Sic A. Trinc. Scil. v. 457.

[b] ἄγκυραν] ἄγκυραι A. Trinc. ἄγκυρα ἔχοι νιν Grotius, ἄγκυρ' ἂν ἔχοι νιν Scaliger. Frustra uterque. Mox ἀπορρήξασαι Trinc.

Ib. Vide Theognetum Athen. XIII. Clem. VI. Grotius mss.

3.

[a] Sic A. Scil. fr. 11. Simpl. Εὐριπίδου Trinc.

[b] ἀρρένων] ἀρσένων A. B.

[c] θηλείας δ'] θηλείας θ' A. θηλεῖα dedit Grotius.

4.

[a] Sic A. Trinc.

[b] ἄρνυσο] ἄρνησον A. B. νεώτερος Ursinus, e ms. quodam, ut ipse ait.

[c] ξυνοικεῖν οὖσα] ξυνοικεῖν νε' οὖσα Ursinus e ms. εὖσα A. B. γεραιτέρῳ Ursinus.

5.

[a] Sic Trinc. Scil. inc. 52. Deest locus A.

[b] αὐτοῖς] αὐτῆς N.

Ib. ἐγὼ γὰρ ἃ ἔχω λέκτρα τάδε καλῶς ἔχειν] Ita putavi scribendum pro quo vulgo, ἐγὼ γὰρ ἕξω λέκτρα αὐτοῖς καλῶς ἔχειν. Scaliger, ἐγὼ γὰρ ἃ ἔχω λέκτρα τοῖς αὐτοῖς ἔχειν. Grotius. Valckenærius Diatr. p. 227. ἐγὼ παρέξω λέκτρα σοι καλῶς ἔχειν, sequentem v. alteri personæ tribuens.

6.

[a] Sic A. Scil. v. 693.

μήτ' ἐπιθεὶς μάλα πολλά, γάμος δέ τοι ὥριος οὗτος.
ἡ δὲ γυνὴ τέτορ' [b] ἡβῴοι, πέμπτῳ δὲ γαμοῖτο.

7 [a] Εὐριπίδου Δανάης.

Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις,
μὴ πρὸς τὸ γῆρας τοὺς γάμους ποιουμένους
σχολῇ τεκνοῦσθαι παῖδας· οὐ γὰρ ἡδονὴ,
γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ·
ἀλλ' ὡς τάχιστα· καὶ γὰρ ἐκτροφαὶ καλαὶ,
καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί.

8 [a] Εὐριπίδου Φοίνικι.

Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.

9 [a] Θεοδώρου ὑπὲρ Ἐλπίδα Φοριανῆς.

Ἴσμεν δὲ ἅπαντας ἀνθρώπους, [b] ἐπειδ' ἂν ἐξ ἡλικίας [c] ἄνισαι πρὸς γάμους ὑπενεχθῶσι, πέρα τοῦ μετρίου νεότητος εἰωθότας ἡττᾶσθαι.

## ΟΤΙ ΕΝ ΤΟΙΣ ΓΑΜΟΙΣ ΟΥ ΤΗΝ ΕΥΓΕΝΕΙΑΝ, ΟΥΔΕ ΤΟΝ ΠΛΟΥΤΟΝ ΧΡΗ ΣΚΟΠΕΙΝ, ΑΛΛΑ ΤΟΝ ΤΡΟΠΟΝ. ΟΒ.

1 [a] Διοδώρου.

Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ [b] τουτονὶ
τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται [c] ποιεῖν.
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον, ἢ [d] κακὴν μετὰ χρημάτων,
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου.

[b] ἡβῴη] ἡβῴοι A.

7.

[a] Sic A. Scil. fr. 6. Simpl. Εὐριπίδου Trinc. ubi desunt ἀλλ' ὡς τ. etc.

8.

[a] Sic A. Deest locus Trinc.

9.

[a] Sic A. Deest locus Trinc.

[b] ἐπειδὰν] ἐπεὶ δ' ἂς A.

[c] ἄνισαι] ἂν ἴσαι A. B. Forte ἀνίσας.

1.

[a] Sic A. Trinc.

[b] τοῦτον] τουτονὶ Gesn. marg.

[c] ποιεῖν] ποεῖν Trinc.

[d] κακῶς] κακὴν Grotius.

2 [a] Μενάνδρου.

[b] Καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει
ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνήμεθα·
οὐκ ἐξετάζειν μὲν τὰ μηθὲν χρήσιμα,
τίς ἦν ὁ πάππος ἧς γαμεῖ, [c] τιτθὴ δὲ τίς·
τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ' ἧς
βιώσεται, μήτ' [d] ἐξετάζειν μήτ' ἰδεῖν·
ἀλλ' ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖχ', ἵνα
εἰ τἀργύριον καλόν ἐστι δοκιμαστὴς ἴδῃ,
[e] ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται·
τῆς διὰ βίου δ' ἔνδον καθεδουμένης ἀεὶ
μὴ δοκιμάσασθαι μηδὲν, ἀλλ' εἰκῇ λαβεῖν
ἀγνώμον', ὀργίλην, χαλεπὴν, ἐὰν τύχῃ,
λάλον. Περιάξω τὴν ἐμαυτοῦ θυγατέρα
τὴν πόλιν ὅλην· οἱ βουλόμενοι ταύτην λαβεῖν
λαλεῖτε, προσκοπεῖσθε πηλίκον κακὸν
λήψεσθ', ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν·
ἀλλ' εὐτυχὴς ἔσθ' ὁ μετριώτατον λαβών.

3 [a] Εὐριπίδου.

[b] Εἰ χρὴ γαμεῖν, χρὴ τἀκ τε γενναίων γαμεῖν,
δοῦναί τ' ἐς ἐσθλοὺς, ὅστις εὖ βουλεύεται.
κακῶν δὲ λέκτρων μὴ 'πιθυμίαν ἔχειν,
μὴ δ' εἰ ζαχρύσους οἴσεται [c] φέρνας δόμοις.

2.

[a] Sic A. Trinc. Cleric. pag. 230.

[b] καὶ] κεὶ Bentleius.

[c] τιτθὴ] τιθὴ A. Trinc.

[d] ἐξετάσαι] ἐξετάζειν Bentleius.

[e] ὃ] ὃς A. εἰ τἀργύριον pro εἴτ' ἀ. Bentleius.

3.

[a] Sic A. Trinc. v. Andromach. 1283.

[b] εἰ χρὴ γαμεῖν δῆτ' ἐκ τε γ. γ.] εἰ χρὴ γαμεῖν, χρὴ τὰ ἐκ τε γ. γ. A. et sic B. nisi quod τἀκ pro τὰ ἐκ Grotius dedit ex Euripide, κᾆτ' οὐ γαμεῖν δῆτ' ἔκ τε γενναίων χρεών. εἰ χρὴ γαμεῖν δῆτ' Grotius in mss.

[c] φρένας] φέρνας Gesnerus.

4 [a] Εὐριπίδου Κρήσσαις.

Γαμεῖτε νῦν, γαμεῖτε, [b] κᾆτα θνήσκετε
ἢ φαρμάκοισιν ἐκ γυναικὸς, ἢ δόλοις.
[c] ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν
γαμεῖ πονηρὰν, μωρός ἐστι· μικρὰ γὰρ
μεγάλων ἀμείνω [d] σώφρον' εἰ δόμοις ἔχει.

5 [a] Ἱππώνακτος.

Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,
τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν.
αὕτη γὰρ ἡ προῖξ οἰκίαν σώζει μόνη.
ὅστις δὲ [b] τρυφερῶς τὴν γυναῖκ' ἄγει λαβὼν,
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει,
εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον.

6 [a] Εὐριπίδου Βελλεροφόντης.

Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατῄσχυν' [b] ἐν δόμοισι νηπία.

7 [a] Μενάνδρου.

Τὰ μετὰ γυναικὸς εἰσιόντ' εἰς οἰκίαν
οὐκ ἀσφαλῆ τὴν κτῆσιν, οὐδ' ἱλαρὰν ἔχει.

4.

[a] Sic A. Scil. fr. 4. Deest lemma Trinc.

[b] καταθνήσκετε] κᾆτα θνήσκεται A.

[c] ὅστις. Sequentia sunt ex Electra 1096.

[d] σώφρον εἰ δόμοις ἔχειν] σώφρων εἰ δόμοις ἔχει Voss. ἐν Gesn. marg. ἔχει A. εἰ δ. ἔχει Trinc.

5.

[a] Sic A. Trinc.

[b] τρυφῶς] τρυφερῶς A. B. τρυφερὸς Trinc. Ut Hipponactis prioribus subjiciuntur, mihi videntur alterius loci si non poetæ. Ὅστις δὲ τρυφερῶς τὴν γ. α. λ. is dicitur σύνεργον commodam et εὔνουν habere. Grotius dedit, ὅ. δ' ἀτρύφερον: hoc vereor ut Græcum sit. Dum melius quid incidat, corrigerem, Ὅστις δέ που χρηστὴν γυναῖκ' &c. Valcken.

6.

[a] Sic A. Simpl. Εὐριπίδου Trinc. Fragm. Sthenob. 7.

[b] ἐν om. A.

7.

[a] Sic A. Trinc. Cleric. p. 283. Supra LXVIII. 28.

8 [a] Εὐριπίδου Ἀντιόπη.

Εἰ νοῦς ἔνεστιν· εἰ δὲ μὴ, τί δεῖ καλῆς
γυναικὸς, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;

9 [a] Ἀντιφάνους.

[b] Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως γυναικὸς προῖκα πολλὴν [c] φερομένης. 50

10 [a] Εὐριπίδου Ἀνδρομάχης.

[b] Φίλτρον δὲ [c] καὶ τόδ', οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' αἱ ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.

11 [a] Μενάνδρου.

Ὅστις γυναῖκ' ἐπίκληρον ἐπιθυμεῖ λαβεῖν
πλουτοῦσαν, ἤτοι μῆνιν ἐκτίνει θεῶν,
ἢ βούλετ' ἀτυχεῖν μακάριος καλούμενος. 431

12 [a] Εὐριπίδου Μελεάγρῳ.

Ἡγησάμην οὖν εἰ παραζεύξειέ τις
χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν,
ἐσθλοῖν [b] δ' ἀπ' ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον.

13 [a] Τοῦ αὐτοῦ Μελανίππης.

Μετρίων λέκτρων, μετρίων δὲ γάμων

8.

[a] Sic A. Scil. fr. 19. Deest lemma Trinc.

9.

[a] Sic A. Trinc.

[b] οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων Γυναικὸς, εἰ μὴ τὰς φρένας καλὰς ἔχῃ Arsen.

[c] φερομένης] φερούσης Trinc.

10.

[a] Sic A. Scil. v. 206. Simpl. Εὐριπίδου Trinc.

[b] Ex Euripide versus qui præcedunt et sequuntur addidit Grotius.

[c] καὶ τόδ'] τόδε Trinc.

11.

[a] Sic A. Trinc. Cleric. p. 233.

καλούμενος
[b] καλούμενος] ἡγούμενος Voss.

12.

[a] Sic A. Scil. fr. 10. Deest locus Trinc.

[b] δέ τ' ἀμφοῖν] δ' ἅτ' ἀμφοῖν A. Legendum δ' ἀπ' ἀμφοῖν.

Ib. ἔσθλον ἀμφοῖν ἔκγονον] ἐσθλὸν ἀμφοῖν ἔκγονον ὃν A. B. Verum puto quod conjecit Valckenærius Diatr. pag. 142. ἐσθλὸν ἂν φῦναι γόνον.

13.

[a] Sic A. Scil. fr. 10. Deest locus Trinc. In pr. μέτριον A.

*μετὰ σωφροσύνης*
[b] *κύρσαι θνητοῖσιν ἄριστον.*

14 [a] Εὐριπίδου Ἀνδρομάχης.

*Κύδιον βροτοῖς*
*πένητα χρηστὸν, ἢ κακὸν καὶ πλούσιον*
*γαμβρὸν πεπᾶσθαι καὶ φίλον· [b] σὺ δ' οὐδὲν εἶ.*

15 [a] Ἐκ τῶν Σερήνου.

*Λάκων τῶν πλουτούντων ἐπιεικεῖ νεανίσκῳ καὶ πένητι τὴν [b] αὐτοῦ θυγατέρα ἐξέδωκεν. Αἰτιωμένων δ' αὐτὸν τῶν συγγενῶν, Ἐγὼ, ἔφη, ἐποιησάμην γαμβρὸν πλούσιον ἐσόμενον, ἀλλ' οὐ πένητα.*

16 [a] Πλουτάρχου ἐκ τῶν Γαμικῶν παραγγελμάτων.

*Ὥσπερ ἐσόπτρου κατεσκευασμένου χρυσῷ καὶ λίθοις ὄφελος οὐδέν ἐστιν, εἰ μὴ δείκνυσι τὴν μορφὴν ὁμοίαν· οὕτως οὐδὲ πλουσίας γαμετῆς ὄνησις, εἰ μὴ [b] παρέχει τὸν βίον ὅμοιον τῷ ἀνδρὶ καὶ σύμφωνον τὸ ἦθος.*

## ΨΟΓΟΣ ΓΥΝΑΙΚΩΝ, ΕΤΙ ΚΑΙ ΠΕΡΙ ΓΑΜΟΥ. ΟΓ.

1 [a] Εὐριπίδου.

*Δεινὴ μὲν ἀλκὴ κυμάτων [b] θαλασσίων,*
*[c] δειναὶ δὲ ποταμοῦ καὶ πυρὸς [d] θερμαὶ πνοαὶ,*

[b] κῦρσαι] κύρσαν B.

14.

[a] Sic A. Scil. v. 640. Simpl. Εὐριπίδου Trinc.

[b] οὐδὲν εἶ] οὐδενί A. B. γαμβρὸν πεπάσθαι· σοὶ δ' οὐδέν. Ita Trinc.

15.

[a] Sic fere A. ubi Σερίνου. Deest locus Trinc.

[b] αὐτοῦ] ἑαυτοῦ A. et mox αὐτῶν.

16.

[a] Sic A. Scil. p. 139. F. Simpl. Πλουτάρχου Trinc.

[b] παρέχει] παρέχοι A.

1.

[a] Sic A. Trinc. Scil. Inc. 53. In Tit. ἔτι καὶ περὶ γάμου om. A.

[b] θαλασσία] θαλασσίων A. B. Voss. Arsen.

[c] δεινὰ] δειναὶ A. Voss. Arsen. Trinc. δεινοὶ δὲ ποταμοὶ malit Gesner.

[d] θερμαὶ] θερμοῦ A. Gesn. marg. Planudes v. Æsopi p. 12. citat Πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλαττίων πολλαὶ δὲ ποταμῶν—θερμοῦ. et mox πλὴν οὐδὲν—κακή.

δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία·
ἀλλ' οὐδὲν οὕτω δεινὸν, ὡς γυνὴ, κακὸν,
οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτ' ἐν γραφῇ,
οὐδ' ἂν λόγος [e] δείξειεν· εἰ δέ του θεῶν
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος [f] ἴστω, καὶ βροτοῖσι δυσμενής.

2 [a] Μενάνδρου.

Ἔστι δὲ
γυνὴ λέγουσα χρήστ' ὑπερβάλλων φόβος.

3 [a] Εὐριπίδου Ἱππολύτῳ.

[b] Ὄλοισθε· μισῶν δ' οὔ ποτ' ἐμπλησθήσομαι
γυναῖκας, οὐδ' εἰ φησί [c] τις μ' ἀεὶ λέγειν·
ἀεὶ γὰρ [d] οὕτως εἰσὶ κἀκεῖναι κακαί.
ἢ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

4 [a] Μενάνδρου.

Ἔργον γυναικὸς ἐκ λόγου πίστιν λαβεῖν.

5 [a] Εὐριπίδου Οἰδίποδος.

[b] Ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.

6 [a] Ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν.

7 [a] Μενάνδρου.

Ὡς ἔστ' ἄπιστον ἡ γυναικεία φύσις.

[e] δείξειεν] λέξειεν Voss. Arsen. B.
[f] ἴστω] ἴσθι Voss. Arsen.

2.

[a] Sic A. Cleric. p. 232. Habet Trinc. post n. 36.

3.

[a] Sic A. Scil. v. 664. Deest lemma Trinc.
[b] ὄλλυσθε] ὄλοισθε A. Gesn. marg. ὀλῦσθε Voss.
[c] τις μ'] μ' om. Trinc.
[d] οὕτως] οὖν πως Gesn. marg.

4.

[a] Sic A. Cleric. p. 232. Habet Trinc. post n. 36.

5.

[a] Sic A. Scil. fr. 10. Deest lemma Trinc.
[b] ἄλλων] ἄλλως A. Voss. Arsen. Trinc.

6.

[a] Deest lemma Trinc. locus A. Incerto tribuit Grotius. V. Fragmenta Euripidis Barnesiana ed. Beck. T. II. p. 496. n. 17.

7.

[a] Sic A. Cleric. p. 300. Habet Trinc. post n. 36.

8 [a] Εὐριπίδου Μηδείας.

Γυνὴ γάρ ἐστι τἄλλα μὲν φόβου πλέα,
κακὴ δ' ἐς [b] ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
[c] ὅτ' ἂν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

9 [a] Εὐριπίδου Ἑκάβης.

Ὅστις γυναῖκας τῶν πρὶν εἴρηκεν [b] κακῶς,
ἢ νῦν λέγει τὶς, ἢ πάλιν μέλλει λέγειν·
ἅπαντα ταῦτα συντιθεὶς ἐγὼ φράσω.
γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
τοιόνδ', ὁ [c] δ' ἀεὶ συντυχὼν ἐπίσταται. 432

10 [a] Εὐριπίδου Μελανίππης.

Πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος.

11 [a] Εὐριπίδου Δανάης.

[b] Γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων
οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.

12 [a] Εὐριπίδου Ἀλοπῆς.

Γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως.

13 [a] Εὐριπίδου Αἰόλου.

Γυναῖκα δ' ὅστις παύσεται [b] λέγων κακῶς,
δύστηνος ἄρα, κοὐ σοφὸς κεκλήσεται.

14 [a] Εὐριπίδου Αἰγέως.

Πέφυκε γάρ πως παισὶ [b] πολέμιος γυνὴ

8.

[a] Sic A. Scil. v. 263. Deest lemma Trinc.

[b] ἀλκὴν] ἀκμὴν Arsen.

[c] ὅταν] ὅταν δ' A.

9.

[a] Sic A. Scil. v. 1178. Deest lemma Trinc.

[b] κακῶς] κακῶν A. κακὸν B.

[c] δ' om. A.

10.

[a] Sic A. Scil. fr. 11. Desunt lemmata Tr. usque ad n. 35. inclusive.

11.

[a] Sic A. Scil. fr. 7.

[b] Vide infra LXXVII. 1.

12.

[a] Sic fere A, ubi 'Αλλ^{ο·}_{π} Scil. fr. 2.

13.

[a] Sic A. Scil. fr. 12.

[b] λέγειν] λέγων A. Voss.

14.

[a] Sic A. Scil. fr. 8.

[b] πολέμιον] πολέμιος A. παισὶ Musgravius pro πᾶσι.

τοῖς πρόσθεν, ἡ ζυγεῖσα [c] δευτέρῳ πόσει.

15 [a] Εὐριπίδου Ἀνδρομάχης.

Πολλὰς [b] ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.

16 [a] Εὐριπίδου Αἰγέως.

Δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι.

17 [a] Εὐριπίδου Ἀνδρομάχης.

[b] Γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.

18 [a] Εὐριπίδου Ἀνδρομάχης.

Ἐπίφθονόν τι χρῆμα θηλείας φρενὸς,
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.

19 [a] Εὐριπίδου Ἀνδρομάχης.

Πέποιθα· δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα,
ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
κακῆς· τοσοῦτον ἐσμὲν ἀνθρώποις κακόν.

20 [a] Εὐριπίδου Βελλεροφόντης.

Ὦ παγκακίστη, καὶ γυνή· τί γὰρ λέγων
μεῖζόν σε τοῦδ' ὄνειδος [b] ἐξείποι τίς ἄν;

21 [a] Εὐριπίδου Δανάης.

[b] Ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
[c] μέλουσι, λόγχῃ δ' ἄνδρες [d] εὐστοχώτεροι.

[c] δευτέρῳ πόσει] δευτ. . . πρ̄ῖ (sic) A.—παισὶ πολέμιον γ.—δευτέρα πόσει Elmsleius Annot. in Euripid. Med. p. 66.

15.
[a] Sic A. Scil. v. 85.
[b] ἂν] γὰρ Voss. Trinc.

16.
[a] Sic A. Scil. fr. 5.

17.
[a] Sic A. Scil. v. 95.
[b] γυναικὶ] γυναιξὶ A.

18.
[a] Sic A. Scil. v. 181.

19.
[a] Sic A. Scil. v. 269.

20.
[a] Sic A. Scil. fr. 13.
[b] ἐξείποι] ἐξείπῃ A.

21.
[a] Sic A. Scil. fr. 8.
[b] ἦν] τὴν A. Voss.
[c] μέλλουσι] μέλουσι B.
[d] εὐστοχώτεροι] εὐστοχώτατοι Gesn. marg.

εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον,
ἡμεῖς ἂν ἀνδρῶν [c] εἴχομεν τυραννίδα.

22 [a] Εὐριπίδου Δανάης.

Συμμαρτυρῶ σοι· πανταχοῦ λελείμμεθα
πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.

23 [a] Εὐριπίδου Ἱππολύτῳ.

[b] Ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον [c] ἐκβλαστοῦμεν
γυναῖκες πολὺ δυσμαχώτερον.

24 [a] Εὐριπίδου Ἰνοῦς.

Φεῦ, ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι γὰρ καλοῖς
πολλῷ λέλειπται, κἀπὶ τοῖς αἰσχροῖς πλέον.

25 [a] Τοῦ αὐτοῦ.

Ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες,
ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.

26 [a] Εὐριπίδου Ἰφιγενείας.

Δειναὶ μὲν αἱ γυναῖκες εὑρίσκειν τέχνας.

27 [a] Εὐριπίδου Μηδείας.

Πάντων δ' [b] ὅσ' ἔστ' ἔμψυχα καὶ γνώμην [c] ἔχει,
γυναῖκες ἐσμὲν ἀθλιώτατον φυτόν·
ἃς πρῶτα [d] μὲν δεῖ χρημάτων ὑπερβολῇ

[c] ἔχομεν] εἴχομεν A. Trinc.

22.

[a] Sic A. Scil. fr. 9.

23.

[a] Sic A. Scil. fr. 7.

[b] Ἀντὶ γὰρ πυρὸς Πῦρ ἄλλο μεῖζον ἠδὲ δυσμαχώτερον Ἔβλαστον αἱ γυναῖκες] Hanc lectionem in versus suos distinctam concinnavimus ex duabus corruptis: quarum ea quæ apud Stobæum sic habebat, Ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον ἐκβλαστοῦμεν Γυναῖκες πολὺ δυσμαχώτερον. Altero vero apud Clementem Strom. VI. in hunc modum, ἀντὶ πυρὸς δὲ γὰρ ἄλλο πῦρ μεῖζον καὶ δυσμαχώτερον βλάστον γυναῖκες. Grotius.

[c] ἐκβλαστοῦμεν] ἐκβλαστῶμεν A. Voss.

24.

[a] Sic A. Scil. fr. 8.

25.

[a] Sic A. Inus fr. 9.

26.

[a] Sic A. Scil. Taur. v. 1032.

27.

[a] Sic A. Scil. v. 230.

[b] ὅσ' ἔστ'] ὥστ' B.

[c] ἔχει] ἔχειν A.

[d] μὲν δεῖ] μὲν δεῖ χρὴ et in marg. χρὴ Voss. Mox δεσπότην δὲ Trinc.

πόσιν πρίασθαι, δεσπότην τε σώματος
λαβεῖν· κακοῦ γὰρ [e] τοῦτό γ' ἄλγιον κακόν.

28 [a] Εὐριπίδου Μελέαγρος.

[b] Κακίων ἄλοχος, κἂν ὁ κάκιστος
γήμῃ τὴν εὐδοκιμοῦσαν.

29 [a] Εὐριπίδου Μελέαγρος.

Εἰ κερκίδων μὲν ἀνδράσιν [b] μέλοι πόνος,
γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί.
ἐκ τῆς ἐπιστήμης [c] γὰρ [d] ἐκπεπτωκότες,
κεῖνοί τ' ἂν οὐδὲν [e] εἶεν, [f] οὔθ' ἡμεῖς ἔτι.

30 [a] Εὐριπίδου Ἱππολύτου.

Ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν
γυναῖκας εἰς φῶς ἡλίου κατῴκισας;
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,
ἀλλ' [b] ἐντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς 433
ἢ χαλκὸν, ἢ σίδηρον, ἢ χρυσοῦ βάρος,
[c] παίδων πρίασθαι σπέρμα τοῦ τιμήματος.

31 [a] Τοῦ αὐτοῦ.

Μισῶ γυναῖκας, ἐκ πασῶν [b] δέ σε [πλέον,]
ἥτις πονηρὰ τἄργ' [c] ἔχουσα εὖ λέγεις.

[e] τοῦτο γ'] τοῦ γ' A.

28.

[a] Sic A. Scil. fr. 2.
[b] πᾶσα γὰρ ἀνδρὸς Κακίων Grotius in mss.

29.

[a] Sic A. Scil. fr. 11. Menandro tribuit Voss.
[b] μέλοι] μέλλοι Voss. Trinc.
[c] γὰρ] μὲν Grotius.
[d] ἐκπεπτωκότες] ἐμπεπκτωκότες Voss. Trinc. παρεκπεπτωκότες Valckenær. Diatr. p. 143. qui consulatur.
[e] εἶσιν] εἶεν A. B. Voss. Gesn. marg.
[f] οὐδ' ὑμεῖς] οὔθ' ἡμεῖς B. Voss.

30.

[a] Scil. v. 616.
[b] ἀντιθέντας] ἐντιθέντας A. Tr.
[c] παίδων] πόσιν A. Voss. Trinc.

31.

[a] Sic A. Scil. inc. 54. Meleagro tribuit Voss.
[b] δέ σε πλέον] πλέον om. A. B. Voss. γυναῖκα Trinc.
[c] ἔχουσα εὖ] ἔχουσ' εἶτ' εὖ Dobræus Aristoph. Plut. 278.

32 [a] Εὐριπίδου Μηδείας.

Γυναῖκες [b] ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

33 [a] Ἐν ταυτῷ.

Οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
ἀλλ' εἰς τοσοῦτον ἥκετ', ὥστ' ὀρθουμένης
εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε.

34 [a] Τοῦ αὐτοῦ Ὀρέστης.

Ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ [b] δυστυχέστατον.

35 [a] Τοῦ αὐτοῦ Φρίξῳ.

Ὡς [b] οὐδὲν ὑγιές φασι μητρυιὰς φρονεῖν
νόθοισι παισὶν, ὧν φυλάξομαι ψόγον.

36 [a] Εὐριπίδου Φοινίσσαις.

[b] Φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ.
σμικρὰς δ' ἀφορμὰς ἢν [c] λάβωσι τῶν ψόγων,
πλείους [d] ἐπεισφέρουσιν· ἡδονὴ δέ τις
γυναιξὶ μηδὲν ὑγιὲς [e] ἀλλήλας λέγειν.

37 [a] Ὁμήρου.

Οἶσθα γὰρ, οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν [b] ὀπύοι.
παίδων δὲ προτέρων καὶ [c] κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνειότος, οὐδὲ μεταλλᾷ.

32.

[a] Sic A. Scil. v. 418.

[b] εἰς μὲν] ἐσμὲν A. Arsen. Gesn. marg. Trinc.

33.

[a] Sic A. Scil. v. 568. Deest Trinc.

34.

[a] Sic A. Scil. v. 605.

[b] δυστυχέστατον] δυστυχέστερον Gesn. marg.

35.

[a] Sic A. Scil. fr. 12.

[b] οὐδὲν ὑγιὲς] ὑγιὲς οὐδὲν A.

36.

[a] Sic A. Scil. v. 206.

[b] φιλόψογον γὰρ χρῆμα θηλειῶν γένος Gesn. marg.

[c] λάβωσι] λάθωσι B. Mox λόγων Trinc.

[d] ἐπησφέρουσιν] ἐπιφέρουσιν A. Tr.

[e] ἀλλήλαις] ἀλλήλας A. Trinc.

37.

[a] Sic A. Trinc. Scil. Od. O. 20.

[b] ὀπυίοι] ὀπύοι Voss. Trinc.

[c] κουριδίοιν φίλοιο] κουριδίοις φίλοις

38 [a] Ἡσιόδου.

Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε [b] φηλήτῃσιν.

39 [a] Ἀλέξιδος.

Οὐκ ἔστ' ἀναισχυντότερον οὐθὲν θηρίον
[b] γυναικὸς, ἀπ' ἐμαυτῆς ἐγὼ τεκμαίρομαι.

40 [a] Μενάνδρου.

[b] Καίτοι λογίζομ' ὁ κακοδαίμων προσδοκῶν
χάριν παρὰ γυναικὸς κομιεῖσθαι, [c] μὴ μόνον
κακόν τι προσλάβοιμι, καὶ κάλλιστ' ἔχει.
οὐκ ἐν γυναικὶ φύεται πλείστη χάρις.

41 [a] Εὐριπίδου Αὐγῆς.

Γυναῖκες ἐσμέν· τὰ μὲν ὄκνῳ νικώμεθα,
τὰ δ' οὐκ ἂν ἡμῶν θράσος [b] ὑπερβάλλοιτό τις.

42 [a] Ἀλέξιδος.

Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα,
οὐδ' ἄλλο δυσφύλακτον οὐδὲν, ὡς γυνή.

43 [a] Μενάνδρου.

Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ,
[b] ὅτ' ἂν τι περιπλάττωσι τοῖς χρηστοῖς λόγοις.

Voss. Trinc. κουριδίας A. m. p. φίλης A. m. sec.

38.

[a] Sic A. Trinc. Scil. Opp. 373.
[b] φιλήτῃσιν] φηλήτησιν A.

39.

[a] Sic A. Trinc.
[b] γυναικὸς] εἰσορᾶν γυναικὸς A. Voss.

40.

[a] Sic A. Trinc. Cleric. p. 232.
[b] καί τοι] καί γε A. Voss. Trinc. καί τι λελόγισμαι Grotius. καί τοι τί λογίζομ' Bentleius.
[c] μὴ μόνον] Leg. μὴ μὲν οὖν κ. τ. π. κ. κ. ἔ. Dicitur quidem ἓν ἀγαθὸν πάσχει μόνον, ut 434, 17. Valcken.

41.

[a] Sic A. Scil. fr. 4. Deest locus Trinc.
[b] ὑπερβάλλοιτο] ὑπερβάλοιτο A. B.

42.

[a] Sic A. Trinc. v. Fr. Eurip. Danaes 13.

43.

[a] Sic A. Trinc. Cleric. p. 234.
[b] ὅταν τι περιπλάττωσι] Illud τι heic desiderari monuit me Salmasius. Idem malebat περιπέττωσι, quomodo Aristophani dictum, Ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν. Grotius. Videatur Dobræus in Aristoph. Plut. 159.

44 [a] Μενάνδρου.

Πολὺ [b] χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν, ἢ κύνα.

45 [a] Μενάνδρου.

Οὐδέποθ' ἑταίρα τοῦ καλῶς πεφρόντικεν,
ἢ τὸ κακόηθες πρόσοδον εἴωθεν ποιεῖν.

46 [a] Μενάνδρου.

Φύσει γυνὴ [b] δυσήνιόν ἐστι καὶ πικρόν.

47 [a] Ἡσιόδου Θεογονίας.

Τῆς γὰρ ὀλώϊόν ἐστι γένος, καὶ φῦλα γυναικῶν
πῆμα μέγα θνητοῖσι σὺν ἀνδράσι ναιετάουσι,
οὐλομένης πενίης οὐ [b] σύμφοροι, ἀλλὰ κόροιο.

48 [a] Ἀντιφάνους.

Ἐγὼ γυναικὶ δ' ἕν τι πιστεύω μόνον, 434
ἐπ' ἂν ἀποθάνῃ μὴ βιώσεσθαι πάλιν·
τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ', [b] ἕως ἂν ἀποθάνῃ.

49 [a] Ἡσιόδου Ἔργων.

Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν, ᾧ κεν ἅπαντες
[b] τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.

50 [a] Ἐν ταυτῷ.

Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ [b] ἐπίκλοπον ἦθος.—
Ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης

44.
[a] Sic A. Cleric. p. 234. Deest lemma Trinc.
[b] χεῖρον] χειρότερον Trinc.

45.
[a] Sic A. Deest lemma Trinc. Cleric. ib.

46.
[a] Sic A. Cleric. ib. Deest lemma Trinc.
[b] δυσήνιον] δυσάνιον A. Voss.

47.
[a] Sic A. Scil. v. 591. Simpl. Ἡσιόδου Trinc.
[b] σύμφοροι] σύμφορα Gesneri marg.

48.
[a] Sic A. Ἀντιφώνου Trinc.
[b] ἕως] ἕως ἂν A. Voss. Trinc. Grotius.

49.
[a] Sic A. Scil. v. 57.
[b] τέρπονται] τέρπωνται A.

50.
[a] Sic A. Scil. v. 67. 77.
[b] ἐπίκλοπον] ἐπίπλοπον B.

ψεύδεά θ', αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος.

51 [a] Σοφοκλέους Ἐπίγονοι.

Ὦ πᾶν σὺ τολμήσασα, καὶ πέρα [b] γύναι.
κάκιον ἄλλ' οὐκ ἔστιν, οὐδ' ἔσται ποτὲ
γυναικὸς, [c] εἴ τι πῆμα γίγνεται βροτοῖς.

52 [a] Ἀντιφάνους.

Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ
πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον,
[b] ὅτ' οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον.

53 [a] Φιλίσκου Φιλαργύρων.

Εἰς τὸ μεταπεῖσαι ῥᾳδίως ἃ βούλεται
πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους.

54 [a] Σοφοκλέους.

Κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή.

55 [a] Εὐριπίδου Ἱππολύτῳ.

Θησεῦ, παραινῶ καὶ τὸ [b] λώϊστον φρονεῖν·
γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων.

56 [a] (Μενάνδρου) Ὑποβολιμαίου.

Πολλῶν κατὰ γῆν καὶ κατὰ θάλατταν [b] θηρίων
ὄντων, μέγιστόν ἐστι θηρίον γυνή.

51.

[a] Sic A. Scil. fr. 2. Simpl. Σοφοκλέους Trinc.
[b] γύναι] γυνή A. B.
[c] εἴ τι] ἢ εἴ τι A. Trinc. et mox γίγνεται pro γίνεται A.

52.

[a] Sic A. Trinc.
[b] ὅτ'] ὅταν Voss.

53.

[a] Sic A. Simpl. Φιλίσκου Trinc.

54.

[a] Sic A. Scil. fr. 25. Deest locus Trinc.

55.

[a] Sic A. Scil. fr. 8. Deest locus Trinc.
[b] λώϊστον φρονεῖν] λώϊστον φρονεῖς A. B. Legerim π. σοι τὸ λῷστον, εἰ φρονεῖς.

56.

[a] A. Simpliciter Ὑποβολιμαίου. Gesn.: *In Hypobolimæa, Menandri, ut puto.* Cleric. p. 182. Mutilum videtur lemma etiam Photii tempore, qui *Hypobolimæum* inter poetas Stobæo excerptos recenset. Deest locus Trinc.
[b] θηρίων] θηρίον B.

57 [a] Εὐριπίδου Φοίνικι.

Γυνή τε [b] πάντων ἀγριώτατον κακόν.

58 [a] Μενάνδρου.

Ὅπου γυναῖκές εἰσι, πάντ' ἐκεῖ κακά.

59 [a] Μενάνδρου.

Οὐ πάνυ
εἴωθ' ἀληθὲς οὐδὲ ἓν λέγειν γυνή.

60 [a] Φωκυλίδου.

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε [b] γένοντο
φῦλα γυναικείων, ἡ μὲν κυνὸς, [c] ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης
εὔφορος, ἠδὲ ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς, οὔτ' ἂρ κακὴ, οὐδὲ μὲν ἐσθλή·
ἡ δὲ κυνὸς, χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης,
οἰκονόμος τ' ἀγαθὴ, καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

61 [a] Σιμωνίδου.

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
τὰ πρῶτα, τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ [b] κυλινδεῖται χαμαί·
αὕτη δ' ἄλουτος, [c] ἀπλύτοις τ' ἐν [d] εἱμάσιν,

57.

[a] Sic A. Scil. fr. 6. Deest locus Trinc.

[b] πάντως] πάντων A. B. Vide Valckenær. Diatr. p. 271.

58.

[a] Sic A. Trinc. Cleric. p. 234.

59.

[a] Sic A. Cleric. p. 234. Deest lemma Trinc.

60.

[a] Sic A. Trinc.

[b] τῶνδε γένοντι] τῶν A. γένοντο A. Voss. Arsen. Trinc. τῶν δ' ἐγένοντο B.

[c] ἠδὲ] ἧδε B.

61.

[a] Sic A. Trinc.

[b] κυλινδεῖται] κυλίνδεται B.

[c] ἀπλύτος τ'] ἀπλύτοις τ' Valckenærius, ut et nos Poet. Min. I. p. 410. deest copula A. ἄπλουτος Trinc.

[d] ἱμάσιν] εἷμασιν Voss. εἱμάσιν Arsen. B.

ἐν κοπρίῃσιν [e] ἡμένη πιαίνεται.
Τὴν δ᾽ ἐξ ἀλιτρῆς θεὸς ἔθηκ᾽ ἀλώπεκος,
γυναῖκα πάντων ἴδριν, οὐδέ μιν κακῶν
λέληθεν οὐδὲν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ αὐτῶν [f] εἶπε πολλάκις [g] κακὸν,
τὸ δ᾽ ἐσθλόν· ὀργὴν δ᾽ ἄλλοτ᾽ ἀλλοίην ἔχει.
Τὴν δ᾽ ἐκ κυνὸς [h] λιτουργὸν αὐτομήτορα,
ἣ πάντ᾽ ἀκοῦσαι, πάντα δ᾽ εἰδέναι θέλει·
πάντῃ δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδέν᾽ ἀνθρώπων ὁρᾷ·
παύσειε [i] δ᾽ ἄν μιν οὔτ᾽ ἀπειλήσας ἀνὴρ,
οὐδ᾽ εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ᾽ ἂν μειλίχως μυθεύμενος,
οὐδ᾽ εἰ παρὰ ξείνοισιν [k] ἡμένη [l] τύχοι·
ἀλλ᾽ [m] ἐμπεδῶς ἄπρηκτον [n] αὐονὴν ἔχει.
Τὴν δὲ πλάσαντες γηΐνην ὀλύμπιοι,
ἔδωκαν ἀνδρὶ [o] πηρόν· οὔτε γὰρ κακὸν,
οὔτ᾽ ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
[p] ἔργων δὲ μοῦνον ἐσθίειν ἐπίσταται·
[q] κοὔτ᾽, ἂν κακὸν χειμῶνα ποιήσῃ θεὸς,
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
Τὴν δ᾽ ἐκ θαλάσσης, [r] ἣν δύνῃ, φρεσὶν νόει.
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην,
ἐπαινέσει [s] μιν ξεῖνος ἐν δόμοις ἰδὼν,

[e] ἡμένη] εἱμένη Arsen. εἱμένει A.
[f] ἐστι] εἶναι N. Trinc. εἶπε A. γ᾽ εἶπε B. εὖ Arsen. ἔσει Voss.
[g] κακὸν] κακῶν Voss.
[h] λιτουργὸν] λιτοργὸν A. Voss. Arsen. Trinc. Gesn. marg. λειτουργὸν Grotius.
[i] δ᾽ ἂν] δὲ Voss.
[k] ἡμένη] εἱμένη A. Voss. Arsen.
[l] τύχῃ] τύχοι Arsen.
[m] ἐμπεδῶς] ἔμπεδος A.
[n] αὐονὴν] αὖον ἦν A.
[o] πονηρὸν] πηρὸν A. Voss. Arsen.
[p] ἔργον] ἔργων Voss.
[q] χ᾽ ὥταν] κοὔτ᾽ ἂν A.
[r] ἤδη ἐν] ἡδὺ ἐν A. Voss. Arsen. Trinc. σῆσιν corrigit Valckenærius. Dedi ἣν δύνῃ. νοεῖ B.
[s] μὲν] μιν Valckenærius, et Brunck.

“ οὐκ ἔστιν ἄλλη τῆσδε [t] λωΐων γυνὴ
“ ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων·
τὴν δ’ οὐκ [u] ἀνεκτὸς, οὐδ’ ἐν ὀφθαλμοῖς ἰδεῖν,
οὔτ’ ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον, ὥσπερ ἀμφὶ τέκνοισιν κύων.
ἀμείλιχος δὲ πᾶσι [w] κἀποθυμίη
ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίγνεται.
ὥσπερ θάλασσα πολλάκις μὲν [x] ἀτρεμὴς
ἕστηκ’ ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ· πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν [y] φορευμένη.
ταύτῃ μάλιστ’ ἔοικε τοιαύτη γυνὴ
ὀργήν· [z] φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
Τὴν δ’ ἔκ τε [a] σποδιῆς καὶ [b] παλιντριβέος ὄνου,
ἣ σύν τ’ ἀνάγκῃ σύν τ’ ἐνιπῇσιν μόγις
[c] ἔρεξεν [d] ὧν ἅπαντα, καὶ πονήσατο
ἀρεστά· τόφρα δ’ ἐσθίει μὲν ἐν μυχῷ
προνὺξ προῆμαρ· ἐσθίει δ’ ἐπ’ ἐσχάρῃ.
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόνθ’ ἑταῖρον ὁντινοῦν ἐδέξατο.
Τὴν δ’ ἐκ γαλῆς δύστηνον οἰζυρὸν γένος.
κείνῃ γὰρ [e] οὔτι καλὸν, οὐδ’ [f] ἐπίμερον
πρόσεστιν, οὐδὲ τερπνὸν, οὐδ’ ἐράσμιον·
εὐνῆς δ’ [g] ἀδηνής ἐστιν ἀφροδισίης.

[t] λωΐων] λώϊον Voss. Trinc.
[u] ἀνεκτὸς] ἀνεκτὸν B.
[w] κἀποθυμία] κἀποθυμίη A. Arsen. Voss. Trinc.
[x] ἀτρεμὴς] ἀτρέμας Valckenær.
[y] φορευμένη] φορουμένη B.
[z] φυγὴν] φυὴν A. Trinc. δ’ ὡς πόντος Grotius.
[a] σποδιῆς. *Cinericei coloris* Salmas. ad Plin. 256. Grot. in ms.
[b] παλιντριβέος] παλιντριβοῦς B.
[c] ἔρεξεν] ἔστερξεν A. B. ἔερξεν Voss. Arsen. N. Trinc.
[d] ὧν] Malim οὖν. Gesner.
[e] οὔτι] οὔτε Arsen.
[f] ἐφίμερον] ἐπίμερον A. Voss. Arsen.
[g] ἀληνῆς] ἀλήνης Gesn. marg. “ Vide an legi possit ἀκήλης pro “ ἀκήλητος, ἄθελκτος.” Ed. Fran-

τὸν δ' ἄνδρα τὸν παρόντα ναυσίῃ [h] διδοῖ,
κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακὰ,
[i] ἄθυτα δ' [k] ἱερὰ πολλάκις κατεσθίει.
Τὴν δ' ἵππος [l] ἁβρὴ χαιτήεσσ' ἐγείνατο,
ἣ δούλι' ἔργα καὶ δύην [m] περιτρέπει·
κοὔτ' ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι·
οὔτε πρὸς [n] ἴπνον ἀσβόλην [o] ἀλευμένη
ἵζοιτ', ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον·
λοῦται δὲ πάσης [p] ἡμέρης ἀπὸ [q] ῥύπον
δὶς, [r] ἄλλοτε τρὶς, καὶ μύροις ἀλείφεται·
ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ,
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην. 436
καλὸν μὲν οὖν θέαμα τοιαύτη γυνὴ
ἄλλοισι· τῷ δ' ἔχοντι [s] γίγνεται κακὸν,
ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.
Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα· τοιαύτη γυνὴ
εἶσιν δι' ἄστεος πᾶσιν [t] ἀνθρώποις γέλως.
ἐπ' αὐχένα [u] βραχεῖα κινεῖται μόγις,

cof. ἀδηνὴς Valckenærius et Brunckius.

[h] διδοῖ] δίδει A.

[i] ἄθυστα] ἄθυτα Athenæus p. 179. E.

[k] ἱρὰ] ἱερὰ A.

[l] ἀκρηχαιτείης] ἀκρηχαιτήεις Arsen. ἁβρηχετείης Voss. ἁβρηχαιτήεις Gesn. marg. ἁβρὴ χαιτήεις A. ἁβρὴ χαιτήεσσ' B. Ælianus H. An. XVI. 24. ubi Schneiderus e Gronovii emend. ἁβροχαιτήεσσ'. ἁβρὴ χαιτόεσσ' ex Æliano citat ed. Francof.

[m] περιτρέπει.] ἀποστυγεῖ conj. Brunckius, παρατρέχει Botheus.

[n] ἴπνον] ἰπνὸν B. ἵππον Voss. Arsen. Trinc.

[o] ἀλευμένη] ἀλευσμένη Arsen.

[p] ἡμέρης] ἡμέρας Voss.

[q] ῥύπον] ῥύπων A. B.

[r] ἄλλοτε] al. πολλάκις. Margo ed. Francof.

[s] γίνεται] γίγνεται Voss.

[t] ἀνθρώποις] ἀστοῖσι Arsen.

[u] βραχεῖα] βραχέα Arsen.

ἄπυγος, αὐτόκωλος· [w] ἆ τάλας ἀνὴρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει.
οὐδ᾽ ἄν τιν᾽ εὖ ἔρξειεν, ἀλλὰ τοῦθ᾽ ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
[x] ὅκως τί χ᾽ ὡς μέγιστον ἔρξειεν κακόν.
Τὴν δ᾽ ἐκ μελίσσης· τήν τις εὐτυχεῖ λαβών·
κείνῃ γὰρ οἴῃ μῶμος οὐ προσιζάνει.
θάλλει δ᾽ ὑπ᾽ αὐτῆς [y] κἀπαέξεται βίος,
φίλη δὲ [z] σὺν φιλεῦντι γηράσκει πόσει,
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος.
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι· [a] θείη δ᾽ ἀμφιδέδρομεν χάρις.
οὐδ᾽ ἐν γυναιξὶν ἥδεται καθημένη,
[b] ὅκου [c] λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς [d] τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
Τὰ δ᾽ ἄλλα [e] φῦλα ταῦτα μηχανῇ Διὸς
ἔστιν τε πάντα, καὶ παρ᾽ ἀνδράσιν μένει.
Ζεὺς γὰρ μέγιστον τοῦτ᾽ ἐποίησεν κακὸν,
[f] γυναῖκας, ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντι [g] τῷ μάλιστα γίγνεται κακόν.
οὐ γάρ κοτ᾽ εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅστις σὺν γυναικὶ [h] † πέλεται,
οὐδ᾽ αἶψα λιμὸν [i] οἰκίης ἀπώσεται,

[w] αὐτάλας] ἀτάλας A. B.
[x] ὅκως] ὅπως A. ὅλως Arsen.
[y] κἀπαέξεται[ κἀπαύξεται Trinc.
[z] σὺν φιλεῦντι] συμφιλεῦντι B. Voss.
[a] θείη δ᾽] δ᾽ om. Voss.
[b] ὅκου] οἴκου A. ὅπου B.
[c] λέγουσιν] λέγουσα Arsen.
[d] τὰς] τάς τ᾽ Arsen.
[e] φῦλα] φῦ^λα Voss.
[f] γυναῖκας—κακόν om. B.
[g] τῷ] τοι Brunckius.
[h] πέλεται] πίλναται Grotius e Salmasii emendatione. Aliud quid latet.
[i] οἰκίης] ἐκ δόμων B. Mox θεὸν pro θεῶν Grotius.

ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεῶν.
ἀνὴρ δ' ὅτ' ἂν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον, ἢ θεοῦ μοῖραν, ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
[k]ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην
ξεῖνον [l]μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ [m]τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη [n]μέγιστα τυγχάνει λωβωμένη,
κεχηνότος γὰρ ἀνδρός· οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τὸν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ [o]τοὐτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακὸν,
καὶ δεσμὸν ἀμφέθηκεν [p]ἄρρηκτον πέδη,
ἐξ οὗ τε τοὺς μὲν Ἀΐδης ἐδέξατο, 437
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

62 [a]Δημοκρίτου.

Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.

63 [a]Γαΐου ὑπὲρ Λουκίλλης.

Εὐάγωγον γάρ ἐστιν εἰς πίστιν γυνὴ, καὶ μάλιστα ὅτ' ἂν τὸ ἀτυχεῖν προσῇ.

64 [a]Γαΐου κατὰ Μενάνδρας.

Εὐάγωγον δὲ εἰς τὸ ῥᾳδίως [b]τὶ τολμῆσαι θυμὸς γυναικός.

[k] ὅκου] οἴκου A.
[l] μολόντα] μολῶντα A.
[m] τοι] τι Arsen.
[n] μέγιστα] μεγίστη B.
[o] τοῦ τέρου] τοῦ ἑτέρου A. τοῦ τέου. Arsen. τουτέου Trinc. τοὐτέρου Voss.
[p] ἄρρηκτον] ἄρρητον Trinc. Mox malim ἐξ οὗ γε.

62.
[a] Sic A. Trinc.

63.
[a] Sic A. Trinc.

64.
[a] Sic A. Deest locus Trinc.
[b] τι τολμῆσαι] ἐπιτολμῆσαι A. B.

## ΓΑΜΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ. ΟΔ.

1 [a] Ἀναξανδρίδου.

Χαλεπὴ λέγω σοι καὶ προσάντης, ὦ τέκνον,
ὁδός ἐστιν, ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε
παρ' ἀνδρὸς, [b] ἥ τις ἐστὶ κοσμία γυνή.
ὁ γὰρ δίαυλός ἐστιν αἰσχύνην ἔχων.

2 [a] Εὐριπίδου Κρήσσαις.

Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ
δοῦναι χαλινοὺς, οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν·
πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ
γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.

3 [a] Ἀντιφάνους.

Μὴ [b] ὄμμασιν τὸ σῶμα λαμπρύνειν θέλε,
ἔργοις δὲ καθαροῖς καὶ τρόποις τὴν καρδίαν.

4 [a] Εὐριπίδου Ἀνδρομάχης.

Ἀλλ' οὔ ποτ', οὔ ποτ', [b] οὐ γὰρ εἰσάπαξ ἐρῶ,
χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἔστιν γυνὴ,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον εἰσφοιτᾶν ἐᾶν
γυναῖκας· αὗται γὰρ διδάσκαλοι κακῶν.
ἡ μέν τι κερδαίνουσα συμφθείρει λέχος·
ἡ δ' ἀμπλακοῦσα, συννοσεῖν αὐτῇ θέλει·
πολλαὶ δὲ μαργότητι· κἀντεῦθεν δόμοι
νοσοῦσιν ἀνδρῶν· πρὸς τάδ' εὖ φυλάσσετε
κλείθροισι καὶ μοχλοῖσι δωμάτων πύλας·

1.
[a] Sic A. Trinc.
[b] εἴ τις] ἤ τις A. Trinc.

2.
[a] Sic A. Voss. Scil. fr. 11. Deest lemma Trinc. Vide Valckenær, Diatr. p. 199.

3.
[a] Sic A. Trinc.
[b] ὄμμασιν] Forte χρώμασιν. Gesner. Ita dedit Grotius. Mox λαμπρύνει Trinc.

4.
[a] Sic A. Scil. v. 945. Simpl. Εὐριπίδου Trinc.
[b] οὐ om. A. B.

ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

5 [a] Μενάνδρου Ὑποβολιμαίου.

Τὰ [b] δεύτερ' αἰεὶ τὴν γυναῖκα δεῖ λέγειν,
τὴν δ' ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρ' ἔχειν.
[c] οἰκία δ' ἐν ᾗ πάντα πρωτεύει γυνὴ,
οὐκ ἔστιν ἥτις πώποτ' οὐκ ἀπώλετο.

6 [a] Εὐριπίδου Μελανίππῃ.

Τίσασθε τήνδε· καὶ γὰρ [b] ἐνταυθοῖ νοσεῖ
τὰ τῶν γυναικῶν· [c] οἱ μὲν ἢ παίδων πέρι,
ἢ συγγενείας [d] οὕνεκ' οὐκ ἀπώλεσαν
κακὴν λαβόντες· εἶτα [e] δ' οὐ τότ' ἄδικον
πολλαῖς ὑπερρύηκε, καὶ χωρεῖ πρόσω,
[f] ὡς ἐξίτηλος ἡ ἀρετὴ καθίσταται.

7 [a] Ναυμαχίου.

Ἔστω σοι πόσις οὗτος, ὃν ἂν κρίνωσι τοκῆες.
κἂν μὲν ἔῃ πινυτὸς, σὺ μακαρτάτη· εἰ δέ κεν ἄλλως
ἀνέρα μοιρήσαιο, φέρειν καὶ τοῦτον ἀνάγκη.
ἀλλ' ἣν μέν [b] τις σοι πεπνυμένος, ὅττι κεν [c] εἴπῃ
πείθεο, μὴ δ' ἔστω βίος ἄνδιχα· [d] γίνεο δ' αὐτῷ

5.

[a] Sic A. Cleric. p. 244. Deest locus Trinc.

[b] δεύτερ' αἰεὶ] δευτερεῖα Grotius, improbante Bentleio.

[c] οἰκία δ' ἐν ᾗ πάντα πρωτεύει] οἰκία δ' ἐν ᾗ πρωτεύει πάντα A. B. οἶκος δ' ἐν ᾧ τὰ πάντα—ὅστις Bentleius.

6.

[a] Sic A. Deest lemma Trinc. Antiphani tribuit Gesnerus. Locum esse Tragici, forte Sophoclis, pronunciavit Porsonus Advers. p. 304.

[b] ἐνταυθοῖ] ἐντεῦθεν Elmsleius Mus. Crit. Cant. II. p. 302.

[c] οἱ] εἰ B.

[d] οὕνεκ'] εἵνεκ' A.

[e] οὐ τότ' ἄδικον] Lego οὖ. GESNER. οὕτω τἄδικὸν Grotius in notis: qui in textu pejus habet οὕτω ἄδικον. εἶτα τοῦτο τἄδικον Porsonus Advers. p. 304. εἶτα δ' ὧδε τἄδικον Elmsleius l. l.

[f] ὡς ἐξίτηλος ἡ ἀρετὴ] ὥστ' ἐξίτηλος ἀρετὴ Elmsleius.

7.

[a] Sic A. Trinc. v. 3. φέρῃς Tr.

[b] τις σοι] τί σοι Voss. Arsen.

[c] εἴπῃ] εἴποι Voss. Arsen. πεπνυμένος om. A.

[d] γείνεο] γίνεο B.

μειλιχίῃ, [e] καὶ μᾶλλον ὅτ' ἄν τι ἓ κῆδος ἱκάνῃ. 438
ἀνδρὶ γὰρ ἀσχαλόωντι παραίφασίς ἐστιν ἄκοιτις.
λεῖπε δέ οἱ τὰ θύρηφι, τὰ καὶ δύναται πονέεσθαι·
σοὶ δ' οἰκωφελίη μελέτω, μέγαρόν τε φυλάσσειν.
μηδέ μιν ἐξερέεινε, τὰ μὴ θέμις ἔστι γυναῖκας
ἴδμεναι· εἰ δ' αὐτός σ' ἐθέλει συμφράδμονα θέσθαι,
σύνθεο μὲν τάχα μύθῳ, ἀμείβεο δ' ὀψὲ σὺν αὐτῷ
φραζομένη, καὶ μηδὲν ὑπίσχεο, μηδὲ κελεύειν,
σῇ [f] ῥέζειν [g] ἰότητι· τὸ γὰρ τέλος ἔστιν ἀφαυρόν.
[h] κουρίδιος πινυτῇ πόσις ἄρκιος, οὐδέ τ' ἐκείνην
δεύτερος [i] ἀθρήσει λεχέων [k] ἀπογυμνωθεῖσαν.
πρῶτα μὲν ἀφραίνοντος [l] ἀνάσχεο, καὶ γὰρ ἀνάγκη.
πολλάκι που καὶ [n] νοῦσον [o] ἀνάσχεο κηδομένη περ.
ἴσχεο δ' ἐν στέρνοις τὰ σὰ κήδεα, μηδ' ἀγόρευε
πᾶσιν ὅσα πρήσσει, μηδ' ἔννεπε πάντα τοκεῦσι.
μούνη δ' ἀφραδέοντα [p] πινυσσέμεν, ἀλλὰ κατ' αἶσαν·
καὶ πινυτὸν δεδάηκ' ἐρεθιζέμεν ἀνέρα [q] λώβῃ·
πολλάκι δ' ἤπιος ἄνδρα [r] καὶ ἄφρονα μῦθος ἔθελξεν.
εἰ δ' [s] ὀλοοῖς ἑτάροισιν ἐφεσπόμενος κακὸς εἴη,
μὴ σὺ μὲν ἀντιβίην κείνου, τέκος, εἰς ἔριν ἔλθῃς,
ἀλλ' ἑτάρους ὄτρυνε μετὰ σφίσι νείκεα βάλλειν.
ῥηΐδίη δ' ὁδὸς ἥδε [t] διακρῖναι φιλότητα

[e] καὶ om. A. Voss. Trinc. Mox post αὐτὸς deest σ' edd. et credo mss. Postea pro μύθῳ recte Schæferus θυμῷ.

[f] ῥέξειν] ῥέζειν Arsen. B. Voss.

[g] ἰσότητι] ἰότητι A. B. Arsen. Gesn. marg. Voss. ex emend. ubi videtur prius scriptum fuisse ἰσότητι.

[h] κουρίδιος] Lego κουριδίῳ. Gesn.

[i] ἀθρήσει] ἀθρήσει A.

[k] ἀπογυμνωθεῖσαν] Brunckius videtur in suo codice invenisse ἐπιγυμνωθεῖσαν. Hanc lectionem e nullo meorum enotatam reperio.

[l] ἀνέσχετο] ἀνάσχεο A. B. Arsen. Voss.

[n] νοῦσον] νούσων Voss. που om. Trinc.

[o] ἀνάσχεο] ἀνέσχεο A.

[p] πινυσσέμεν] πινύσσεμεν Voss. Arsen. Mox οὖσαν Trinc.

[q] λώβην] λώβῃ A. λώβῃ Trinc.

[r] γὰρ] καὶ A. Voss. Arsen.

[s] ὀλοῖς] ὀλοοῖς A. B. ὀλοεῖς ἑτέροισιν Trinc.

[t] διακρῖναι] διακρίνει Voss. Ars. p. m.

λευγαλέην, ἑτάροις δὲ φίλον ἀγαθοῖσι γενέσθαι,
[v] σῇ πινυτῇ· τίς γάρ κεν ἑκὼν φίλον ἄφρονα θεῖτο;
καὶ σὺ μὲν ὡς φίλον ἄνδρα καὶ ἀτρεκέως ἀγάπαζε.
γνώτω δ' ἀμφαδίην καὶ σὸς πόσις, ὅττι κε τέκνα
ἐκ θυμοῦ [x] φιλέεις· ἐπεὶ οὔτι γε τοῖος ἐτύχθη
οἷος ἔχειν φιλότητα, καὶ ἤθεα πιστὰ δαῆναι.
παρθενικὴ, σὺ δ' ἄκουε τά σε χρὴ πάντα φυλάσσειν.
μήτε [y] φιλομμειδὴς μάλα γίγνεο, μήτε κατηφής·
μήτ' ἔσο πάμπαν ἀεργὸς, ἄλις δ' ἔχε καὶ πόνου [z] ἔργον.
μήτε κακὴ δμώεσσι τεοῖς ἔσο, μήτε μάλ' ἐσθλὴ
φαίνεο· [a] ῥηΐτεροι γὰρ ἀεί που πῆμα φέρονται.
θάρσει δειδιότων μάλ' ἐπικρατέουσιν ἄνακτες.
ὀθνείων φιλότητας ἀναίνεο, πρίν κεν ἀπ' ἄλλων
εἰδείης ἐτύμως [b] μελεδήματα καὶ νόον αὐτῶν.
μήτε γραῦν ποτε σοῖσι κακὴν δέξαιο μελάθροις· 439
πολλῶν γρῆες ἔπερσαν ἐΰκτιτα δώματα [c] φώτων.
μηδὲ [d] μὲν ἀκριτόμυθον ἑταιρίσσαιο γυναῖκα·
κεδνὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα μῦθοι.
μὴ σύ ποτε χρυσῷ περιμαίνεο, μήτ' ἐπὶ δειρῆς
πορφυρέην ὑάκινθον [e] ἔχῃς, ἢ χλωρὸν ἴασπιν,
τοῖς ἐπιφυσιόωσι [f] δ' ἀλίφρονες· ἀλλὰ σὺ κόσμου
παρθένε τηΰσίου μὴ δεύεο, μηδὲ κατόπτρου,
χειρὶ διακρίνουσα τεὴν αὐγάζεο μορφὴν,
μηδὲ κόμης [g] περίαλλα πολυσχιδέας πλέκε σειρὰς,

[v] σῇ τι πινυτῇ] Malim καὶ πινυτοῖς. GESNER. σῇ πινυτῇ A.

Ib. Heic πινυτὴ est σύνεσις, φρόνησις, interprete Hesychio. Atque ita Theognis utitur, ut monuit Salmasius. GROTIUS,

[w] ὅττι κε] ὅτι καὶ Voss. Arsen. ὅττι γε Brunck.

[x] φιλέῃς] φιλέεις A. Voss. Arsen.

[y] φιλομειδὴς] φιλομμειδὴς A. B.

[z] ἔργον] ἔργων B.

[a] ῥηΐτεροι] ῥηΐτεραι B.

[b] μελεδήματα] μελετήματα Voss.

[c] φώτων] φωτῶν B.

[d] μιν] μὲν A.

[e] ἔχοις] ἔχῃς A. ἔχεις Voss. Supra δειρὴν Trinc.

[f] δαλίφρονες] δ' ἀλίφρονες A. Arsen. ἀλίφρονες B. Vide infra XCIII. 23. Valckenær. Euripid. Phœn. 108.

[g] πέρι; ἀλλὰ] περίαλλα B. et sic

μηδὲ μέλαινε τεοῖσιν [h] ὑπὸ βλεφάροισιν ὀπωπάς.
οὐ γὰρ θηλυτέραις [i] δέμας ὤπασεν [k] ἡμιτέλεστον
μορφὴν, ὄφρα καὶ ἄλλα περὶ χροῒ τεχνήσαιντο.
πῶς δ' ἂν κοῦρα δύναιο δαήμονι φωτὶ φανῆναι,
θνητὸν [l] ἐφημερίῃ κομιδῇ χρόα ποικίλλουσα;
ἐξ ἑτέρης ἑτέρην σε, καὶ ἄλλην ἄλλοτε [m] λεύσσω
φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα.

8 [a] Εὐριπίδου Πενθέως.

[b] Οὐχ ὁ Διόνυσος μὴ σωφρονεῖν ἀναγκάσει
γυναῖκας εἰς τὴν Κύπριν· ἀλλ' εἰς τὴν φύσιν
τοῦτο σκοπεῖν χρή· καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ', ἥ γε σώφρων, οὐ διαφθαρήσεται.

9 [a] Ἀντιφάνους.

Τί φῄς; λαθεῖν ζητῶν τι πρὸς [b] γυναῖκ' [c] ἐρεῖς
τὸ πρᾶγμα; καὶ τί τοῦτο [d] διαφέρει,
ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι;

10 [a] Εὐριπίδου.

Μοχθοῦμεν ἄλλως θῆλυ [b] φρουροῦντες γένος.

Salmasius apud Grotium. Supra κατόπτρῳ Turneb.

[h] ὑπὸ] ὑπὲρ A.

[i] δέμας] φύσις B.

[k] ἡμιτέλεστον] ἡμιτέλευτον A.

[l] ἐφημερίῃ κομιδῇ] ἐφημερίῃ κομιδῇ B. ἐφημέρῃ Voss. Trinc. ἐφ' ἡμετέρῃ Arsen.

[m] λεύσσω] λεύσσων A.

8.

[a] Sic A. Scil. Bacch. 314. Deest locus Trinc.

[b] Οὐχ ὁ Διονῦς] Ita legendum diximus supra Tit. V. Neque aliter heic habebat MS. A. Grotius. Immo A. diserte habet διόνῦσ i. e. διόνυσος. Reliqua post γυναῖκας edidimus ex A. B. Grotius Euripidis editiones secutus est.

9.

[a] Sic A. Trinc.

[b] γυναῖκα] σοῦ post γυναῖκα addit Grotius. Pro διαφέρει lege, διαφέρειν οἴει, vel si mavis, δοκεῖς. Si σοῦ addatur, debet addi et articulus. Pessime rem gessit Brunckius ad Aristoph. Nub. 199. conf. Eq. 860. Lysist. 247. 464. 763. 1149. Porsonus Adv. p. 304.

[c] ἐρεῖς] ἔρις A.

[d] διαφέρει] λίαν διαφέρει B. Illud λίαν videtur correctoris esse, versum utcunque supplere conantis.

10.

[a] Sic A. Trinc. Scil. inc. 55.

[b] φρουροῦντες] φρονοῦντες A. N. Trinc. Vide infra 17.

ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν [c] † ἔνδον,
τί [d] δεῖ φυλάσσειν, κἀξαμαρτάνειν πλέον;

11 [a] Μενάνδρου.

Τοὺς τῆς γαμετῆς ὅρους ὑπερβαίνεις, γύναι,
[b] τὴν αὔλιον· πέρας γὰρ [c] αὔλιος θύρα
ἐλευθέρᾳ γυναικὶ νενόμιστ' οἰκίας.
τὸ δ' ἐπιδιώκειν, εἴς τε τὴν ὁδὸν τρέχειν,
ἔτι λοιδορουμένην, κυνὸς ἔστ' ἔργον, [d] Ῥόδη.

12 [a] Εὐριπίδου Μελεάγρῳ.

Ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν
ἐσθλὴν, [b] θυράσι δ' [c] ἀξίαν τοῦ μηδενός.

13 [a] Εὐριπίδου Δανάης.

Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα
οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.

14 [a] Ἡρώδου μιμιάμβων.

Μὴ δὴ κόρη τὺ τὴν χολὴν ἐπὶ ῥῖνας
ἔχ' εὐθὺς, ἤν τί ῥῆμα μὴ σοφὸν πεύθῃ.
γυναικός ἐστι κρηγύης φέρειν πάντα.

15 [a] Εὐριπίδου.

Γυναικὶ δ' ὄλβος ἂν πόσιν στέργοντ' ἔχῃ.

[c] ἔνοδος] ἔνδον A. ἔνδικος e conjectura Gesneri recepit Grotius. et sic B. An πέφυκ' ἔνδον μένειν?
[d] δεῖ φυλάσσειν] δὴ φυλάσσει A.

11.

[a] Sic A. Trinc. Cleric. p. 90.
[b] διὰ τὴν αὐλὰν] διὰ τὴν αὐλὰν λίαν A. Voss. Trinc. Gesnerus conjicit δι' αὐδίαν. δι' αὐθαδίαν emendavit Salmasius apud Grotium. διὰ τὴν, utpote ab interpolatoribus profecta delet Bentleius, et pro αὐλὰν λίαν reponit αὐθαδίᾳ. Melius Porsonus apud Dawesium Kiddii p. 387. τὴν αὔλιον.
[c] αὔλιος] αὔλειος B. et Bentleius.
[d] ῥόδη] ῥώδη A. Voss. Trinc. κυνὸς ἔστ' ἐ. ῥ. om. B.

12.

[a] Sic A. Scil. fr. 12. Deest lemma Trinc.
[b] θυράσι] θύραισι B.
[c] ἀξίαν] Gesnerus conj. ἀξίαι. Valckenær. Diatr. p. 143. θυραῖοι δ' ἀξίαι.

13.

[a] Sic A. Scil. fr. 13. Deest locus Trinc. Vide LXXIII. 44.

14.

[a] Ῥώδα μιμιάμβων A. *Herodis in Hemiambis* Gesn. Deest locus Tr.

15.

[a] Sic A. Fr. inc. 56. Deest lemma Trinc.

16 [a] Σοφοκλῆς ἐν Φαίδρᾳ.

Σύγγνωτε, κἀνάσχεσθε σιγῶσαι· τὸ γὰρ
γυναιξὶν αἰσχρὸν [b] σὺν γυναικὶ δεῖ στέγειν.

17 [a] Εὐριπίδου Ἀλόπη.

Τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γάμον
[b] φρουροῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον
σφάλλουσιν οἴκους τῶν παρημελημένων.

18 [a] Εὐριπίδου Ἀντιόπη.

[b] Οὐ σωφρονίζειν ἔμαθον, αἰδεῖσθαι δὲ χρὴ
γύναι τὸ λίαν, καὶ φυλάσσεσθαι φθόνον.

19 [a] Εὐριπίδου Ἀνδρομάχης. 440

Οὐδὲν γὰρ καλὸν
δυοῖν γυναικοῖν [b] ἄνδρ' ἕν' ἡνίας ἔχειν.
ἀλλ' εἰς μίαν βλέποντες εὐναίαν Κύπριν
στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν [c] θέλει.

20 [a] Φιλήμονος.

[b] Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη,
μὴ κρείττον' εἶναι τἀνδρὸς, ἀλλ' ὑπήκοον.
γυνὴ δὲ [c] νικῶσ' ἄνδρα κακόν ἐστιν μέγα.

21 [a] Εὐριπίδου Ἀνδρομάχης.

Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
ζήτει παρελθεῖν· τῶν κακῶν γὰρ μητέρων

16.

[a] Sic A. Scil. fr. 6. Simpl. Σοφοκλέ. Trinc.

[b] ἐν γυναικὶ χρὴ] σὺν γ. δεῖ A. B. γυναιξὶ dedit Grotius. Mox στέργειν Trinc.

17.

[a] Sic fere A. ubi Ἀλῦπη. Vide Ed. Beck. T. II. p. 496. n. 15. Simpl. Εὐριπίδου Trinc.

[b] φρουροῦντας] φροροῦντας A.

18.

[a] Sic A. Scil. fr. 20. Deest locus Trinc.

[b] Videatur Valckenærius Diatrib. pag. 65.

19.

[a] Sic A. Scil. v. 177. Deest lemma Trinc.

[b] ἄνδρ'] ἀνδρά γ' A. B.

[c] θέλῃ] θέλει A.

20.

[a] Sic A. Trinc. Cleric. p. 350.

[b] ἀγαθῆς] ἀγαθῆς δὲ B.

[c] νικῶσ'] νεικῶσ' A. Trinc.

21.

[a] Sic A. Scil. v. 229. Deest lemma Trinc.

φεύγειν [b] τρόπους χρὴ τέκνα, αἷς ἔνεστι νοῦς.

22 [a] Οὐ χρὴ ᾿πὶ [b] μικροῖς μεγάλα πορσύνειν κακά·
οὐδ᾿ εἰ γυναῖκες ἐσμὲν ἀτηρὸν κακὸν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.

23 [a] [b] Τὰ μὲν γὰρ ἄλλα δεύτερ᾿ ἂν πάσχῃ γυνή·
ἀνδρὸς δ᾿ ἁμαρτάνουσ᾿ ἁμαρτάνει βίου.

24 [a] Εὐριπίδου Ἀνδρομάχης.

Καὶ μὴν ἴσον γ᾿ ἀνήρ τε καὶ γυνὴ σθένει
ἀδικουμένη πρὸς ἀνδρὸς, [b] ὡς δ᾿ αὔτως ἀνὴρ
γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
καὶ τῷ μέν ἐστιν ἐν χεροῖν μέγα σθένος·
τῇ δ᾿ ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
οὐκ οὖν δίκαιον [c] τοῖς ἐμοῖς ἔμ᾿ ὠφελεῖν;

25 [a] Εὐριπίδου Ἀνδρομάχης.

Κακῶν γυναικῶν εἴσοδοί μ᾿ ἀπώλεσαν.

26 [a] Εὐριπίδου ἐν Πελιάσιν.

Αἰνῶ· διδάξαι δ᾿, ὦ τέκνον, σε βούλομαι,
ὅτ᾿ ἂν μὲν ᾖς παῖς, μὴ [b] πλέον παιδὸς φρονεῖν·
ἐν [c] παρθένοις δὲ, παρθένου τρόπους ἔχειν.
ὅτ᾿ ἂν δ᾿ ὑπ᾿ ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς,
τάδ᾿ ἄλλ᾿ ἀφεῖναι μηχανήματ᾿ ἀνδράσιν.

---

[b] τρόπους χρὴ τέκνα] τέκνα χ. τρόπους A.

22.

[a] Deest lemma Trinc. locus A. v. Andromach. 353.

[b] μικροῖς] σμικροῖς Arsen.

23.

[a] Deest lemma Trinc. locus A. v. Andromach. 373.

[b] μὲν γὰρ ἄλλα δεύτερ᾿ ἂν] μὲν ἄλλα δὲ δεύτερα Voss. μὲν ἀλλὰ δεύτερα πάσχει Trinc. πάσχοι Gesn.

24.

[a] Sic A. Scil. v. 673. Deest lemma Trinc.

[b] ὡς αὔτως] ὡς δ᾿ αὔτως A. B. Gesn. marg.

[c] τοῖς γ᾿ ἐμοῖς ἐπωφελεῖν Gesn. marg.

25.

[a] Sic A. Scil. v. 931. Deest lemma Trinc.

26.

[a] Sic A. Scil. fr. 6. Deest lemma Trinc.

[b] πλέον] πλέω A. Voss.

[c] παρθένοις] παρθένοισι Trinc.

27 [a] Μενάνδρου.

[b] Ἢ μὴ γαμεῖν γὰρ, ἂν δ' ἅπαξ λάβῃς, φέρειν,
μύσαντα πολλὴν προῖκα, καὶ γυναῖκα δεῖ
ἐκπυνθάνεσθαι τ' ἀρσένων [c] δ' ἡμᾶς σέθεν.
τὸ μὲν μέγιστον, οὔποτ' [d] ἄνδρα χρὴ σοφὸν
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων.
ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς,
ἐν δ' ἀφθόνοισι τοῖσδ' [e] ἀναστρωφωμένη,
βλέπουσά τ' εἰς πᾶν, καὶ παροῦσα πανταχοῦ,
τὴν ὄψιν [f] ἐμπλήσασά τ', ἀπήλλακται κακῶν·
τό τ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον.
ὅστις δὲ μοχλοῖς καὶ [g] διὰ σφραγισμάτων
[h] σώζει δάμαρτα, [i] δρᾶν τι δὴ δοκῶν σοφὸν,
μάταιός ἐστι, καὶ φρονῶν οὐδὲν φρονεῖ.
ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ' ἔχει,
θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χωρίζεται,
[k] λάθοι δ' ἂν [l] Ἀργοῦ τὰς πυκνοφθάλμους κόρας.
καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως,
[m] ἀνήρ τ' ἀχρεῖος χ' ἡ γυνὴ διοίχεται.

27.

[a] Sic A. Trinc. Cleric. p. 234.

[b] μὴ γαμεῖν] Ἢ μὴ Gesn. marg. Voss.

[c] δ' ἡμᾶς σέθεν] περὶ μηδεέν Grotius. Parum feliciter in hoc loco tractando versatus videtur Bentleius, qui reponit Δημοσθενές. Longe major pars hujus fragmenti scil. a vv. τὸ μὲν μέγιστον Tragicorum alicui, fortasse Euripidi, potius quam Menandro assignanda est, quod partim vidit Piersonus ad Mœrin p. 275. Videatur anonymus in *Critical Review* mens. Mart. 1805. p. 237.

[d] ἄνδρα ἢ] ἀνδρὶ A. ἄνδρα χρὴ edidit Grotius cum Gesneri margine.

[e] ἀναστρωφωμένη] ἀναστρειφομένη A. B. ἀναστροφωμένη Voss. Trinc.

[f] ἐμπλήσασά τ'] ἐμπλήσασ' Bentleius.

[g] διὰ σφραγισμάτων] διασφραγίσμασι A.

[h] σώζει] σώζειν A.

[i] δ' ἀνδρὶ] τἀνδρὶ B. δὴ om. A. qui habet σοφῶν pro σοφὸν. Veram lectionem mihi videntur restituisse Tyrwhittus et Jacobsius in Athen. p. 187. δρᾶν τι δή. τἀνδρὶ δὴ δοκοῦν citat Piersonus, post Bentleium scilicet.

[k] λάθοι] λάθῃ A.

[l] ἀργοῦ] Ἄργου Voss.

[m] ἀνὴρ] ὠνήρ Bentleius.

28 [a] Σοφοκλῆς Ἀκρισίῳ.

Ἄλλως τε καὶ κόρη τε κἀργεία γένος,
αἷς κόσμος [b] ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη.

29 [a] Εὐριπίδου Ἰφιγενείας.

Σίγα πρὸς ἄνδρα, μή τιν' αἰσχύνην λάβω
διακονοῦσα κρυπτὰ, [b] καὶ προβῇ λόγος,
οὐχ ᾗπερ ἡμεῖς αὐτὸν ἐξελίσσομεν. 441
τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
[c] κἂν ταῖς κακαῖσιν αἱ 'γαθαὶ μεμιγμέναι
μισούμεθ'· οὕτω δυστυχεῖς πεφύκαμεν.

30 [a] Εὐριπίδου Μηδείᾳ.

Αὐτὴ δὲ πάντα συμφέρουσ' Ἰάσονι·
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅτ' ἂν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.

31 [a] Εὐριπίδου Φρίξῳ.

Δίκαι' ἔλεξε· χρὴ γὰρ εὐναίῳ πόσει
γυναῖκα [b] κοινῇ τὰς τύχας φέρειν ἀεί.

32 [a] Θεανοῦς.

Θεανὼ ἡ Πυθαγόρειος ἐρωτηθεῖσα πῶς ἔνδοξος ἔσται, ἔφη·
ἱστὸν ἐποιχομένη, καὶ ἐμὸν λέχος ἀντιόωσα.

33 [a] Ὑπερίδου.

Δεῖ τὴν ἐκ τῆς οἰκίας ἐκπορευομένην ἐν [b] τοιαύτῃ κατα-

28.

[a] Sic A. Scil. fr. 4. Deest locus Trinc.

[b] ἡ σιγή τε] σεσίγηται A. m. p.

29.

[a] Sic A. Voss. Simpl. Εὐριπίδου Trinc. Ex Ione v. 395.

[b] καὶ προβῇ] κάμ' ὀλῇ A. m. p. καὶ μόλῇ A. m. sec. B. καβολῇ Voss. Trinc. Ver. seq. αὐτὸν ἡμεῖς vulg.

[c] κἂν ταῖς] καὐταῖς A. ἀγαθαὶ sine αἱ A. Voss. Trinc.

30.

[a] Sic A. Scil. v. 13.

31.

[a] Sic A. Scil. fr. 13. Deest locus Trinc.

[b] κοινῇ] κυνῇ A.

32.

[a] Sic A. Deest lemma Trinc.

33.

[a] Sic A. Trinc.

[b] τοιαύτῃ] τῇ αὐτῇ A.

στάσει εἶναι τῆς ἡλικίας, ὥστε τοὺς [c] ἀπαντῶντας πυνθάνεσθαι, μὴ τίνος ἐστὶ γυνὴ, ἀλλὰ τίνος μήτηρ.

34 [a] Τοῦ αὐτοῦ.

Τοὺς μὲν πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς γυναικὶ καλλωπισμοὺς ὅπως βούλοιτο χρὴ γίγνεσθαι· τοὺς μέντοι περὶ τὰς ἐξόδους, οὐκέτι πρὸς τὸν ἄνδρα, ἀλλὰ πρὸς τοὺς ἑτέρους.

35 [a] Τοῦ αὐτοῦ.

Φοβητέον οὐκ ἀνδρὸς ἀπειλὴν, ἀλλὰ νόμου [b] φωνήν.

36 [a] Ἡροδότου.

Ἅμα δὲ χιτῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή.

37 [a] Ἐπιχάρμου.

Σώφρονος γυναικὸς ἀρετὰ, τὸν συνόντα μὴ 'δικεῖν [b] ἄνδρα.

38 [a] Δημοκρίτου.

Κόσμος ὀλιγομυθίη γυναικί· καλὸν δὲ [b] καὶ κόσμου λιτότης.

39 [a] Δημοκρίτου.

Ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἀνδρὶ ἐσχάτη.

40 [a] Ἱπποκράτους.

Ἀλλ' ὅμως χρῄζει γυνὴ σωφρονίζοντος· ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν ἑαυτῇ, ὅπερ εἰ μὴ καθ' ἡμέρην ἐπικόπτοιτο, ὡς τὰ [b] δένδρεα καθυλομανεῖ.

[c] ἀπολιπόντας] ἀπαντῶντας A. suprasc. m. sec. B. quod in mentem venit Valckenærio, quem vide ad Herodot. IV. 114. ἀγνοήσαντας Gesnerus conjicit.

34.

[a] Sic A. Deest lemma Trinc.

35.

[a] Sic A. Deest lemma Trinc.

[b] Post φωνὴν addunt A. B. Τοῦ αὐτοῦ· κυριεύειν δεῖ τῶν ἐλευθέρων.

36.

[a] Sic A. Trinc. Scil. I. 8.

37.

[a] Sic A. Trinc.

[b] ἄνδρα utpote ex interpretamento positum omitti vult Valckenærius ad Euripid. Hippol. 996.

38.

[a] Sic A. Trinc.

[b] καὶ om. A.

39.

[a] Sic A. Deest lemma Trinc.

40.

[a] Sic A. Trinc. Scil. Ep. ad Dionys. p. 1276, 40.

[b] δένδρα] δένδρεα A. B. Voss.

41 [a] Εὐσεβίου.

Γάμου ἀρίστη ξυμφωνίη ἀμφοτέρους σωφροσύνην ἀσκέειν.

42 [a] Θεοφράστου.

Οὔτε ὁρᾶν οὔτε ὁρᾶσθαι γυναῖκα, καὶ ταῦτα ἐξησκημένην πρὸς κάλλος· [b] ἐπισπᾶται γὰρ ἀμφότερα πρὸς ἃ μὴ δεῖ.

43 [a] Πλουτάρχου ἐκ τῶν Γαμικῶν Παραγγελμάτων.

Ὁ Πλάτων φησὶν εὐδαίμονα καὶ μακαρίαν εἶναι πόλιν, ἐν ᾗ τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν ἥκιστα φθεγγομένων ἀκούουσι, διὰ τὸ [b] κοινοῖς ὡς ἔνι μάλιστα χρῆσθαι τοῖς ἀξίοις σπουδῆς τοὺς πολίτας· πολὺ δὲ μᾶλλον [c] ἐν γάμῳ δεῖ τὴν τοιαύτην φωνὴν [d] ἀνῃρῆσθαι.

44 [a] Ἐν ταυτῷ.

Αὕτη τοίνυν καὶ χρημάτων κοινωνία [b] προσήκει μάλιστα τοῖς γαμοῦσιν, εἰς μίαν οὐσίαν [c] καταχεαμένους καὶ ἀναμίξαντας μὴ τὸ μέρος ἴδιον καὶ τὸ μέρος ἀλλότριον, ἀλλὰ πᾶν ἴδιον [d] ἡγεῖσθαι καὶ μηδὲν ἀλλότριον. Ὥσπερ τὸ κρᾶμα [e] καίτοι ὕδατος μετέχον πλείονος, οἶνον καλοῦμεν, οὕτω τὴν οὐσίαν δεῖ [f] καὶ τὸν οἶκον τοῦ ἀνδρὸς λέγεσθαι, κἂν ἡ γυνὴ [g] πλείονα συμβάλληται.

45 [a] Ἐν ταυτῷ.

Ὁ Ῥωμαῖος ὑπὸ τῶν φίλων νουθετούμενος, ὅτι σώφρονα [[b] γυναῖκα] καὶ πλουσίαν καὶ ὡραίαν ἀπεπέμψατο, [c] τὸ 442

41.

[a] Sic A. Trinc.

42.

[a] Sic A. Deest lemma Trinc.

[b] ἐπίσταται] ἐπισπᾶται Valckenærius.

43.

[a] Sic A. Trinc. Scil. p. 140. D.

[b] κοίνοῖς] κοινῆς B.

[c] ἐκ γάμου] ἐν γάμῳ A. Trinc.

[d] ἀνῃρῆσθαι] ἀνειρῆσθαι A. B.

44.

[a] Sic A. Scil. ib. E.

[b] προσήκει] προσήει B.

[c] καταχεαμένους] καταχεομένους A. B.

[d] ἡγεῖσθαι] ἡγεῖσθαι, καὶ μηδὲν ἀλλότριον A. B.

[e] καί τοι] καί τοῦ A. τοῦ addit B. καὶ τοῦ Trinc.

[f] καὶ τὸν οἶκον τοῦ] τῶν οἴκων A. p. m. καὶ om. Trinc.

[g] πλέον ὂν] πλεῖον A. πλείω B. πλέον ὂν Tr.

45.

[a] Sic A. Scil. p. 141. A.

[b] γυναῖκα om. A. Trinc.

[c] τὸ καλλίγιον] τὸ καλλίγιον B.

καλλίγιον αὐτοῖς προτείνας, Καὶ γὰρ τοῦτο, [d] ἔφη, καλὸν ἰδεῖν καὶ [e] καινὸν, ἀλλ' οὐδεὶς οἶδεν ὅπου με θλίβει. Δεῖ τοίνυν μὴ προικὶ [f] μηδὲ γένει μηδὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλ' ἐν οἷς ἅπτεται μάλιστα τοῦ ἀνδρὸς, ὁμιλίᾳ καὶ ἤθει καὶ συμπεριφορᾷ, ταῦτα μὴ σκληρὰ μηδὲ [g] ἀνιῶντα καθ' ἡμέραν, ἀλλ' εὐάρμοστα καὶ ἄλυπα καὶ προσφιλῆ παρέχειν.

46 Ἐν ταυτῷ.

Ὥσπερ οἱ ἰατροὶ τοὺς ἐξ αἰτιῶν ἀδήλων καὶ κατὰ μικρὸν συλλεγομένων [b] γενομένους πυρετοὺς μᾶλλον δεδοίκασιν, ἢ τοὺς ἐμφανεῖς καὶ μεγάλας προφάσεις ἔχοντας, οὕτω τὰ λανθάνοντα τοὺς πολλοὺς μικρὰ καὶ συνεχῆ καὶ καθημερινὰ [c] προσκρούσματα γυναικὸς καὶ ἀνδρὸς μᾶλλον διΐστησι καὶ λυμαίνεται τὴν [d] συμβίωσιν.

47 Ἐν ταυτῷ.

[b] Ἀμήχανον οὖν τι πρᾶγμα γίνεται γαμετὴ γυνὴ καὶ νόμιμος, ἂν ἐν ἑαυτῇ πάντα [c] θεμένη, καὶ προῖκα, καὶ γένος, καὶ [d] φάρμακον, καὶ τὸν [e] κεστὸν αὐτὸν, ἤθει καὶ ἀρετῇ κατεργάσηται τὴν εὔνοιαν.

48 Ἐν ταυτῷ.

Κόσμος ἐστὶν, ὡς ἔλεγε Κράτης, τὸ κοσμοῦν· κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν· ποιεῖ δὲ τοιαύτην οὔτε χρυσὸς, οὔτε σμάραγδος, οὔτε κόκκος· ἀλλ' ὅσα [b] σεμνότητος, εὐταξίας, αἰδοῦς ἔμφασιν περιτίθησι.

τὸν κάλτιον Gesn. marg. ex ipso, ut videtur, Plutarcho. Mox αὐτῆς Tr.
[d] ἔφη om. A.
[e] καινὸν] κοινὸν A. Trinc.
[f] μηδὲ γένει] μηδὲν A. m. p. μηδένα ex em. et sic B. μηδὲν μηδὲ Trinc.
[g] ἀνιῶντα] ἀνιόντα Trinc.

46.

[b] γενομένους] γεγενημένους A. B.
[c] προσκρούσματα] νοσήματα A. B.
[d] συμβίωσιν] ἐμβίωσιν A. m. p.

47.

[b] ἀμήχανον] ἄμαχον Gesn. marg.
[c] θεμένη] θεμένους B.
[d] φάρμακα] φάρμακον A. Trinc.
[e] κεστὸν] μεστὸν Trinc.

48.

[b] σεμνότητος] σεμνό[τα] A.

49 Ἐν ταυτῷ.

Καθάπερ ὁ Φωκίων, τοῦ Ἀντιπάτρου πρᾶξιν αὐτῷ προστάττοντος οὐκ οὖσαν δὲ πρέπουσαν, εἶπεν, Οὐ δύνασαί μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι· οὕτω λογίζεσθαι [b] περὶ [c] τῆς σώφρονος καὶ αὐστηρᾶς γυναικὸς, Οὐ δύναμαι [[d] τῇ αὐτῇ] καὶ ὡς γαμετῇ καὶ ὡς ἑταίρᾳ συνεῖναι.

[e] Ἡ Θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον· εἰπόντος δέ τινος, Καλὸς ὁ πῆχυς, Ἀλλ᾽ οὐ δημόσιος, [f] ἔφη. Δεῖ δὲ μὴ μόνον τὸν πῆχυν, ἀλλὰ μηδὲ τὸν λόγον δημόσιον εἶναι τῆς σώφρονος· [g] καὶ τὴν φωνὴν, ὡς ἀπογύμνωσιν αἰδεῖσθαι καὶ φυλάττεσθαι πρὸς τοὺς ἐκτός. Ὁρᾶται γὰρ ἐν αὐτῇ καὶ πάθος, καὶ ἦθος, καὶ διάθεσις τῆς λαλούσης.

[h] Τὴν Ἠλείων ὁ Φειδίας Ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν, οἰκουρίας σύμβολον ταῖς γυναιξὶ καὶ σιωπῆς. Δεῖ γὰρ ἢ πρὸς τὸν ἄνδρα λαλεῖν, ἢ διὰ τοῦ ἀνδρὸς, μὴ δυσχεραίνουσαν εἰ δι᾽ [i] ἀλλοτρίας γλώττης ὥσπερ αὐλητὴς [k] φθέγγεται.

50 Ἐν ταυτῷ.

Καὶ γὰρ ὁ Ῥωμαῖος νομοθέτης ἐκώλυσε δῶρα διδόναι καὶ λαμβάνειν παρ᾽ ἀλλήλων τοὺς γεγαμηκότας, οὐχ ἵνα μηδενὸς μεταλαμβάνωσιν, ἀλλ᾽ ἵνα πάντα κοινὰ νομίζωσιν.

51 Ἐν ταυτῷ.

Τοῖς περὶ τὸν [b] Κῦρον Ἕλλησι παρήγγειλαν οἱ στρατηγοὶ

49.

[b] περὶ] παρὰ Trinc.
[c] τῆς om. Voss.
[d] τῇ αὐτῇ om. A. Voss. Trinc.
[e] Ἡ Θεανὼ] His vv. ἐν ταυτῷ præponit A. A præcedentibus sejungit Trinc. v. p. 142. C.
[f] ἔφη] ἔφην Trinc. Mox ib. om. τὴν.
[g] καὶ] ἀλλὰ Gesn. marg.
[h] τὴν ἠλείων] His vv. ἐν ταυτῷ præponit A. Sejungit Trinc. τὴν δὲ A. B. τὴν μὲν Trinc.
[i] ἀλλοτρίας] αὐλητρίας Trinc.
[k] φθέγγεται] Al. additur σεμνότερον. GESNER.

51.

[b] Κύρον] Κῦρον B. παρὰ pro περὶ Trinc. et στρατιῶται pro στρατηγοί.

τοὺς πολεμίους, ἐὰν μὲν βοῶντες ἐπίωσι, δέχεσθαι μετὰ σιωπῆς· ἐὰν δ' ἐκεῖνοι σιωπῶσιν, αὐτοὺς [c] μέγα βοήσαντας ἐξελαύνειν. Αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν, κεκραγότων μὲν ἡσυχάζουσι, σιωπῶντας δὲ [d] προσλαλοῦσαι καὶ [e] παραμυθούμεναι πραΰνουσιν.

52 Ἐν ταυτῷ.

Ἡ Ἑρμιόνη δοκεῖ τι λέγειν ἀληθὲς, λέγουσα·

κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν.

τοῦτο δὲ οὐχ ἁπλῶς [b] γινόμενόν ἐστιν, ἀλλ' ὅτ' ἂν αἱ πρὸς 443
τοὺς ἄνδρας διαφοραὶ καὶ ζηλοτυπίαι ταῖς τοιαύταις γυναιξὶ μὴ τὰς θύρας [c] μόνον, ἀλλὰ καὶ τὰς ἀκοὰς [d] οἴγωσι. Τότε οὖν δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν ἀποκλείειν τὰ ὦτα, καὶ φυλάττεσθαι τὸν ψιθυρισμὸν, ἵνα μὴ πῦρ ἐπὶ [e] πῦρ γένηται, καὶ πρόχειρον ἔχειν τὸ τοῦ Φιλίππου· λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τοὺς Ἕλληνας [f] ὡς εὖ πάσχοντας καὶ κακῶς αὐτὸν λέγοντας, εἰπεῖν· Τί οὖν ἂν καὶ κακῶς ποιῶμεν αὐτούς; Ὅτ' ἂν οὖν διαβάλλουσαι λέγωσιν, ὅτι λυπεῖ σε φιλοῦσαν ὁ ἀνὴρ καὶ σωφρονοῦσαν· Τί οὖν ἂν καὶ μισεῖν αὐτὸν ἄρξωμαι καὶ ἀδικεῖν;

53 [a] Θεανοῦς.

[b] Θεανὼ ἐρωτηθεῖσα [c] ποσταία γυνὴ ἀπ' ἀνδρὸς καθαρεύει, Ἀπὸ μὲν τοῦ ἰδίου, εἶπε, παραχρῆμα· ἀπὸ δὲ τοῦ ἀλλοτρίου, οὐδέποτε.

[c] μέγα βιώσαντας ἐξελαύνειν] μέγα βοήσαντας ἐπελαύνειν A. hoc ex emend. μετὰ βοῆς ἀντεξελαύνειν Gesner. marg. βοήσαντας Trinc.

[d] προσλαλοῦσαι] προλαλοῦσαι Tr.

[e] παραμυθούμεναι πραΰνουσιν] παραμυθοῦσιν A. p. m. altera lectio a m. sec.

52.

[b] γινόμενον] γενόμενον A. B.

[c] μόνον] μὲν A.

[d] οἴγωσι] ἀνοίγωσι Gesn. marg.

[e] πῦρ] πυρὶ A. B.

[f] ὡς] καὶ A. Trinc.

53.

[a] Sic A. Deest lemma Trinc.

[b] Θεανὼ] Θ. ἡ Πυθαγορικὴ φιλόσοφος A. B. Videatur Menagius ad Diogen. Laërt. VIII. 43.

[c] ποσταία] ποταία A.

54 [a] Τῆς Φίλωνος γυναικός.

Ἡ [b] Φίλωνος γυνὴ [c] ἐρωτηθεῖσα διὰ τί μόνη τῶν ἄλλων [d] ἐν συνόδῳ οὐ φορεῖ χρυσοῦν κόσμον, [e] ἔφη· Ὅτι αὐτάρκης κόσμος [f] μοι ἐστὶν ἡ τοῦ ἀνδρὸς ἀρετή.

55 [a] Θεανοῦς.

Θεανὼ [b] ἡ Πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα τί πρέπον εἴη γυναικὶ, Τὸ τῷ ἰδίῳ, ἔφη, ἀρέσκειν ἀνδρί.

56 [a] Δημάδους.

Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι.

57 [a] Ἰαμβλίχου ἐκ τῆς Ἐπιστολῆς Περὶ γάμου χρήσεως.

Οὐκοῦν καὶ [b] περὶ [c] τὸ ἄρχειν μὲν τὸν ἄρρενα ἄρχεσθαι δὲ τὴν θήλειαν ὁμογνωμονήσουσι. Τὸ δὲ σχῆμα τῆς ἀρχῆς ἔσται, οὐχ οἷον τὸ δεσποτικὸν, θεραπεῦον τὸ τοῦ κρείττονος συμφέρον· οὐδ᾽ οἷον τὸ τῶν τεχνῶν, μόνου τοῦ ἥττονος ἐπιμελούμενον· ἀλλ᾽ οἷον τὸ πολιτικὸν, κηδόμενον ἐξ ἴσου τοῦ [d] κοινῆ συμφέροντος.

58 [a] Σωκράτους.

Τοὺς μὲν ἄνδρας τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι, τὰς δὲ γυναῖκας τοῖς τῶν συνοικούντων ἀνδρῶν ἤθεσι.

59 [a] Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ.

[b] Εὐσέβεια δὲ γυναικεία ὁ πρὸς τὸν ἄνδρα ἔρως.

54.

[a] Sic A. Deest lemma Trinc.

[b] Φίλωνος] Φωκίωνος B.

[c] ἐρωτηθεῖσα] ἐ. ὑπό τινος ἐν συνόδῳ πλειόνων γυναικῶν A. Plutarchus in vita Phocionis p. 750. D. αὐτὴ δὲ ἡ γυνὴ ξένης τινὸς Ἰωνικῆς ἐπιδεξαμένης χρυσοῦν καὶ λιθοκόλλητον κόσμον ἐμπλοκίοις καὶ περιδεραίοις, Ἐμοὶ δὲ, ἔφη, κόσμος ἐστὶ Φωκίων, εἰκοστὸν ἔτος ἤδη στρατηγῶν Ἀθηναίων.

[d] ἐν συνόδῳ om. A. h. l.

[e] ἔφη] εἶπεν A.

[f] μοι ἐστιν] ἐστὶ γυναικὶ A.

55.

[a] Sic A. Deest lemma Trinc.

[b] ἡ Πυθαγορικὴ φιλόσοφος om. A. Voss. Trinc. Mox in fine τῷ ἀνδρὶ ἀρέσκειν αὐτῆς A.

56.

[a] Sic A. Deest lemma Trinc.

57.

[a] Sic A. Simpl. Ἰαμβλίχου Tr.

[b] περὶ] παρὰ Trinc.

[c] τὸ] τοῦ A. B.

[d] κοινοῦ] κοινῆ A. B.

58.

[a] Sic A. Trinc.

59.

[a] Sic A. Trinc.

[b] Εὐσέβεια] Εὐσέβεια δὲ A.

60 [a] Ἐν ταυτῷ.

Γέλως δὲ συνεχὴς καὶ μέγας θυμοῦ κακίων· διὰ τοῦτο μάλιστα ἑταίραις ἀκμάζων καὶ παίδων τοῖς ἀφρονεστέροις. Ἐγὼ δὲ κοσμεῖσθαι πρόσωπον ὑπὸ δακρύων ἡγοῦμαι μᾶλλον, ἢ ὑπὸ γέλωτος. Δάκρυσι μὲν γὰρ ὡς ἐπὶ τὸ πλεῖστον σύνεστι καὶ μάθημά που χρηστόν· γέλωτι δὲ ἀκολασία. Καὶ κλαίων μὲν οὐδεὶς προυτρέψατο ὑβριστήν· γελῶν δὲ ηὔξησεν αὐτοῦ τὰς ἐλπίδας.

61 [a] Φιντύος τᾶς Καλλικράτεος θυγατρὸς Πυθαγορείας, ἐκ τοῦ Περὶ γυναικὸς σωφροσύνας.

Τὸ μὲν ὅλον, ἀγαθὰν δεῖ ἦμεν καὶ κοσμίαν· ἄνευ γὰρ ἀρετᾶς οὐδέποκα γένοιτό τις τοιαύτα. Ἑκάστη γὰρ ἀρετὰ περὶ ἕκαστον [b] γινομένα τὸ αὐτᾶς δεκτικὸν [c] ἀποδίδωτι σπουδαῖον· ἁ μὲν τῶν ὀπτιλῶν, τὼς ὀπτιλώς· [d] ἁ δὲ τᾶς ἀκοᾶς, τὰν ἀκοάν· καὶ ἁ μὲν ἵππω, τὸν ἵππον· ἁ δ᾽ ἀνδρὸς, τὸν ἄνδρα· οὕτω [e] δὲ καὶ γυναικὸς, τὰν γυναῖκα. Γυναικὸς δὲ μάλιστα ἀρετὰ σωφροσύνα· διὰ γὰρ ταύτας τὸν ἴδιον ἄνδρα καὶ [f] τιμᾶν καὶ ἀγαπᾶν [g] δυνασεῖται. Πολλοὶ μὲν ἴσως δοξάζοντι, ὅτι οὐκ εὐάρμοστον γυναικὶ φιλοσοφεῖν, ὥσπερ οὐδ᾽ ἱππεύειν, οὐδὲ δαμαγορέν· ἐγὼ δὲ τὰ μέν τινα νομίζω ἀνδρὸς [h] ἦμεν ἴδια, τὰ δὲ γυναικὸς, τὰ δὲ κοινὰ 444 [i] ἀνδρὸς καὶ γυναικός· τὰ δὲ μᾶλλον ἀνδρὸς ἢ γυναικός· τὰ δὲ μᾶλλον γυναικὸς ἢ ἀνδρός. Ἴδια μὲν ἀνδρὸς, τὸ στραταγὲν, καὶ πολιτεύεσθαι, καὶ δαμαγορέν· ἴδια δὲ γυναικὸς, τὸ οἰκουρὲν, [k] καὶ ἔνδον μένεν, καὶ ἐκδέχεσθαι καὶ

60.

[a] Sic A. Cohæret cum præcedente Trinc. Mox κλέων pro κλαίων Trinc.

61.

[a] Sic A. Trinc.

[b] γενομένα] γινομένα A. B.

[c] ἀποδίδωσι] ἀποδιδῶτι A. B.

[d] ὁ δέ] ἁ δὲ A.

[e] δὲ om. A. B.

[f] τιμᾶν—ἀγαπᾶν] τιμῆν—ἀγαπῆν B.

[g] δυνασεῖται] δυναθεῖται A. B.

[h] ἦμεν om. A.

[i] ἀνδρὸς καὶ γυναικὸς om. A. B. Mox τὸ πολιτεύεσθαι Trinc.

[k] καὶ ἔνδον μένειν] οἴκοι μένεν A. οἴκοι lunulis inclusam v. ἔνδον sub-

[l] θεραπεύεν τὸν ἄνδρα. Κοινὰ δὲ φαμὶ, [m] ἀνδρείαν, καὶ δικαιοσύναν, καὶ φρόνασιν· καὶ γὰρ τὰς τοῦ σώματος ἀρετὰς πρέπον [n] ἔχεν καὶ ἀνδρὶ καὶ γυναικὶ, καὶ τᾶς ψυχᾶς ὁμοίως· καὶ ὡς ὑγιαίνεν τῷ σώματι ἀμφοτέροις ὠφέλιμον, οὕτως ὑγιαίνεν τᾷ ψυχᾷ· σώματος δὲ ἦμεν ἀρετὰς, ὑγείαν, ἰσχὺν, εὐαισθησίαν, κάλλος. Τὰ δὲ μᾶλλον [o] ἀνδρὶ καὶ ἀσκὲν καὶ ἔχεν οἰκεῖον ἔντι· τὰ δὲ μᾶλλον γυναικί. Ἀνδρότατα μὲν γὰρ καὶ φρόνασιν μᾶλλον ἀνδρὶ, καὶ διὰ τὰν ἕξιν τῶ σώματος καὶ διὰ τὰν δύναμιν τᾶς [p] ψυχᾶς· σωφροσύναν δὲ γυναικί. Διὸ δεῖ περὶ σωφροσύνας παιδευομέναν γνωρίζεν, [q] ἐκ πόσων τινῶν καὶ [r] ποίων τοῦτο τἀγαθὸν τᾷ γυναικὶ παραγίνεται. Φαμὶ δὴ ἐκ πέντε τούτων· πρᾶτον μὲν ἐκ τᾶς περὶ τὰν εὐνὰν ὁσιότατός [s] τε καὶ εὐσεβείας· δεύτερον δὲ ἐκ τῶ κόσμω τῶ περὶ τὸ σῶμα· τρίτον ἐκ τῶν ἐξόδων τῶν ἐκ τᾶς ἰδίας οἰκίας· τέταρτον δ' ἐκ τῶ μὴ χρέεσθαι τοῖς ὀργιασμοῖς [t] καὶ ματρωσμοῖς· πέμπτον δ' ἐν τᾷ θυσίᾳ τᾷ πρὸς τὸ θεῖον εὐλαβέα ἦμεν καὶ μετρίαν. Τούτων δὲ μέγιστον αἴτιον καὶ συνεκτικώτατον τᾶς σωφροσύνας, τὸ περὶ τὰν εὐνὰν ἦμεν ἀδιάφθορον, καὶ ἄμικτον θυραίω [v] ἀνδρός. Πρᾶτον μὲν γὰρ εἰς τοῦτο [w] παρανομοῖσα ἀδικεῖ γενεθλίους θεοὺς, οἴκῳ καὶ συγγενείᾳ [x] οὐ γνασίους ἐπικούρους ἀλλὰ νόθους παρεχομένα· ἀδικεῖ δὲ τοὺς φύσει θεοὺς, οὕσπερ ἐπομόσασα μετὰ τῶν αὐτᾶς πατέρων τε καὶ συγγενῶν [y] συνελεύσεσθαι ἐπὶ κοινωνίᾳ βίω τε καὶ τέκνων

jecit Wolfius Mul. Gr. p. 196. improbante Valckenærio Herodot. IV. 114.

[l] θεραπεύειν] θεραπεύεν A.

[m] ἀνδρείαν] ἀνδρίαν καὶ A.

[n] ἔχεν πρέπον] πρέπον ἔχειν A. ἔχεμεν B.

[o] ἀνδρὶ καὶ ἀσκεῖν] ἀνδρὶ καὶ om. Trinc.

[p] ψυχᾶς: —ἐν ταυτῷ. Sic A. Mox δῆ pro δεῖ Trinc.

[q] ἐπ' ὅσων] ἐκ πόσων A. B.

[r] ποίων] ποῖον A.

[s] τε καὶ] τε om. A.

[t] καὶ ματρωσμοῖς om. A. B.

[v] ἀνδρὸς] ἀνδρὶ A.

[w] παρανομοῖσα] παρανομοῦσα B.

[x] οὐ om. A. B.

[y] συνελεύσεσθαι] συνελεύσασθαι A.

γενέσει [z] τᾳ κατὰ νόμον· ἀδικεῖ δὲ καὶ τὰν αὐτᾶς πατρίδα, μὴ ἐμμένουσα τοῖς ἐνδιατεταγμένοις. [y] Ἔπειτα ἐπὶ τούτοις [a] ἀμβλακίσκεν, ἐφ᾽ οἷς τὸ μέγιστον τῶν προστίμων ὥρισται θάνατος διὰ τὰν ὑπερβολὰν τῶ ἀδικήματος, [b] ἔκθεσμον, καὶ ἀσυγγνωμονέστατον [c] ἦμεν ἀδονᾶς ἕνεκεν ἁμαρτάνεν, καὶ ὑβρίζεν· ὕβριος δὲ πάσας πέρας, ὄλεθρος.

[d] Κἀκεῖνο δὲ χρὴ διαλογίζεσθαι, ὡς οὐδὲν καθάρσιον [e] εὑρήσει τᾶς ἀμπλακίας ταύτας ἄκος, [f] ὥστε ὡς ἱερὰ θεῶν καὶ βωμὼς ποτερχομέναν [g] ἦμεν ἁγνὰν καὶ θεοφιλατάν· [h] ἐπὶ γὰρ ταύτᾳ τᾳ ἀδικίᾳ μάλιστα καὶ τὸ δαιμόνιον [i] ἀσυγγνωμότατον γίνεται. Κάλλιστος δὲ κόσμος γυναικὸς ἐλευθέρας πράττεν, εὖ τ᾽ εἶδος τὸ διὰ [k] τῶν αὐτᾶς τέκνων [l] ἐπιμαρτύρασθαι τὰν σωφροσύναν τὰν ποτὶ τὸν ἄνδρα, αἴκα [m] τὸν τύπον τᾶς ὁμοιότατος ἐπιφέρωντι τῶ [n] κατασπείραντος αὐτὼς [o] πατρός. Καὶ περὶ μὲν εὐνᾶς οὕτως ἔχει· περὶ δὲ τῶ κόσμω τῶ περὶ τὸ σῶμα, δοκεῖ μοι [p] οὕτως. Δεῖ λευχείμονα [q] ἦμεν, καὶ ἁπλοικὰν, καὶ ἀπερίσσευτον. Ἐσεῖται δὲ τοῦτο, αἴκα μὴ διαφανέεσσι μηδὲ διαποικίλοις μηδὲ ἀπὸ [r] βέμβικος ὑφασμένοις χρᾶται τοῖς περὶ τὸ σῶμα, ἀλλὰ μετρίοις καὶ λευκοχρωμάτοις· οὕτω γὰρ τὸ μᾶλλον κοσμεῖσθαι καὶ τρυφὴν καὶ καλλωπισμὸν φεύξεται, καὶ ζᾶλον οὐκ ἐμποιήσει μοχθηρὸν ταῖς ἄλλαις. Χρυσὸν 445

[z] τε] τὰ B. Supra τε om. A.

[a] ἀμπλακίσκεν] ἀμβλακίσκεν A. Quam formam recepi. Vide Archilochi fr. XXX. Poet. Min. Gr. T. I. p. 304.

[b] ἔκθεσμον] ἔκθυμον B.

[c] ἦμεν] εἰμὲν A. B. εἶμεν Trinc. Mox πάσας om. Trinc.

[d] κἀκεῖνο] Ἐν ταυτῷ. Κἀκεῖνο A.

[e] εὑρήσει] εὑρίσκει Trinc.

[f] ὥστε ἐς] ὥστε ὡς A. B.

[g] ἦμεν] εἶμεν A. Trinc. Mox ταῦτα Trinc.

[h] ἐπὶ] ἐπεὶ A. B.

[i] ἀσυγγνωμότατον] ἀσυγγνωμόνητον A. B. Gesn. marg.

[k] τῶν αὐτᾶς] τᾶν αὐτᾶς Trinc.

[l] ἐπιμαρτύρασθαι] ἐπιμαρτύρεσθαι A. B.

[m] τὸν τύπον] τὰ τῶν τύπων A. B.

[n] κατασπείραντος αὐτὼς] κατασπείραντι αὐτὸν A. B.

[o] πατρὸς] πατρί B.

[p] οὕτω] οὕτως A. Ib. Malim ὅτι, aut post οὕτω punctus notetur. Gesner.

[q] ἦμεν] εἶμεν A. Trinc.

[r] βέμβικος] βόμβυκος Gesn. in vers.

δὲ καὶ σμάραγδον ἁπλῶς μὴ περιτίθεσθαι· καὶ γὰρ πολυχρήματον, καὶ ὑπεραφανίαν ἐμφαῖνον ποττὰς δαμοτικάς. Δεῖ δὲ τὰν εὐνομουμέναν πόλιν, ὅλαν αὐτὰν δι' ὅλας τεταγμέναν, συμπαθέα τε καὶ ὁμοιόνομον ἦμεν· ἀπερύκεν δὲ καὶ [r] δαμιοεργὼς ἐκ τᾶς πόλιος τὼς ἐργαζομένως τὰ τοιαῦτα. Χρώματι δὲ φαιδρύνεσθαι τὰν [s] ποτῶπαν μὴ ἐπακτῷ καὶ ἀλλοτρίῳ, τῷ δ' [t] οἰκήῳ τῶ σώματος δι' αὐτῶ τῶ ὕδατος ἀπολουομέναν, κοσμὲν δὲ μᾶλλον αὐτὰν [v] αἰσχύνᾳ· καὶ γὰρ τὸν συμβιῶντα καὶ [w] αὐτὰν ἔντιμον παρέξεται. Τὰς δὲ ἐξόδως ἐκ τᾶς οἰκίας ποιεῖσθαι τὰς γυναῖκας τὰς [x] δαμοτελέας θυηπολούσας τῷ ἀρχαγέτᾳ θεῷ τᾶς πόλιος ὑπὲρ αὐτᾶς καὶ τῶ ἀνδρὸς, καὶ τῶ παντὸς οἴκω· ἔπειτα μήτε [y] ὀρφνᾶς ἀνισταμένας, μήτε ἑσπέρας, ἀλλὰ [z] πλαθούσας ἀγορᾶς καταφανέα [a] γινομέναν τὰν ἔξοδον ποιεῖσθαι θεωρίας ἕνεκά τινος, ἢ ἀγορασμῶ οἰκήω, μετὰ θεραπαίνας μιᾶς ἢ καττὸ πλεῖστον δύο εὐκόσμως χειραγωγουμέναν. Τὰς δὲ θυσίας λιτὰς παριστάμεν τοῖς θεοῖς καὶ [b] κατὰ δύναμιν, ὀργιασμῶν δὲ καὶ [c] ματρωσμῶν τῶν κατ' οἶκον ἀπέχεσθαι. Καὶ γὰρ ὁ κοινὸς νόμος ἀπερύκει τᾶς πόλιος ταύτας [d] τὰς γυναῖκας ἐπιτελὲν, καὶ ἄλλως, καὶ [e] ὅτι μέθας καὶ ἐκστάσιας ψυχᾶς ἐπάγοντι ταὶ θρησκεύσιες αὗται· τὰν δὲ οἰκοδέσποιναν καὶ προκαθεζομέναν οἴκω δεῖ σώφρονα καὶ ἀνέπαφον [f] ἦμεν ποτὶ πάντα.

62 [a] Νικοστράτου ἐκ τοῦ Περὶ Γάμου.

Ἐστάλθω δὲ ἐσθῆτα ἢ ὡς πάτριον αὐτῇ ἢ ὡς ἥδιστον

[r] δαμιουργοὺς] δαμιοεργὼς A. B.

[s] ποτῶπαν] ποτ' ὦπα A. B. An τὰ πότωπα ?

[t] οἰκίῳ τῶ σώματος] οἰκείω τῶ σώματι A. B.

[v] αἰσχύνᾳ] αἰσχύναν A. B.

[w] αὐτὰν] αὐτὸν B.

[x] δημοτελέας] δαμοτελέας B.

[y] ὀρφνᾶς] ὄρφνας A.

[z] πλαθουσας] πλαθουούσας A.

[a] γινομέναν] γενομέναν A.

[b] καττὰν] κατὰ A.

[c] ματρωσμῶν] Forte ματρῳασμῶν. Gesner. ματρωσμ͂, A.

[d] τὰς om. A.

[e] ὅτι] πότε A. ποτὶ Trinc.

[f] ἦμεν] ἦμεν ποτὶ πάντα A.

62.

[a] Sic A. Simpl. Νικοστράτου Tr. Mox f. χρυσίον.

σοί. Χρυσὸν δὲ ἣν μὲν ἔχῃ, ὃ τὰ ἐν αὐτῇ ὀνίνησιν οὐδὲ περικειμένην· ὁμοίως γὰρ ἄν σοι ἀρέσαι καὶ ἔχουσα καὶ μὴ ἔχουσα· ἣν δὲ μήτε ἐκείνη οἴκοθεν ἐπιφέρηται, μήτε σὺ ἔχῃς ὁπόθεν [b] χαλκεύσεις, ἐπιθυμία δὲ [c] ἦ, ὁ λόγος [d] ἐνταῦθά σοι παρασκευαστέος, ὁ [e] πείσων περί τε χρυσίου, καὶ περὶ κάλλους χρυσίου, καὶ ὡς ἄχθος ἂν εἴη μᾶλλόν περ ἢ κόσμος τῇ γε σώφρονι· ἐνίοτε δὲ τοῦτο αὐτὸ καὶ τὰς ἐπιβουλὰς ἤγειρε τῶν τε ἀκολάστων εἰς τὰς γυναῖκας, τῶν τε λῃστῶν εἰς τὰ χρήματα.

Ἐπεὶ δὲ ἐνταῦθα τοῦ λόγου ἐσμὲν, [f] οὗ καὶ χρυσὸς κάλλος τι [g] προσβαλέτω [h] μοι, δοκῶ [i] ἐρεῖν [k] τε καὶ ὑποβαλεῖν πρᾶγμα χρυσοῦ πολλῷ τιμαλφέστερον. Εἰ γὰρ μηδέν τι [l] ὀκνῆσαι αὐτὴν, καὶ περὶ γυμνασίας ἔχειν [m] ἀναπείσαις, ἐνταῦθα εὕροις ἂν καὶ [n] οὗ πάλαι [o] ἐπεθυμοῦμεν, τὸν κόσμον τῷ σώματι. Τοῦ μὲν γὰρ ὑγιαίνειν οὐδὲν ἔμοιγε δοκεῖ ἄλλό τι περίθημα καὶ περιδέρραιον κρεῖττον. Πόρρω δ' ἂν εἴη καὶ τοῦ [p] δεηθῆναι γυνὴ ὑγιαίνουσα, καὶ ψιμυθίου, καὶ ὑπ' ὀφθαλμῷ ὑπογραφῆς, καὶ ἄλλου χρώματος ζωγραφοῦντος καὶ ἀφανίζοντος τὰς ὄψεις. Τά γε μὴν γυμνάσια, ἅμα μὲν ἂν ἔξω γένοιτο ἐν περιπάτοις, τὰ δὲ ἔνδον [q] παρὰ τὸν ἱστὸν ἰοῦσα εὕροι ἄν [r] τι πονῆσαι δυνάμενον, ἢ τιθέμενον. Καὶ τοῦτο τὸ κάλλος τὸ ἀπὸ τῶν πόνων οὐδὲν ὅ τι ἤλεγξέ τε καὶ ἐβασάνισεν, οὔτε ἱδρὼς

[b] χαλκεύσῃς] χαλκεύσεις A.
[c] ἢ] Lego ἦ. Gesner.
[d] ἐνταῦθά σοι] σοι ἐνταῦθα A.
[e] πείθων] πείσων A. Mox χρυσίον Tr.
[f] ὅτι] οὗ A. Trinc.
[g] προσβαλέτω] προσβαλλέτω A.
[h] δοκῶ μοι] μοι δοκῶ A. Trinc.
[i] ἐρεῖν τι] ἐρεῖν τε Trinc.
[k] τι] τε A. B.
[l] ὀκνήσας] Lego ὀκνῆσαι. Gesn.
[m] ἀναπείσας] Lego ἀναπείσαις. Gesner.
[n] οὐ] Lego οὗ. Gesner.
[o] ἐπιθυμοῦμεν] ἐπεθυμοῦμεν Trinc.
[p] δεηθῆναι] δὲ θεῖναι A. δεθῆναι Tr. δευθῆναι conj. Gesnerus. Sed vulgatum omnino retinendum docent Huschkius Anal. Crit. p. 161. Schæferus ad Dionys. Halic. p. 124. Iidem mox reponunt ψιμμυθίου pro ψιμμυθίῳ. ψιμυθίῳ A. Tr.
[q] παρὰ] περὶ A. B. Supra pro ἅμα forte ἄλλα.
[r] τε] τὶ A. Trinc.

οὔτε δάκρυα· ὕπνος δὲ πόρρω ὢν τοῦ ἐλέγχειν, καὶ μᾶλλόν τι προστίθησι ταῖς [s] γε ἐρρωμέναις. Καὶ οὔπω λέγω [t] ὅτι καὶ ταῦτα πάντα εἰς τὰ [u] ἔκγονα ἀναφέρεται, καὶ τοιαῦτα ἐγένετο παιδία, ὁποῖά ποτ' ἂν ἡ γυνὴ καὶ λούσηται, 446 καὶ γυμνάσηται, καὶ ἀμφιάσηται, [w] μαλακὰ μὲν, εἰ [x] μαλακοῖς τούτοις δῆτα [y] ἐντυγχάνοι, ἄρρενα δὲ καὶ ῥωμαλέα, [z] εἰ διὰ τῶν πόνων καὶ τῶν καμάτων ἰοῦσα κυήσαι καὶ τέκοι. Ἀλλ' ἐπεὶ καὶ πένητες ἄνθρωποι γαμοῦσι, καὶ πολλοῖς ἄρα μετεμέλησε, καὶ τούτοις ὑποθήσομαι, ὡς ἂν εὐδαιμόνως [a] διάγοιεν τὸν βίον. Ὅστις μὲν ἐργάζεται καὶ ἀπὸ τῶν [b] ὤμων ἀποζῇ, [c] οὐδὲ ποθεῖ θεραπείας [d] ἱκανὰ αὐτῷ καὶ τῇ γυναικὶ ἐργαζόμενος, οὗτος εἰ σφόδρα γυναικὸς ἐπιθυμεῖ, ἀγαθῇ [e] τύχῃ γαμείτω· ὅστις δὲ καὶ ἔτι μᾶλλον πένης ὢν, οὐ [f] ταῦτα ὁρᾷ ἀλλὰ κἀκεῖνα, [g] εἰ νοσήσαι αὐτὸς, [h] πόθεν ἂν θρέψαι τὴν γυναῖκα· [i] τούτῳ δὲ οὐκέτι ῥᾴδιόν ἐστι τῷ ἀνθρώπῳ συμβουλεῦσαι γαμεῖν· [k] ἢ γὰρ δὴ πολλάκις κλαύσεται ἡ γυνὴ τὴν ἀπορίαν, καὶ ἀναμνήσει τοῦ κακοῦ ἐνίοτε [l] ἐπιλελησμένον. Καὶ ὑγιείας μὲν δὴ παρούσης ταῦτα εὐκόλως ἐνεγκεῖν ἐστιν· ἐν δὲ νόσοις καὶ ταλαιπωρίαις τοῦ σώματος πένητα ὄντα τινὰ δύο νόσω νοσεῖν ἐστι.[m]

[s] γε ἐρρωμέναις] τε ἐρωμέναις A. τε ἐρρωμέναις Trinc.

[t] ὅτι] καὶ ὅτι A.

[u] ἔγγονα] ἔγκονα A.

[w] μάλα καὶ μένει, μαλακοῖς] Legendum, μαλακὰ μὲν, εἰ μαλακοῖς. Gesnerus, μάλα γὰρ μένει, ἂν μαλακοῖς. Jacobsius, μαλὰ γὰρ καταμένει ἃ μαλακοῖς.

[x] μαλακοῖς] μαλακῶν A. B.

[y] ἐντυγχάνοι] ἐντυγχάνει A.

[z] ἱερὰ τῶν πόνων] Leg. εἰ διὰ τῶν πόνων. Gesnerus διὰ pro ἱερὰ, Jacobs. τέκνα.

[a] διάγοιεν] διάγον A. διάγοι B.

[b] ὤμων] Forte πόνων. GESNER.

[c] οὐδέπω] Lego ἑαυτῷ τε θεραπ. GESNER. Forte, οὐδὲ ποθεῖ θεραπείας.

[d] ἱκανὰ] ἱκανὰ αὐτῷ A. B. αὐτῷ Trinc. habet post γυναικί.

[e] ψυχῇ] Forte τύχῃ. GESNER.

[f] ταῦτα ὁρᾷ] ταῦ ο ῥημ. A. ταυτὸ ῥῆμα B. An οὐ τ. ὁ. μόνα?

[g] εἰ νοσήσαι] ἢ νοσῆσαι A. B.

[h] πόθεν] ποθεῖ B.

[i] τούτῳ] τοῦτο A.

[k] ἢ] εἰ A. B.

[l] ἐπιλελησμένον] ἐπιλελησμένου A.

[m] ἀλλ' ἐπεὶ τῶν σφόδρα πενήτων ἐμνημονεύσαμεν :—addunt A. B.

63 [a] Ἐν ταυτῷ.

Μὴ λανθανέτω δέ σε ἡ γυνὴ ἐσθῆτα [b] μὲν μείζονα ἢ κατὰ τὴν [c] εὐπορίαν ἔχουσα, ὑποδήματα δὲ [d] ὡσαύτως πολλοῦ τινος ἄξια· ἀλλ' [e] ἀπό γε τῶν ποδῶν μαντεύου, ὡς οὐδὲν ὑγιὲς ἐν τούτοις ἔνεστι· καὶ οὐ δεῖ πρὸς ταῦτα οὔτε [f] Μελάμποδος, οὔτε Τειρεσίου. Ὃ δὲ τῶν φίλων μοί τις ἀπεμνημόνευσε τῶν γεγαμηκότων, καὶ τοῦτο δὲ τοιοῦτον ἦν· ἐν ὕπνῳ καὶ ἐν τῇ εὐνῇ μάλιστα οἱ ἄνδρες ἐξαπατώμεθα. Φυλακτέον δὲ [g] ἑσπέρας μὲν κολακείας, προσετίθει ἐκεῖνος, ἕωθεν δὲ θορύβους καὶ κραυγάς.

64 [a] Ἐν ταυτῷ.

Φυλακτέον δὲ καὶ περὶ γυναικῶν [b] αὐταῖς φιλίας τε καὶ συνηθείας, τὸ [c] τοῦ Εὐριπίδου [d] μεμνημένους. [e] Ἡ γὰρ δὴ ἐξαμαρτάνουσα οὐχ αὑτὴν ἔλεγεν αἰτίαν, ἀλλ' ἐκείνας ἃς τραγῳδεῖ·

κακῶν γυναικῶν εἴσοδοί με ἀπώλεσαν.

Χρηστὸν δὲ καὶ τό·

μετὰ τῶν σύ γε πῖνε καὶ ἵζανε,

παρ' ὧν τι φησὶ καὶ χρηστὸν ἂν ἀπολαύσαις. Καὶ ταῦτα οὐκ ἐγὼ, πάντες δὲ ποιηταί τε καὶ λογοποιοὶ γράφουσιν. Φυλακτέον δὲ μᾶλλον τῷ ἐμῷ λόγῳ καὶ τὰς πρεσβύτιδας· αὗται γὰρ ἱκαναί γε τὰς νεότητας [f] μακαρίζειν, καὶ ὡς δὴ ἔμπειροι τοῦ βίου ὑποθήκας τινὰς ἀκολάστους ὑποτίθενται, ὅτι τὸ ζῆν οὐδὲν [g] ἄλλο ἐστὶν, [h] ἢ ὅστις ἂν φάγῃ, ἢ ὅστις

63.

[a] Sic A.

[b] μὲν om. A.

[c] εὐπορίαν] ἀπορίαν B. Mox τε pro δὲ Trinc.

[d] ὡς οὐθ' ὡς] ὡσαύτως corrigit Jacobsius Athen. p. 332. Mox τινος om. Trinc.

[e] ἀπό γε] ἀπό τε Trinc. Mox καὶ pro κακῶν A. Trinc.

[f] μελάμποδος] πρὸς μελάμποδας A. B.

[g] ἑσπέραν] Malim ἑσπέρας. Gesn.

64.

[a] Sic A. Deest locus Trinc.

[b] αὐταῖς] αὐτῆς B. κακὰς Jacobsius.

[c] τοῦ om. B. Vide Androm. 931.

[d] μεμνημένους] μεμνημένος B.

[e] ἡ γὰρ δὴ] Ἑρμιόνη γὰρ Jacobsius.

[f] μακαρίζειν] μαλακίζειν Jacobs.

[g] ἂν ἄλλο] ἂν om. A. B.

[h] ἢ—πίῃ] καὶ—πίοι A. B. ὅ τις

ἂν πίῃ, κἀκεῖνα ἤδη ὅσα ἂν τούτοις ἕπηται μοιχεῖαι καὶ ἀκολασίαι. Καὶ τοῦτο συμβαίνει παρ' αὐτάς τε τὰς νέας, καὶ παρὰ τὰς πρεσβύτιδας· αἱ μὲν γὰρ οὐκ ἂν ἀηδῶς ἔχοιεν πρὸς [i] τοὺς ἐρῶντας καὶ τοὺς φιλοῦντας δῆθεν, αἱ δὲ δὴ πρεσβύτιδες ἐνταῦθά που ἀεὶ τούτῳ τῷ ἀκολάστῳ συναγορεύουσιν.

65 [a] Ἐν ταυτῷ.

[b] Ἀλλ' ἐγὼ περὶ σωφροσύνης πάλιν τοὺς οἰκέτας ἐθιστέον οὕτως, ὅπως ὁμιλεῖν μηδενὶ ἐξέστω αὐτῶν πρὸς τὸ οὖς αὐτῇ διαλέγεσθαι λάθρα, ἐνίοτε δὲ καὶ σοῦ βλέποντος· [c] ὃ γὰρ ἀκούειν οὐκ ἄγαν τὸν ἄνδρα [d] λυσιτελεῖ, ἄνισον καὶ ἄδικον, ἀλλ' ἐκείνῃ ταῦτα συμφέρει. Ὁπότε δὲ ἐν οἰκίᾳ τὸ λάθρα 447 διαλέγεσθαι ἀπήλλακται, πολλὴ ἐλπίς ἐστι μὴ ἄν [e] τινα τολμῆσαι τῶν θεραπόντων μοιχικόν τινα τῇ δεσποίνῃ διακονήσασθαι· ἀκοῦσαι γὰρ ἀνάγκη τὸν δεσπότην, εἰ νόμος ἐστὶ πάντως φανερῶς διαλέγεσθαι. Οἶδα μὲν οὖν καὶ ταῦτα ἅπαντα ἰσχύοντα πρὸς τὸ [f] ποιῆσαί τινα βιοῦν σωφρόνως· ὅμως δὲ [g] οὐδὲν τούτων λυσιτελέστερον, ὡς λόγῳ διδάσκειν περὶ τοῦ ἀδικήματος τῆς μοιχείας. Λεκτέον [h] οὖν πρὸς [i] αὐτὴν, τό τε αἰσχρὸν [k] καὶ τὸ ἀκόλαστον τῆς μοιχείας καὶ ἄδικον· καὶ ὡς [l] ἀδοξία μὲν ἐν γυναιξὶν, ἀδοξία δὲ ἐν ἀνδράσι· καὶ ὡς ὅ τι δήποτέ ἐστιν ἡ πίστις ἡ ἐξ ἀνθρώ-

pro ὅστις bis reponit Jacobsius Athen. p. 332.

[i] τοὺς om. A. B.

65.

[a] Sic A.

[b] ἀλλ' ἐγὼ] Lego ἀλλὰ καὶ. GESNER. Forte post πάλιν interpungendum, et seqq. leg. ἐθιστέον οὕτως ὁμιλεῖν, ὅπως.

[c] ὃ γὰρ ἀκούειν οὐκ ἄγαν τὸν ἄνδρα] οὐ γὰρ ἀκούειν τὸν ἄνδρα Trinc.

[d] λυσιτελεῖ, ἄνισον καὶ ἄδικον ἀλλ' ἐκείνῃ] λυσιτελεῖν, ἄδικον καὶ ἄνισον, ἀλλ' εἰς ἐκείνη γε A. et B. qui habet ἐκείνην. οὐδ' ἐκείνῃ conj. Gesnerus. Forte εἰ γὰρ ἀ. ὀ. ἀ. τ. ἄ. λ. ἄ. καὶ ἄδικον ἄλλως εἰ ἐκείνῃ γε τ. σ.

[e] τινα] τινα λόγον A. B. Mox f. πάντας φ.

[f] ποῆσαι] ποιῆσαι A. Trinc.

[g] οὐδὲν τούτων] οὐδὲν οὕτως τούτων A. B.

[h] οὖν om. A.

[i] αὐτὴν] αὐτῆς A.

[k] καὶ τὸ ἀκόλαστον τῆς μοιχείας καὶ ἄδικον] τῆς μοιχείας καὶ τὸ ἀκόλαστον καὶ τὸ ἄδικον A.

[l] ἀδοξία] εὐδοξία A. Mox ἡ ante ἐξ om. Trinc.

πων, τοῦτο οἴχεται ἀπὸ σοῦ· ὃ δὲ ἔτι βαρύτερον, τὸ μὴ μόνον νόθους γίνεσθαι παῖδας, ἀλλ' εἶναι [m] τούτους ἐξ ἀκολασίας καὶ ὕβρεως γεγονότας. Ταῦτα αὐτῇ λεκτέον, καὶ φοβείσθω τὸ ὄνομα τῆς μοιχείας, εἴγε ταύτῃ μέλλει ζῆν, καὶ [n] μὴ ἀποσφάττεσθαι. Καὶ ταῦτα οὕτω λεκτέον, ἐπιτείνοντά τε καὶ εἰδότα ὡς πολὺ ἔτι ἀτοπωτέρων ἐρῶσιν, [o] οἷον οὐ ξένων νεανίσκων, ἀλλ' οὐδὲ εἰπεῖν καλὸν οἵου φασὶ τὴν Πασιφάην ἐρασθῆναι θρέμματος. Λεκτέον δὲ οὕτως, εἰδότα ὡς [p] οὐδεμία μηχανὴ κρατῆσαι τῶν γυναικῶν· κἀκεῖνο, ὡς εἰσι πάντων τέχνας τε ἐξευρεῖν καὶ πλέξαι σοφώταται· εἰ δὲ ἀπιστεῖς, ἀναγίνωσκε τὰς τραγῳδίας, ὁπόσα ἐποίησαν ἢ ἐβουλεύσαντο γυναῖκες ἐπιθυμίᾳ ξένων ἀφροδισίων. Σωφροσύνην μὲν ἂν ὧδε ἐξασκητέον· διδακτέον δὲ ἃ διδάσκεσθαι χρὴ γυναῖκα, καὶ μάλιστα τὴν σωφροσύνην αὐταῖς [q] φυλάξει τὰ περὶ τὴν οἰκίαν, ὅπως ἂν ἄριστα ἔθηκε τὰ περὶ τοὺς οἰκέτας, ὅπως ἂν ἄριστα θεραπεύσηται τὰ περὶ ὑμῶν αὐτῶν, ὅπως ἂν ἐν πολλῇ εἴητε τιμῇ. Τί μὲν γὰρ χρηστότερον ἀνδρὶ ἢ γυνὴ εὔνους, καὶ ὅσα χρὴ ἀνδρὶ [r] ἐρωμένῳ εἰδυῖά τε καὶ διακονουμένη; τί δαὶ ἄλλο οὕτω περισπούδαστον [s] ἂν εἴη, ἢ εἰ νοσοῦντα αὐτὴ θεραπεύοι; καὶ εἴ τε ἀγαθὴ εἴη καὶ βελτίστη, οὐδὲν ἄλλο ἐγὼ κτῆμα οἰκίας [t] ἀγαθόν τε καὶ πολλοῦ λόγου ἄξιον εὑρίσκω. Ἀλλὰ καὶ ἄξιόν γε τὴν γυναῖκα οὕτως ἔχειν· οὐ γὰρ ἄλλῳ τινὶ ἢ τῇ γυναικὶ νυκτός τε καὶ μεθ' ἡμέραν ἀνὴρ προσαναπαύεται, καὶ πρὸς ἄλλον οὐδένα τῶν ἐν τῇ πόλει τὰ ἀπόρρητα ὅσαπέρ ἐστιν αὐτῷ διαλέγεται, ἀλλὰ μόνῃ τῇ γυναικὶ, καὶ ἐν ἴσῳ ὥσπερ ἂν [u] ἑαυτῷ. Οὐ γυνὴ μέντοι ἐστὶν, ἢ ὁπότ' ἂν

[m] τοῦτο A.
[n] μὴ om. A.
[o] οἵων σὺ] οἷον σὺ A. B. οὐ μόνον ξένων Gesnerus, qui mox conjicit οἷον pro οἵου.
[p] οὐδεμία] δὲ μία A.
[q] φυλάξει] διδάξαι A. B.
[r] ἐρρωμένῳ] ἐρωμένῳ A. Trinc. καὶ ante ὅσα om. A.
[s] ἂν, ἢ εἰ] εἴη A. ἂν εἴη Trinc.
[t] ἀγαθὸν] addo οὕτω. GESNER.
[u] ἑαυτῷ] αὐτῷ A. B.

φίλη τε καὶ εὔνους ᾖ, μάλιστα σεαυτὸν εὐφραίνουσα, ἥκιστα δὲ [w] ἀνιῶσα; οὐχ αὕτη ἐστὶν [x] ἢ καὶ παῖδάς σοι [y] τεξομένη; οὐχ αὐτοῦ ἐστιν, ἢ πόθον [z] πρώτη ἔχουσα, καὶ οὗ ἀποθανόντος κἂν ὁ πατὴρ κἂν ἡ μήτηρ λυπεῖσθαι μὴ θέλωσιν, ὁ νόμος.

## ΟΤΙ ΚΑΛΟΝ ΤΟ ΕΧΕΙΝ ΠΑΙΔΑΣ. ΟΕ.

1 [a] Διογένους.

Μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι,
παῖδας παρασπίζοντας ἀλκίμους ἔχει.

2 [a] Εὐριπίδου Μελεάγρῳ.

Καὶ κτῆμα δ', ὦ τεκοῦσα, κάλλιστον τόδε,
πλούτου δὲ κρεῖσσον· τοῦ μὲν ὠκεῖα πτέρυξ· 448
παῖδες δὲ χρηστοὶ, κἂν θάνωσι, δώμασι
καλόν [b] τε θησαύρισμα, τοῖς τεκοῦσί τε
ἀνάθημα βιότου, κοὔ ποτ' [c] ἐκλείπει δόμους.

3 [a] Εὐριπίδου Οἰνεῖ.

Ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων.
κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.

4 [a] Εὐριπίδου Δανάῃ.

Γύναι, φίλον μὲν φέγγος ἡλίου τόδε,

[w] ἂν ἴσως] ἀνιῶσα Wakefieldus.

[x] ἢ καὶ] Obscura sunt, et in quibusdam antigraphis non habentur. Gesner. Desunt omnia usque ad finem in Trinc. Locum partim Wakefieldii conjecturis adjutus sic fere correxerim: οὐχ αὐτή ἐστιν ἢ καὶ παῖδάς σοι τεξόμενη; οὐχ αὕτη ἐστιν ἢ πόθον πρώτη ἔχουσα σου ἀποθανόντος, κἂν ὁ πατὴρ καὶ ἡ μήτηρ λυπεῖσθαι μὴ θέλωσιν, ὁ νόμος (ἔννομα ποιήσει Wakefield.) Videtur vocabulum unum aut plura in fine deesse.

[y] τεξομένη] αὐτὴ τεξομένη B.

[z] πρώτης] πρώτη A. B.

1.

[a] ic A. Trinc.

2.

[a] Sic A. Scil. fr. 13. Simpl. Εὐριπίδου Trinc.

[b] τὸ] τε A. B.

[c] ἐκλείπει] ἐκλίπει A. ἂν ἐκλείπει Trinc.

3.

[a] Sic A. Scil. fr. 6. Deest lemma Trinc.

4.

[a] Sic A. Scil. fr. 10. Deest lemma Trinc.

καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,
γῆ τ' ἠρινὸν θάλλουσα, πλούσιόν θ' ὕδωρ,
πολλῶν τ' ἔπαινον ἐστί μοι λέξαι καλῶν·
ἀλλ' οὐδὲν οὕτω λαμπρὸν, οὐδ' ἰδεῖν καλὸν,
ὡς τοῖς ἄπαισι καὶ [b] πόθῳ δεδηγμένοις
παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν φάος.

5 [a] Εὐριπίδου.

Ὅτ' ἂν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.

6 [a] Μενάνδρου Ἐμπιμπραμένη.

Ὡς ἀγαθόν [b] ἐστι πρᾶγμα τὸ γενέσθαι τινὸς
πατέρα.

7 [a] Εὐριπίδου Πρωτεσιλάῳ.

Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός.

8 [a] Μενάνδρου.

Ὀδυνηρόν ἐστιν εὐτυχοῦντα τῷ βίῳ
ἔχειν ἔρημον διαδόχου τὴν οἰκίαν.

9 [a] Μενάνδρου.

Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρὶ,
ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα
τῶν ἐξ ἑαυτοῦ.

10 [a] Διογένους.

Ζηλωτὸς ὅστις εὐτύχησεν ἐν τέκνοις,
καὶ μὴ 'πισήμοις συμφοραῖς [b] ὠδύρετο.

[b] πόθῳ] πόθου A. B.

5.

[a] Sic A. Scil. Herc. Fur. 1264. Deest lemma Trinc.

6.

[a] Sic A. Cleric. p. 60. Deest locus Trinc.

[b] ἔστι] τὸ A. B.

7.

[a] Sic A. Scil. fr. 10. Menandro tribuit Trinc.

8.

[a] Sic A. Cleric. p. 326. Deest lemma Trinc.

9.

[a] Sic A. Cleric. ibid. Deest lemma Trinc.

10.

[a] Sic A. Tr. v. Eurip. Orest. 541.

[b] ὠδύρατο] ὠδύρετο A. B.

11 [a] Ἐκ τῶν Σερήνου Ἀπομνημονευμάτων.

Ἡ Λάκαινα πρός τινα [b] Ἰωνικὴν δείξασαν αὐτῇ τὸν κόσμον [c] ἀντεπέδειξε τὰ τέκνα, εἰποῦσα, Ὁ δὲ ἐμὸς κόσμος τοιοῦτος.

12 [a] Πλάτωνος.

Τούτῳ τῷ τρόπῳ πᾶν τὸ θνητὸν σώζεται, οὐ τῷ παντάπασι τὸ αὐτὸ ἀεὶ εἶναι ὥσπερ [b] τὸ θεῖον, ἀλλὰ τῷ τὸ ἀπιὸν [[c] καὶ παλαιούμενον] ἕτερον νέον [d] καταλείπειν, οἷον αὐτὸ ἦν. Μὴ οὖν θαύμαζε, εἰ τὸ αὐτοῦ ἀποβλάστημα φύσει ἅπαν τιμᾷ· [e] ἀθανασίας γὰρ ἅμα καὶ εὐδαιμονίας εἰς τὸν ἀεὶ χρόνον παντὶ αὕτη ἡ σπουδὴ καὶ ὁ ἔρως ἕπεται.

13 [a] Ἀλλὰ μὴν καὶ μάχεταί γε πᾶν ζῶον διαφερόντως [b] παρόντων ὧν ἂν τέκῃ.

14 [a] Ἱεροκλέους.

Ἐν δὲ τῷ περὶ [b] τοῦ γάμου καὶ τῆς παιδοποιΐας τόπῳ θετέος ἐστὶ καὶ ὁ τῆς πολυτεκνίας λόγος. Κατὰ φύσιν γάρ πως καὶ ἀκόλουθον τῷ γάμῳ τὸ πάντα ἢ τά γε [c] πλεῖστα τῶν γεννωμένων ἀνατρέφειν· ἀλλ' ἐοίκασιν οἱ πλείους ἀπειθεῖν τῇ παραινέσει δι' αἰτίαν οὐ μάλα πρεπώδη. Διὰ [d] γὰρ φιλοπλουτίαν, καὶ τὸ πάμμεγα κακὸν ἡγεῖσθαι τὴν πενίαν, τοῦτο πάσχουσι. Πρῶτον μὲν δὴ λογιστέον, ὡς οὐχ

11.

[a] Sic fere A. ubi σερίνου. Trinc. ἐκ τῶν σερίνου. cf. 74, 54.

[b] Ἰωνικὴν] *Al.* Ἰωνικὸν Gesn. marg.

[c] ἀνταπέδειξε] ἀντεπέδειξε A.

12.

[a] Sic A. Trinc. Scil. Sympos. p. 208.

[b] τὸ om. B.

[c] καὶ παλαιούμενον om. A. Trinc.

[d] ἐγκαταλείπειν] καταλείπειν A. Trinc.

[e] ἀθανασίας γὰρ χάριν παντὶ αὕτη Gesner. marg.

13.

[a] Cohæret cum præced. A. Trinc. Vide Fischer. ad Sympos. c. 26.

[b] πρὸ] παρόντων A. B. παρ' Tr.

14.

[a] Sic A. Trinc.

[b] τοῦ γάμου] τοῦ om. Trinc.

[c] πλεῖστα τῶν γενομένων] πλεῖστον τῶν γεννωμένων A. Trinc.

[d] γὰρ om. A.

ἑαυτοῖς μόνον [e] παραστάτας, καὶ [f] γηροβοσκοὺς, καὶ πάσης τύχης τε καὶ περιστάσεως κοινωνοὺς γεννῶμεν, οὐδ᾽ ὑπὲρ 449
ἑαυτῶν μόνον· ἀλλὰ καὶ ὑπὲρ [g] τῶν γονέων ἡμῶν κατὰ πολλά γε. Καὶ γὰρ εὐχαριστίαν ἔχει πρὸς αὐτοὺς ἡ παιδοποιΐα τῷ, κἂν εἴ τι πάθοιμεν ἡμεῖς πρότερον, καταλείπειν ἐκείνοις ἀνθ᾽ ἡμῶν αὐτοὺς γηροβοσκούς. Καλὸν δὲ πάππος ὑπὸ σφετέρων ἐκγόνων χειραγωγούμενός τε καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιούμενος. Ὥστε πρῶτον μὲν εὐχάριστα πράττοιμεν ἂν εἰς γονέας τοὺς ἑαυτῶν, παίδων ἐπιμελούμενοι γενέσεως· εἶτα καὶ ταῖς εὐχαῖς τε καὶ σπουδαῖς τῶν ἡμᾶς γειναμένων συνεργήσομεν. Εὐθὺ γὰρ ὅτε πρῶτον περὶ τὴν ἡμετέραν εἶχον γένεσιν, διανοίᾳ χρώμενοι τοῦ χύσιν αὐτῶν εἰς πλεῖστον λαβεῖν τὴν διαδοχὴν, καὶ παῖδας ἐκ παίδων [h] ὑπολείπεσθαι, καὶ γάμου προὐνόησαν καὶ τῆς ἡμετέρας σπορᾶς καὶ ἀνατροφῆς. Ὅθεν γαμοῦντες μὲν καὶ παιδοποιούμενοι πράττοιμεν ἂν οἷον μέρη τῆς ἐκείνων εὐχῆς· τὰ δ᾽ ἐναντία φρονήσαντες, ἐγκόπτοιμεν ἂν αὐτῶν τῇ προαιρέσει. Καὶ μὴν κινδυνεύει πᾶς [i] ὁ θελοντὴς καὶ περιστάσεως ἄνευ γάμον ἐκκλίνων καὶ παιδοποιΐαν παρανοίας κρίνειν τοὺς ἑαυτοῦ γονέας, ὡς οὐ σὺν ὀρθοῖς λογισμοῖς περὶ γάμου [k] πεπραγματευμένους. Ἔνθα δὴ καὶ τὴν ἀνομολογίαν φωράσειεν ἄν τις εὐπετῶς. Πῶς γὰρ οὐ μάχης πλῆρες [l] εὐαρεστεῖν μὲν τῷ ζῆν, καὶ μένειν ἐν [m] ἑαυτῷ, ὡς καθηκόντως εἰς τὸν βίον ὑπὸ τῶν σπειράντων παρηγμένον, τὸ δ᾽ [n] αὐτὸν ἑτέρους γεννῆσαι τῶν ἀδοκίμων [o] ὑπολαμβάνειν; ἀλλὰ γὰρ πρῶτον μὲν, ὡς ἔφην, ἐντεθυμῆσθαι

[e] παραστάτας] παραστάντας A.
[f] γηροβοσκοὺς] γηρωβοσκοὺς A. Mox τε om. Trinc.
[g] τῶν] αὐτῶν B.
[h] ὑπολείπεσθαι] ὑπολῖπεσθαι A. B.
[i] ἐθελοντὴς] ὁ θελοντὴς A.
[k] πεπραγματευομένους] πεπραγματευμένους A. πεπραγματευμένοις Tr.
[l] εὐαρεστεῖν] εὐαρεστὸν A. B. τῷ ζῆν Bentleius pro τὸ ζ.
[m] ἑαυτῷ] αὐτῷ A.
[n] αὐτὸ] Lego αὐτὸν. GESNER.
[o] ὑπολαμβάνειν] ὑπολαμβάνει A.

χρὴ, διότι γεννῶμεν οὐχ ἑαυτοῖς μόνον, ἀλλὰ καὶ τοῖς δι' οὓς γεγόναμεν αὐτοί· ἔπειτα καὶ ὑπὲρ φίλων τε καὶ συγγενῶν. Κεχαρισμένον γὰρ καὶ τούτοις ἐστὶ παῖδας ἐξ ἡμῶν ἰδεῖν, διά τε τὴν εὔνοιαν καὶ [p] οἰκειότητα, καὶ δὴ καὶ διὰ τὴν ἀσφάλειαν· διορμίζεται γὰρ ὑπὸ τοῦ τοιούτου τοῖς προσήκουσιν ὁ βίος ἀνάλογον ταῖς ἐπὶ πολλῶν ἀγκυρῶν σαλευούσαις ναυσίν· ὅθεν κατὰ τὸν φιλοσυγγενῆ καὶ φιλέταιρον ἔστιν ἡ περὶ γάμον καὶ τέκνα σπουδή. Παρακαλεῖ δ' εὖ μάλα καὶ ἡ πατρὶς ἐπὶ ταυτόν. Καὶ σχεδὸν οὐδ' ἑαυτοῖς οὕτως ὡς τῇ πατρίδι φυτεύομεν παῖδας, τῆς μεθ' ἡμᾶς προνοούμενοι τάξεως, καὶ τῷ κοινῷ παρέχοντες τοὺς διαδεξομένους ἡμᾶς. Ὅθεν ὁ μὲν ἱερεὺς [q] ἴστω τῇ πόλει τῇ ἑαυτοῦ ἱερέας ὀφείλων· ὁ δ' [r] ἄρχων, ἄρχοντας· ὁ δὲ δημηγόρος, δημηγόρους· καὶ ὡς ἁπλῶς εἰπεῖν, ὁ πολίτης πολίτας. Καθάπερ οὖν χορῷ μέν ἐστι κεχαρισμένη ἡ τῶν χορευτῶν διαμονὴ, στρατεύματι δὲ ἡ τῶν στρατιωτῶν, οὕτω καὶ πόλει ἡ τῶν πολιτῶν. Ἀλλ' εἰ μὲν ἦν ὀλιγοχρόνιόν τι σύστημα πόλις, ὅ τε βίος αὐτῆς κατὰ βίον ἀνθρώπου τὴν [s] συμμετρίαν ἐλάμβανεν, οὐδὲν ἔδει διαδοχῆς· ἐπεὶ δ' εἰς πολλὰς γενεὰς [t] ἐξικνεῖται, δαίμονι δὲ εὐδαιμονεστέρῳ χρησαμένη καὶ εἰς μακροὺς αἰῶνας πόλις, φανερὸν, ὡς οὐ τοῦ παρόντος [u] ἐστοχάσθαι δεῖ μόνον, ἀλλ' καὶ τοῦ μετέπειτα· 450
τήν τε ἰδίαν μὴ περιορᾶν χώραν ἔρημον, ἀλλ' [w] ἐπ' ἐλπίσιν ἱδρυμένην ταῖς ἀπὸ τῶν ἡμετέρων τέκνων.

15 [a] Μουσωνίου ἐκ τοῦ Εἰ πάντα τὰ γινόμενα τέκνα θρεπτέον.

Οἱ δὲ νομοθέται, οἷς αὐτὸ τοῦτο γέγονεν ἔργον ζητεῖν καὶ

[p] οἰκειότητα] τὴν οἰκειότητα A. mox om. δὴ καὶ A. Trinc.
[q] ἴστω] ἔστω Trinc.
[r] ἄρχων om. A.
[s] συμμετρίαν] συμμετρίαν ἀνθρώπου A.
[t] ἐξικνεῖται] ἐξιχνεῖται A.
[u] ἐστοχάσθαι] ἐστιχάσθαι A.
[w] ἐπ' om. A.

15.
[a] Sic fere A. ubi θεραπευτέον. Simpl. Μουσωνίου Trinc.

σκοπεῖν, τί μὲν ἀγαθὸν πόλει, τί [b] δὲ κακόν· καὶ τί μὲν ὠφελεῖ, τί δὲ βλάπτει τὸ κοινόν· οὐχὶ [c] δὲ καὶ οὗτοι πάντες συμφορώτατον μὲν ταῖς πόλεσιν ἐνόμισαν τὸ πληθύνεσθαι τοὺς τῶν πολιτῶν οἴκους, [d] βλαβερώτατον δὲ τὸ μειοῦσθαι; καὶ ἀπαιδίαν μὲν ἢ ὀλιγοπαιδίαν τῶν πολιτῶν ὑπέλαβον εἶναι ἀλυσιτελὲς, τὸ δὲ ἔχειν παῖδας, καὶ νὴ Δία πολλοὺς [e] ἔχειν, λυσιτελές; Τοῦτο μὲν γὰρ [f] ἀμβλίσκειν [g] ἀπεῖπον ταῖς γυναιξὶ, καὶ ταῖς ἀπειθούσαις ζημίαν [h] ἐπέθεσαν· τοῦτο δὲ ἀτοκίᾳ προστίθεσθαι καὶ τὴν κύησιν εἴργειν ἀπηγόρευσαν αὐταῖς· τοῦτο δὲ πολυπαιδίας ἔταξαν γέρα καὶ ἀνδρὶ καὶ γυναικὶ, καὶ τὴν ἀπαιδίαν ἐπιζήμιον κατέστησαν. Πῶς [i] δ' οὖν οὐκ ἂν ἡμεῖς ἄδικα καὶ παράνομα δρῶμεν, ἐναντία δρῶντες τῇ βουλήσει τῶν νομοθετῶν, θείων καὶ θεοφιλῶν ἀνδρῶν, οἷς ἕπεσθαι νομίζεται καλὸν καὶ συμφέρον; δρῶμεν δ' ἂν ἐναντία, τὴν πολυπαιδίαν τὴν ἑαυτῶν κωλύοντες. Πῶς δ' οὐχὶ καὶ εἰς τοὺς πατρῴους θεοὺς ἐξαμαρτάνοιμεν ἂν, καὶ εἰς τὸν Ὁμόγνιον [k] Δία, ταῦτα πράττοντες; ὥσπερ γὰρ ὁ περὶ ξένους ἄδικος εἰς τὸν Ξένιον ἁμαρτάνει Δία, καὶ ὁ περὶ φίλους εἰς τὸν Φίλιον· οὕτως ὅστις εἰς τὸ ἑαυτοῦ γένος ἄδικος εἰς [l] τοὺς πατρῴους ἁμαρτάνει θεοὺς, καὶ εἰς τὸν Ὁμόγνιον Δία, τὸν ἐπόπτην τῶν ἁμαρτημάτων τῶν περὶ τὰ γένη· ὁ δέ γε περὶ τοὺς θεοὺς ἁμαρτάνων, ἀσεβής. Καὶ μὴν ὅτι καλὸν καὶ λυσιτελὲς παίδων ἀνατροφὴ πολλῶν μάθοι τὶς ἂν λογισάμενος, ὡς μὲν ἔντιμος ἐν πόλει πολύπαις ἀνὴρ, ὡς δ' αἰδῶ παρέχει τοῖς πλησίον, ὡς δὲ δύναται πλέον πάντων τῶν ὁμοίων, ἄν γε μὴ ὁμοίως παίδων εὐπο-

[b] δαὶ] δὲ B. Arsen.
[c] δὲ om. B.
[d] βλαβερώτερον] βλαβερώτατον A. Arsen. Gesnerus e conjectura.
[e] ἔχειν] εἶναι A. B.
[f] ἀμβλίσκειν] ἀμβλήσκειν Trincavell.
[g] ἀπεῖπον] εἶπον A. (ἐπὶ supra)
[h] ἐπέθεσαν] ὑπέθεσαν Trinc.
[i] δ' οὖν οὐκ ἂν ἡμεῖς] οὖν ἡμεῖς οὐκ ἂν A.
[k] δία, ταῦτα] τὰ τοιαῦτα A. B.
[l] τοὺς om. B. Mox ἀναστροφὴ pro ἀνατροφὴ Trinc.

ρῶσι. Καθάπερ γὰρ, οἶμαι, πολύφιλος ἀφίλου ἀνδρὸς δυνατώτερος· οὕτω καὶ πολὺ μᾶλλον ὁ πολύπαις [l]τοῦ ἄπαιδος, ἢ τοῦ ὀλίγους κεκτημένου παῖδας· καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ περ ἐγγύτερον υἱὸς ἑκάστῳ ἢ φίλος. Ἄξιον δὲ νοῆσαι, ποῖόν τι καὶ θέαμά ἐστιν ἀνὴρ πολύπαις ἢ γυνὴ σὺν ἀθρόοις [m]ὁρωμένη τοῖς ἑαυτῶν παισίν· οὔτε γὰρ πομπὴν πεμπομένην θεοῖς οὕτω καλὴν θεάσαιτ' ἄν τις, οὔτε χορείαν ἐπὶ ἱεροῖς κόσμῳ [n]χορευτῶν οὕτως ἀξιοθέατον, ὡς χορὸν παίδων πολλῶν προηγουμένων ἐν πόλει πατρὸς τοῦ ἑαυτῶν ἢ μητρὸς, [o]καὶ χειραγωγούντων τοὺς γονεῖς, ἢ τρόπον ἕτερον περιεπόντων κηδεμονικῶς. [p]Τί μὲν τούτου κάλλιον τοῦ θεάματος; τί [q]δὲ τῶν γονέων τούτων [r]ζηλωτότερον, ἄλλως τε κἂν ἐπιεικεῖς ὦσι; [s]τίσι δ' ἂν ἄλλοις οὕτω προθύμως ἢ συνεύξαιτό τις ἀγαθὰ παρὰ θεῶν, ἢ συμπράξειεν αὐτοῖς εἰς ὅ τι δέοιντο;

## ΟΤΙ ΑΣΥΜΦΟΡΟΝ ΤΟ ΕΧΕΙΝ ΤΕΚΝΑ, ΚΑΙ ΑΔΗΛΟΝ ΕΙ ΙΔΙΑ ΤΩΝ ΕΧΕΙΝ ΝΟΜΙΖΟΝΤΩΝ· ΚΑΙ ΜΗΔΕ ΘΕΤΟΝ ΠΟΙΕΙΣΘΑΙ. ΟϚ. 451

1 [a]Μενάνδρου.

Οὐκ ἔστιν οὐδὲν ἀθλιώτερον πατρὸς,
πλὴν [b]ἕτερος ἂν ᾖ πλειόνων παίδων πατήρ.

2 [a]Εὐριπίδου Οἰνομάῳ.

Ἀμηχανῶ δ' ἔγωγε, κοὐκ ἔχω μαθεῖν,

[l] τοῦ ἄπαιδος] τοῦ μὴ ἔμπαιδος A. τοῦ μὴ ἄπαιδος Trinc. Legendum fortasse, τοῦ μὴ εὔπαιδος.
[m] ὁρωμένη] ὁρώμενοι Trinc.
[n] χορευτῶν] χορευόντων A.
[o] χειραγωγούντων] καὶ χ. B. et A. m. sec.
[p] τὶ μὲν] τὶ μὲν γὰρ B. A. m. s.
[q] δαὶ] δὲ A.
[r] ζηλωτώτερον] ζηλοτώτερον Trinc. ζηλωτότερον A.
[s] τίσι] τοῖσι A. In fine post δέοιντο A. subjicit μὰ Δία, φησίν. Sed punctis notat, tanquam delenda.

1.

[a] Sic A. Trinc. Cleric. p. 236.
[b] ἕτερος] ἕτερος, ὃς Porsonus ad Aristoph. Thesm. 450. παίδων om. Trinc.

2.

[a] Sic A. Scil. fr. 2. Simpl. Εὐριπίδου Trinc.

εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον.
ὁρῶ γὰρ, οἷς μὲν οὐκ [b] ἔφυσαν, ἀθλίους·
ὅσοισι δ' εἰσὶν, οὐδὲν εὐτυχεστέρους.
καὶ γὰρ κακοὶ [c] γεγῶτες, ἐχθίστη νόσος·
κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα·
λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι.

3 [a] Εὐριπίδου Ἀνδρομάχης.

Ψυχὴ τέκν', ὅστις δ' αὔτ' ἄπειρος ὢν λέγει,
ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ.

4 [a] Μενάνδρου Ἐπικλήρῳ.

Ἦ δεῖ ζῆν μόνον,
ἢ πατέρα παίδων ἀποθανεῖν γεννωμένων·
οὕτω τὸ μετὰ ταῦτ' ἐστὶ τοῦ βίου πικρόν.

5 [a] Σοφοκλῆς Ἠλέκτρα.

Δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται.

6 [a] Ὁμήρου.

Μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι· αὐτὰρ ἔγωγε
οὐκ οἶδ'· οὐ γάρ [b] πω τὶς ἑὸν γόνον αὐτὸς [c] ἀνέγνω.

7 [a] Μενάνδρου.

[b] Ἔστιν δὲ μήτηρ φιλότεκνος μᾶλλον πατρός·

[b] ἔφυσαν] ἔφυσεν A.
[c] γεγῶτες] γεγότες B.

3.
[a] Sic A. Scil. v. 420. Deest lemma Trinc.

4.
[a] Sic A. Cleric. p. 64. Deest lemma Trinc.
[b] ἢ δεῖ ζῆν μόνον, Ἢ πατέρα παίδων ἀποθανεῖν γεννωμένων] Sequor ita hæc digerentem Salmasium. Vulgo erat, ἢ μόνον δεῖ ζῆν ἢ παίδων γεννωμένων πατέρ' ἀποθανεῖν. Grotius. γενομένων A.

5.
[a] Sic A. Scil. v. 770. Simpl. Σοφοκλέ. Trinc. Mox τέκει Trinc.

6.
[a] Sic A. Tr. Scil. Od. A. 215.
[b] πω τις] πότε εἰς A. ποτ' εἰς B.
[c] ἀνέγνω] ἀνέγνων A. ἀνέγκω Tr.

7.
[a] Sic A. Cleric. p. 236. Deest locus Trinc.
[b] Euripidi tribuit Eustathius. Grotius in mss. Scil. Odyss. A. p. 1412.=49.

ἡ μὲν γὰρ αὑτῆς οἶδεν υἱὸν, ὁ δ' οἴεται.

8 [a] Μενάνδρου Προεγκαλῶν.

[b] Οἷον τὸ γενέσθαι πατέρα παίδων ἦν (κακόν·)
λύπη, φόβος, φροντὶς, πέρας ἐστὶν οὐδεέν.

9 [a] Σοφοκλῆς Ἀλεάδαις.

Παῦσαι· καταρκεῖ τοῦδε κεκλῆσθαι πατρὸς,
εἴπερ πέφυκά γ'· εἰ δὲ μὴ, [b] μείζων βλάβη.
τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ.

10 [a] Εὐριπίδου Μελανίππη.

Ἴστω δ' ἄφρων ὢν, ὅστις ἄτεκνος ὢν τὸ πρὶν,
παῖδας θυραίους εἰς δόμους ἐκτήσατο,
[b] τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων.
[c] ᾧ γὰρ θεοὶ δίδωσι μὴ φῦναι τέκνα,
οὐ χρὴ [d] 'γκαλεῖσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν.

11 [a] Μενάνδρου Καρχηδονίῳ.

Αὐτὸς γὰρ [b] οὐδεὶς οἶδε πῶς [c] ἐγένετο.

12 [a] Εὐριπίδου Ἐρεχθεῖ.

[b] Θετῶν δὲ παίδων ποῦ κράτος; τὰ φύντα γὰρ

8.

[a] Sic A. Cleric. p. 158. Simpl. Μενάνδρου Trinc.

[b] Οἷον τὸ γενέσθαι πατέρα παίδων, ἦν λύπη, φόβος, φρόντις, πέρας οὐδεέν ἐστι.] ο. τ. γ. παίδων πατέρα ἦι λ. φόβος φ. π. οὐδέν ἐ. A. Edidit Grotius: οἷον τὸ γ. π. π. ἦν φόβος λύπη καὶ φρόντις, οὐδεὲν δ' ἔστιν πέρας. Idem in mss.: "Aut sic: ἦν κα-"κόν· οὐδὲν πέρας ἐστὶ φροντίδος, "λύπης, φόβου." Secuti sumus Bentleium.

9.

[a] Sic A. Fr. Aload. 9. Simpl. Σοφοκλέ Trinc.

[b] μεῖζων] μείων Gesn. marg. B. teste Brunckio. τίς ἂν Grotius. βλάβην Trinc.

10.

[a] Sic A. Scil. fr. 12. Deest lemma Trinc.

[b] τὴν—παραστρέφων] Deest versus Trinc.

[c] ᾧ] ὡς A.

[d] 'γκαλεῖσθαι] τλεῖσθαι A.

11.

[a] Sic fere A. ubi contracte Καρχη. Cleric. p. 242.

[b] οὐδεὶς] οὐθεὶς A. B.

[c] ἐγένετο] ἐγείνατο edidit Grotius. Recte legitur τοῦ ποτ' ἐγένετο apud Eustathium p. 1412, 14. Alterum versum ἀλλ' ὑπονοοῦμεν πάντες ἢ πιστεύομεν addidit ex Eustathio Grotius in mss.

12.

[a] Sic A. Scil. fr. 7. Simpl. Εὐριπίδου Trinc.

[b] θετῶν γὰρ Trinc.

κρείσσω νομίζειν τῶν [c] δοκημάτων χρεών.

13 [a] Δημοκρίτου.

Τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηται· τὴν δὲ ἀποτυχίην, ἀνυπέρθετον [b] ἑτέρην ὀδύνην.

14 [a] Ἀριστίππου.

Μεμφομένης αὐτῷ τῆς γυναικὸς ὅτι τὸν υἱὸν οὐ προσίεται, 452
καὶ λεγούσης ὅτι ἐκ σοῦ εἴη, ἀποπτύσας, Καὶ γὰρ τοῦτο, εἶπεν, ἐξ ἐμοῦ· ἀλλ' [b] οὐδέν μοι χρήσιμόν ἐστιν.

15 [a] Δημοκρίτου.

Οὔ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· [b] ἐνορῶ γὰρ ἐν παίδων [c] κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας· ὀλίγα δὲ τὰ [d] εὐθηλέοντα, καὶ ταῦτα [e] λεπτά τε καὶ ἀσθενέα.

16 [a] Τοῦ αὐτοῦ.

Ὅτεῳ χρήματά ἐστι, παῖδα ποιήσασθαι ἐκ τῶν [b] φίλων ἐμοὶ δοκεῖ ἄμεινον εἶναι· καὶ τῷ μὲν παῖς ἔσται τοιοῦτος, οἷον ἂν βούληται· ἔστι γὰρ ἐκλέξασθαι οἷον [c] ἐθέλει, καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, καὶ μάλιστα κατὰ φύσιν ἕποιτο. Καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μέν [d] ἐστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν ὧν ἂν δεῖ· [e] ἢν δέ τις

[c] δοκιμάτων] δοκημάτων A. Trinc. δοκησάντων Grotius e Gesneri conjectura.

13.

[a] Sic A. Trinc.

[b] ἑτέρην ὀδύνην] ἑτέρῃ ὀδύνῃ A. Trinc.

14.

[a] Sic A. Trinc.

[b] οὐδέν μοι] οὐδ' ἐμοὶ A. Vide Diogen. Laërt. II. 81.

15.

[a] Sic A. Trinc.

[b] ἐνορῶ] ἐνουρῶ A.

[c] κτήσει] κτίσει Trinc.

[d] εὐθηλέοντα] Forte εὐθηνέοντα. Gesner. Vide Schæferi Melet. Cr. p. 69.

[e] λεπνά] λεπτὰ A. Trinc.

16.

[a] Sic A. Trinc.

[b] φίλων] φίλων τ' A. F. l. γ'.

[c] ἐθέλει] θέλει A.

[d] ἐστι τὸν] λίτον A.

[e] εἰ—ποιεῖται] ἢν—ποιῆται A. Pro ὧν—δεῖ scribendum ὃν—δέῃ.

ποιῆται ἀπὸ ἑωυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γὰρ ὃς ἂν γένηται, τούτῳ χρῆσθαι.

17 [a] Τοῦ αὐτοῦ.

Ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης. Δῆλον δὲ καὶ τοῖς ἄλλοις ζώοισι. Πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν, [b] ἐπωφελείης γε οὐδεμιᾶς [c] εἵνεκα· ἀλλ' ὅτ' ἂν γένηται ταλαιπωρεῖ, καὶ τρέφει ἕκαστον ὡς δύναται, καὶ [d] ὑπερδέδοικε μέχρι σμικρᾶς, καὶ ἤν τι πάθῃ ἀνιᾶται. Ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν [e] ὅσα ψυχὴν ἔχει· τὸ δὲ δὴ [f] ἀνθρώπινον μείζον' ἤδη πεποίηται, ὥστε καὶ [g] ἐπαύρησίν τινα γίγνεσθαι ἀπὸ τοῦ ἐκγόνου.

## ΟΤΙ * ΚΡΕΙΤΤΟΝΕΣ ΟΙ ΑΡΣΕΝΕΣ ΤΩΝ ΠΑΙΔΩΝ, ΚΑΙ ΟΤΙ ΤΟΥΣ ΝΟΘΟΥΣ ΟΥΚ ΕΛΑΤΤΟΝΑΣ ΧΡΗ ΚΡΙΝΕΙΝ ΤΩΝ ΓΝΗΣΙΩΝ. ΟΖ.

1 [a] Εὐριπίδου.

Γυνὴ μὲν ἐξελθοῦσα πατρῴων δόμων
οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.
τὸ δ' ἄρσεν ἕστηκ' ἐν δόμοις ἀεὶ γένος
θεῶν πατρῴων καὶ τάφων [b] τιμάορον.

2 [a] Μενάνδρου.

Θυγάτηρ ἐπίγαμος, κἂν [b] ὅλως μηθὲν λαλῇ,
διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει.

17.

[a] Sic A. Deest locus Trinc.
[b] ἐπὶ ὠφελείης] ἐπωφελείης Schæferus l. cit.
[c] ἕνεκα] εἵνεκα A. B.
[d] ὑπερδέδοικε] ὑπερδέδυκε A. B.
[e] οὖσα] Lego ὅσα. GESNER.
[f] ἀνθρώπῳ νομίζον] Forte μεῖζον. GESNER. Leg. τὸ δὲ δὴ ἀνθρώπινον μείζον'.
[g] ἐπαύρησιν] ἐπαύρεσιν A. B.

* κρεῖττον οἱ ἄρσενες] κρείττονες οἱ ἄρρενες A.

1.

[a] Sic Tr. Deest lemma A. v. supra LXXIII. 11. Fr. Danaes 7.
[b] τιμᾷ ὅρον] τιμάορον Stanleius ad Æschyl. Choeph. 141. notante Valckenærio Diatr. p. 7.

2.

[a] Sic A. Trinc. Cleric. p. 236.
[b] ὅλως] ἄλλος A.

3 [a] Εὐριπίδου Ἰφιγενείᾳ.

Στύλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.

4 [a] Μενάνδρου.

Εὐδαιμονίας τοῦτ' ἐστὶν, υἱὸς νοῦν ἔχων.

5 [a] Μενάνδρου Ἀνεψιοῖς.

Ἀλλὰ θυγάτηρ κτῆμ' ἐστὶν ἐργῶδες πατρί.

6 [a] Μενάνδρου Ἁλιεύς.

Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.

7 [a] Ποσειδίππου Ἑρμαφροδίτου.

Υἱὸν τρέφει [b] πᾶς, κἂν πένης τὶς ὢν τύχῃ·
[c] θυγατέρα δ' ἐκτίθησι, κἂν ᾖ πλούσιος.

8 [a] Διφίλου.

Κόρης ἀπαλλαττόμεθα, ταμιείου πικροῦ.

9 [a] Σοφοκλῆς Ἀλεάδαις.

[b] Ὁ δὴ νόθος τοῖς γνησίοις ἴσον σθένει·
ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.

10 [a] Εὐριπίδου Ἀντιγόνῃ.

Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' [b] ἴση.

3.

[a] Sic A. Scil. Taur. 57. Simpl. Εὐριπίδου Trinc.

4.

[a] Sic A. Trinc.

5.

[a] Sic A. Deest lemma Trinc. Hunc versum cum præcedente post Grotium conjungit Clericus p. 18.

6.

[a] Sic A. Cleric. p. 8. Deest lemma Trinc.

7.

[a] Sic A. Simpl. Ἑρμαφροδίτου Trinc.

[b] τις] πᾶς A. B. non πῶς ut Grotius, quem correxit Dobræus in Aristoph. p. (129.)

[c] θυγατέρα δ'] δ' om. B. θυγάτηρ δ' Trinc.

8.

[a] Sic A. Deest locus Trinc.

9.

[a] Sic A. Fr. Aload. 10. Simpl. Σοφοκλέ. Trinc.

[b] ὁ δὴ νόθος τοῖς—σθένει] ὁ δ' εἰ νόθος τις τοῖς—σθένοι A. B. ὁ δ' εἰ Trinc.

10.

[a] Sic A. Scil. fr. 9. Simpl. Εὐριπίδου Trinc.

[b] ἴση] δοίη Clem. Alex. Strom. VI. male. F. ἴη pro μία. Grotius mss.

11 [a] Εὐριπίδου Εὐρυσθεῖ.

Μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ᾿ ἄρα
παῖδας φυτεύειν· ὃς γὰρ ἂν χρηστὸς φυῇ, 453
οὐ τοὔνομ᾿ αὐτοῦ τὴν φύσιν [b] διαφθερεῖ.

12 [a] Εὐριπίδου Ἀνδρομέδας.

Ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν.
τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς,
νόμῳ νοσοῦσιν, [b] ὃ σε φυλάξασθαι χρεών.

## ΠΕΡΙ ΝΗΠΙΩΝ. ΟΗ.

1 [a] Καλλιμάχου.

Ἄρνες τοι, [b] φίλε κοῦρε, συνήλικες, ἄρνες ἑταῖροι 10
ἔσκον, [c] ἐνήριθμοι δ᾿ αὔλια καὶ βοτάναι.

2 [a] Θεοκρίτου Βουκολικῶν.

Φείδευ τῶν ἀρνῶν, φείδευ, λύκε, τῶν ἐρίφων [b] μευ,
μηδ᾿ ἀδικῇς μ᾿, ὅτι μικρὸς ἐὼν πολλοῖσιν ὁμαρτέω.

3 [a] Βιότου ἐκ Μηδείας.

Τὸ θρέψαι δ᾿ ἐν βροτοῖσι πολλάκις
πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.

11.

[a] Sic A. Scil. fr. 5. Deest lemma Trinc.

[b] διαφθείρει] διαφθερῇ Grotius tanquam ex A. qui tamen habet διαφθείρει ut vulgo.

12.

[a] Sic A. Scil. fr. 24. Deest lemma Trinc.

[b] ὥς σε] ὧσ A. B. Gesner. in marg. "ᾧ *malim* ἐν." Grotius dedit ὅ σε.—νόμων pro νόμῳ Trinc.

1.

[a] Sic A. Trinc. Scil. fr. 127.

[b] φίλε κοῦρε ὁμήλικες] φίλοι κουρεοῦ νήλϊκες A. et mox ἑτέροι pro ἑταῖροι. ἑτάροι Trinc. Patet legendum esse συνήλικες.

[c] ἐνήρυθμοι] ἐνηρυθμοῖ A. ἐνήριθμοι Gesn. ed. 3. et Grotius, non ἀνήριθμοι ut apud Valcken. Callimach. p. 288. δ᾿ αὔλια pro δαύλια Bentleius, cui ἐνήριθμοι idem est ac φίλοι.

2.

[a] Sic A. Sc. VIII. 63. Simpl. Θεοκρίτου Trinc.

[b] μευ] με Trinc.

3.

[a] Sic A. Simile lemma in suo codice reperisse videtur Photius. Valde probandam censeo conjecturam Elmsleii, qui sub hoc βι-

4 [a] Εὐριπίδου Αὐγῆς.

Τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν;

5 [a] Εὐφορίωνος.

Τέκνον, μὴ σύ γε [b] μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσης·
ἠελίους ἥτις σε τριηκοσίους ἐφόρησα,
τέκνον, ὑπὸ [c] ζώνῃ, φοβερὰς δ' ὠδῖνας ἀνέτλην,
εἰς φάος ἐρχομένου· λαρὸν δ' ἐπὶ χείλεσι πρώτη
μαστὸν [d] ἐπισχομένη λευκῷ σ' [e] ἔψησα γάλακτι.

6 [a] Ἡρώδου Μιμιάμβων.

Ἦ [b] χαλκέην μοι [c] μυῖαν, [d] ἢ κύθρην παίζει·
ἢ ταῖσι [e] μηλάνθησιν ἅμματ' ἐξάπτων
τοῦ [f] κεσκέου μοι τὸν γέροντα [g] λωβῆται.

ότου suspicatur "verba διονυσίου "τυράννου latere compendio scri- "pta διο. τυ." Annot. in Euripidis Med. p. 74. Simpl. Εὐριπίδου Trinc.

4.

[a] Sic A. Scil. fr. 5. Deest lemma Trinc.

5.

[a] Sic A. Trinc.

[b] μητρὸς] παιδὸς A. m. p.

[c] ζώνῃ] ζώνην B.

[d] ἐπισχομένη] ἐποιχομένη A.

[e] δέ σ' ἔλοισα] σ' ἔψησα A. Gesn. marg. λευκῷ σ' ἔθρεψα conj. Gesn. edidit Grotius. Valckenærius: "Verba forte Clytemnestræ ad "Orestem. l. δέ σ' ἔδευσα γ."

6.

[a] Sic A. Simpl. Ἡρώδου Trinc. *Herodis in Hemiambis* Gesner.

[b] χαλκαίην] χαλκέην A.

[c] μυίην] μυῖαν A.

[d] κύθρην] Malim χύτρην. Gesn.

Ib. Ἦ χαλκέην μοι μυῖαν ἢ κύθρην] Vulgo χαλκαίην μοι μυίην. Est autem κύθρην Ionicum pro χύτραν. Sic κιθὼν pro χιτὼν eisdem, quod Salmasius monuit. Grotius.

[e] ἢ τ. μηλολόνθης] ἐν τ. μηλάνθασιν A. B. Dedi μηλάνθησιν. Vide Eustath. Il. Ψ. p. 1329, 26.

Ib. ἢ μηλολόνθης ποσσὶν] Hoc quoque a nostra conjectura, versu docente. Vulgo est ἢ ταῖσι μηλολόνθης. Grotius.

[f] κεσκέου] κεσκαίου Arsen.

[g] λωβῆται] λωβῆσαι Arsen. De toto hoc loco videatur Martinus Var. Lectt. IV. 2. nec non Jungermannus ad Polluc. IX. 123.

Ib. τοῦ κεσκίου μοι τὸν γέροντα λωβῆται] Monuit idem Salmasius γέροντα heic esse instrumentum, cui stuppas lanificæ circumvolvebant. Pollux: τὸ δὲ ἐργαλεῖον καθ' οὗ ἔκλωθον ἐξαρτῶντες τὰ στυππεῖα, γέρων ἐκαλεῖτο· ἦν δὲ ἐκ ξύλου πεποιημένον, χεῖρας Ἑρμοῦ τετραγώνου ἔχον, ᾧ γέροντος ἐπῆν πρόσωπον ἀφ' οὗ τὸ ὄνομα. Φερεκράτης δέ φησιν ἐν Μυρμηκανθρώποις· Ἀλλ' ὡς τάχιστα τὸν γέρονθ' ἱστὸν ποιεῖ Ἀφ' οὗ τὸ λῖνον ἦν. Idem Salmasius docuit κεσκίου heic legendum. Hesychius, κεσκίον, στυππεῖον. Auctor vero et

7 [a] Πομπηΐου Μακροῦ.

Δεῦτ', ὦ τέκν', ὦ στερχθένθ' ὅσον πλεῖστον θέμις,
ὦ πολλὰ τέρψαντ', οὐδὲ λυπήσαντά τι,
μητέρα [b] τε [c] προσλάζυσθε, [d] κἀξαρτᾶσθέ μου·
βούλεσθ' ἀθύρειν; παίζετ', ὦ νέαι φρένες·
ὡς ἔστιν [e] ἡμῖν τοῦτ' ἔαρ παντὸς βίου.
ἥβη δὲ λῦπαι φροντίδες θ' ἡβῶσ' ὁμοῦ.

8 [a] Εὐριπίδου Δανάης.

Τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς
πηδῶν [b] ἀθύροι, καὶ φιλημάτων [c] ὄχλῳ
ψυχὴν ἐμὴν κτήσαιτο· ταῦτα γὰρ [d] βροτοῖς
φίλτρον μέγιστον αἱ ξυνουσίαι, πάτερ.

9 [a] Σοφοκλέους Αἴαντος.

Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος, καὶ γένοι' ἂν οὐ κακός.
καίτοι σε καὶ νῦν τοῦτό [b] γε ζηλοῦν ἔχω,
ὅθ' οὕνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν.
ἐν τῷ φρονεῖν γὰρ μηδὲν [c] ἥδιστος βίος,
ἕως [d] τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.

10 [a] Εὐριπίδου Μηδείας.

Ἀλλ' [b] οἵγε παῖδες ἐκ τρόχων πεπαυμένοι

hujus et aliorum qui a Stobæo citantur claudicantium Iamborum in manuscriptis editisque ejus codicibus Herodes dicitur, Athenæo vero Herondas. Nam et is scazontem citat sub eo nomine. Grotius.

7.

[a] Sic A. Trinc. Voss.

[b] τε] τι A. Voss. Trinc.

[c] προσλάζεσθε] προσλάζυσθε Voss.

[d] κἀξάρτεσθε] κἀξαρτᾶσθε vel κἀξάπτεσθε Valckenærius.

[e] ἡμῖν] ὑμῖν Voss.

8.

[a] Sic A. Scil. fr. 11. Simpl. Εὐριπίδου Trinc.

[b] ἀθύροι] ἀθύρῃ A. B.

[c] ὄχλῳ] ἔχλω A.

[d] βροτοῖς om. A. B. Mox μέγιστον φίλτρον μέγιστον Trinc.

9.

[a] Sic A. Scil. v. 550. Simpl. Σοφοκλέ. Trinc.

[b] γε om. A.

[c] ἥδιστος] ἥδιστον Trinc.

[d] τὸ] τε A.

10.

[a] Sic A. Scil. v. 46. Deest lemma Trinc.

[b] οἶδε] οἵγε A. Trinc. Proximus vs. om. Trinc.

στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

## ΟΤΙ ΧΡΗ ΤΟΥΣ ΓΟΝΕΙΣ ΤΗΣ ΚΑΘΗΚΟΥΣΗΣ ΤΙΜΗΣ ΚΑΤΑΞΙΟΥΣΘΑΙ ΠΑΡΑ ΤΩΝ ΤΕΚΝΩΝ, ΚΑΙ ΕΙ ΕΝ ΑΠΑΣΙΝ ΑΥΤΟΙΣ ΠΕΙΣΤΕΟΝ. ΟΘ. 454

1 [a] Θεόγνιδος.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
[b] ἔπλεθ', ὅσοις [c] ὁσίης, Κύρνε, μέμηλε δίκης.

2 [a] Εὐριπίδου Ἡρακλειδῶν.

[b] Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
ὁ δ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος.

3 [a] Ἐν ταυτῷ.

Οὐκ ἔστι παισὶ [b] τοῦδε κάλλιον γέρας
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι.

[c] καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.

4 [a] Εὐριπίδου Ἐρεχθεῖ.

Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις.

1.

[a] Sic A. Trinc. Scil. v. 131.

[b] ἔπλετ'] ἔπλεθ' A.

[c] ὁσίης] ὁσίοις A.

2.

[a] Sic A. Simpl. Εὐριπίδου Trinc. v. Fragm. falso citata n. 4. ed. Beck. T. II. p. 479.

[b] Non ex Heraclidis, sed incerto dramate. Valcken. Diatr. p. 228.

3.

[a] Sic A. Scil. Heraclid. 298. Deest lemma Trinc.

[b] τούτου] τοῦδε A.

[c] καὶ τοῖς τεκοῦσιν] Hic versus non extat in codicibus impressis. Gesner. Non de libris Stobæi, sed Euripidis loquitur Gesnerus. Vide ed. Beck. T. II. p. 498. n. 51. A præcedentibus separavi.

Ib. χρὴ τοῖς] Vulgo legebatur heic καὶ τοῖς τεκοῦσιν, et annectebatur præcedentibus versibus. Atqui ex loco qui est in Heraclidis, et infra quoque titulo LXXXVIII. citatur, apparet hunc versum ibi positum a poeta non fuisse. Itaque mutata voce prima novam sententiam fecimus. Grotius.

4.

[a] Sic A. Scil. fr. 8. Deest lemma Trinc.

[b] ἐρᾶτε μητρὸς, παῖδες, [c] ὡς οὐκ ἔστ' ἔρως
τοιοῦτος ἄλλος, οἷος [d] ἡδίων ἐρᾶν.

5 [a] Κλεαινέτου.

Γεννητόρων ἕκατι κατθανεῖν καλόν.

6 [a] Δικαιογένους.

Αὐτὸς [b] τραφεὶς δὲ τῶν φυτευσάντων ὕπο,
καλῶς τὸν αὐτὸν ἔρανον αὐτοῖσιν νέμεις.

7 [a] Ἀντιφάνους.

Ὅστις δ' ἐρυθριᾷ τηλικοῦτος ὢν ἔτι
πρὸς τοὺς ἑαυτοῦ γονέας, οὐκ ἔστιν κακός.
ὅστις γὰρ [b] ὁμόλογόν τι μὴ [c] ποιεῖ πατρὶ,
πάντων ἂν οὗτος κατεφρόνησε τῶν θεῶν.
[d] τοῦ γὰρ πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει,
ἡσσημένῳ δὲ δόξα νικητήριος.

8 [a] Φιλήμονος.

Ἔτεκές με, [b] μῆτερ, καὶ γένοιτό σοι τέκνων
ὄνησις, ὥσπερ καὶ δίκαιον ἔστι σοι.

9 [a] Ἰουλίου ἐκ τῶν εἰς τὸν Διόνυσον καὶ τὴν πατρίδα γραφέντων.

[b] Κάδμον δ' ἀραμένη τλήμων ἐξῆλθεν Ἀγαυὴ

[b] ἐρᾶτε] ὁρᾶτε N.
[c] ὡς] καὶ A.
[d] ἡδίων] οἰκείων Grotius.

5.

[a] Hoc lemma in suo codice reperisse videtur Gesner. MS. A compendium habet κλ̃ενέ^τ. Dicæogeni tribuit Trinc.

6.

[a] Sic A. Deest lemma Trinc.
[b] δὲ τραφεὶς] τραφεὶς δὲ A. ut edidit Grotius. δὲ θρεφθεὶς Porsonus Advers. pag. 304. et Wakefield.

7.

[a] Sic A. Trinc.
[b] ὁμόλογον] ὁμολογῶν A. Gesn. marg.
[c] ποιεῖ] ποιῇ A.
[d] τοῦ] Alterius fragmenti initium fecit Grotius. In A. Philemonis nomen v. seq. Ἡσσημένῳ præfigitur.

8.

[a] Sic Trinc. Cleric. p. 350.
[b] μήτηρ] μῆτερ B.

9.

[a] Sic A. Trinc. In A. tamen scriptum Ἰλίου.
[b] Κάδμον δ'] δ' om. Trinc.

ὃν πατέρα τρομέοντα· φέρεν δέ μιν [c] ὧν ὑπὲρ ὤμων
γήραϊ κεκμηῶτα, καλῷ δ' ἐβαρύνετο φόρτῳ.

10 [a] Σοφοκλῆς Ἀντιγόνη.

Εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.

11 [a] Πυθαγόρου ἐκ τῶν Χρυσῶν ἐπῶν.

[b] Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.

12 [a] Ἀγάθωνος.

Ὡς ἡδὺ τῷ φύσαντι πείθεσθαι τέκνα.

13 [a] Ἀλέξιδος.

Οὐκ [b] ἠξίωσα καταλιπεῖν τὴν μητέρα,
πρώτην δὲ σώζειν· τοῖς γὰρ ὀρθῶς εἰδόσι
τὰ θεῖα [c] μείζω μητρὸς οὐκ ἔστιν ποτέ.
[d] ὅθεν ὁ πρῶτος οὐκ ἀπαιδεύτως ἔχων,
ἱδρύσαθ' ἱερὸν μητρὸς, οὐ δείξας σαφῶς
ποίας· [e] ἐάσας δ' ὑπονοεῖν εἰς τοὔνομα.

14 [a] Μενάνδρου.

Αἰσχύνομαι τὸν πατέρα, Κλειτοφῶν· μόνον
ἀντιβλέπειν ἐκεῖνον οὐ δυνήσομαι
[b] ἀδίκως· τὰ δ' ἄλλα ῥᾳδίως χειρώσομαι.

15 [a] Εὐριπίδου Ἀλκμαίωνος.

Τὰ τῶν τεκόντων ὡς μετέρχεται θεὸς
μιάσματα.

[c] ὑπὲρ ὤμων] ὂν ὕπερ ὤμον A. ὂν B. ὧν N.

10.

[a] Sic A. Scil. v. 755. Simpl. Σοφοκλέ. Trinc.

[b] ἦς] ἦσθα A. Trinc.

11.

[a] Sic A. Simpl. Πυθαγόρου Tr.

[b] τοὺς] σούς A.

12.

[a] Sic A. Trinc.

13.

[a] Sic A. Trinc.

[b] ἠξίωσα] ἠξίωσ̃ A.

[c] μείζη] μεῖζον B.

[d] ὅθεν ὁ] ὅθεν χ' ὁ Grotius. Male. Latere Wakefieldio videtur proprium nomen in πρῶτος.

[e] ἐάσας δ'] δ' deest A. B.

14.

[a] Sic A. Cleric. p. 236. Deest locus Trinc.

[b] ἀδίκως] ἀδεῶς Grotius in mss. ἀδικῶν Bentleius.

15.

[a] Sic A. Scil. fr. 7. Deest locus Trinc.

16 [a] Διφίλου.

Εἰ τοῦ πατρὸς δόξαιμι κρεῖττόν σοι λέγειν,
ἐμαυτὸν ἀδικῶ, κοὐκέτ' [b] εἰμὶ εὐσεβὴς,
ὅτι τὸν κατασπείραντα λυπῶ, κοὐ φιλῶ.

17 [a] Τιμοκλέους.

Ὅστις φοβεῖται τὸν πατέρα, καἰσχύνεται, 455
[b] οὗτος πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον,
καὶ τοὺς πολεμίους δυνάμενος κακῶς ποιεῖν.

18 [a] Μενάνδρου.

Μηδὲν [b] ὀδύνα τὸν πατέρα [c] γιγνώσκων, ὅτι
[d] ὁ μέγιστον ἀγαπῶν δἰ ἐλάχιστ' ὀργίζεται.

19 [a] Εὐριπίδου Ἀρχελάῳ.

Πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.

20 [a] Σοφοκλῆς Οἰδίποδι.

Τὰ τῶν [b] τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν.

21 [a] Ὁμήρου.

[b] Ἦ οὐκ ἀΐεις ὅσσον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα;

22 [a] Εὐριπίδου.

Δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα.

16.

[a] Sic A. Trinc.

[b] εἰμὶ εὐσεβὴς] Hiatus minime tolerandus, nec in libris quidquam subsidii. εἶμ' εὐσεβὴς Trinc.

17.

[a] Sic A. Trinc.

[b] οὗτος] οὕτως A.

18.

[a] Sic A. Cleric. p. 238. Deest locus Trinc.

[b] μηδὲν ἀδύνατον] Μηδένα δυνατὸν A. μήθ' ἕνα δυνατὸν B. μηδὲν δ' ἀ. Grotius. μηδὲν ὀδύνα τὸν Bentleius.

[c] γιγνώσκων] γιγνώσκειν edidit Grotius e Gesneri conjectura.

[d] ὁ deest A. καὶ post ἀγαπῶν inseruit Grotius. ὁ μέγιστον ἀγαπῶν Bentleius. Vulgo ὁ μέγιστ'.

19.

[a] Sic A. Scil. fr. 17. Deest locus Trinc.

20.

[a] Sic A. Scil. Tyr. 999.

[b] τεκόντων] Sic Grotius pro τέκνων.

21.

[a] Sic A. Tr. Scil. Od. A. 298.

[b] ἢ οὐκ] ἢ om. A.

22.

[a] Sic A. Scil. Herc. Fur. 583. Deest locus Trinc.

23 [a] Εὐριπίδου Ἀλκμαίωνι.

[b] Ἢ τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ,
εἰ μὴ 'πὶ τοῖς δεινοῖσιν ὠφελήσομεν;

24 [a] Σοφοκλέους Ἀκρισίῳ.

Ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα
πρὸς τοὺς τέκοντας καὶ φυτεύσαντας πρέπει.

25 [a] Χαιρήμονος.

Γένοιτό μοι τὰς χάριτας ἀποδοῦναι πατρί.

26 [a] Μενάνδρου.

Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.

27 [a] Εὐριπίδου.

Ἀλλ' ἴστ', ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος
τὸ μὴ [b] οὔ σε, μᾶτερ, προσφιλῆ νέμειν [c] ἀεὶ,
καὶ τοῦ δικαίου καὶ τόκων [d] τῶν σῶν χάριν.
στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν
μάλισθ'· [e] ὁρίζω τοῦτο, καὶ σὺ μὴ φθόνει,
κείνου γὰρ ἐξέβλαστον· οὐδ' ἂν εἷς ἀνὴρ
γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός.

28 [a] Ὀρφέως.

Ζεὺς δ' ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,
ἠδ' ὅσοι οὐκ ἀλέγουσιν ἀναιδέα θυμὸν ἔχοντες.
καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι,
τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται [b] ἐμμενὲς ἀεί·

23.

[a] Sic A. Scil. fr. 10. Σοφοκλέ. Trinc.

[b] ἢ τὶ πλέον] τὶ πλεῖον Valcken. Diatr. p. 150.

24.

[a] Sic A. Scil. fr. 5. Deest lemma Trinc.

25.

[a] Sic A. Deest locus Trinc.

26.

[a] Sic A. Cleric. p. 238. Deest locus Trinc.

27.

[a] Sic A. Trinc. Scil. Inc. 58.

[b] οὔ σε μᾶτερ] οὐδὲ μῆτερ B.

[c] δεῖ] ἀεὶ Grotius e Scaligeri emendatione. Mox καὶ om. Tr.

[d] τῶν σῶν] Deest τῶν A.

[e] ὁρίζω] ὁβρίζω Trinc. Mox ἐξέβλαστεν Trinc.

28.

[a] Sic A. Trinc.

[b] εὐμενίδεσσι] ἐν μὲν ἐς δεῖ A. Ve-

δειναὶ γὰρ κατὰ γαῖαν ἐριννύες εἰσὶ τοκήων.

29 [a] Εὐριπίδου Ἀλόπης.

Ἐγὼ δ᾽, ὃ μὲν μέγιστον, ἄρξομαι λέγειν
ἐκ τοῦδε πρῶτον, πατρὶ πείθεσθαι χρεὼν
παῖδας, νομίζειν τ᾽ αὐτὸ τοῦτ᾽ εἶναι δίκην.

30 [a] Φιλήμονος.

Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν.

31 [a] Χαιρήμονος.

Βεβαιοτέραν ἔχε τὴν φιλίαν πρὸς τοὺς γονεῖς.

32 [a] Μενάνδρου.

Δίκας γραφόμενος πρὸς γονεῖς μαίνῃ, τάλαν.

33 [a] Δικαιογένους.

Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς.

34 [a] Πλάτωνος Νόμων ια.

Γονέων δὲ ἀμελεῖν [[b] οὔτε θεὸς] οὔτ᾽ ἄνθρωπος ξύμβουλος νοῦν ἔχων ποτὲ γένοιτ᾽ ἂν οὐδεὶς οὐδενί. Φρονῆσαι δὲ χρὴ περὶ θεῶν θεραπείας τοιόνδε προοίμιον ἂν γενόμενον, εἰς τὰς τῶν γεννησάντων τιμάς τε καὶ ἀτιμίας ὀρθῶς ξυντεταγμένον. Νόμοι περὶ θεοὺς ἀρχαῖοι κεῖνται [c] πᾶσι διχῇ· τοὺς μὲν γὰρ [d] τῶν θεῶν ὁρῶντες σαφῶς τιμῶμεν, τῶν δ᾽ εἰκόνας, ἀγάλματα ἱδρυσάμενοι, οὓς ἡμῖν ἀγάλλουσι καίπερ ἀψύχους ὄντας, ἐκείνους [e] ἡγούμεθα τοὺς ἐμψύχους θεοὺς πολλὴν διὰ ταῦτ᾽ εὔνοιαν καὶ χάριν ἔχειν. Πατὴρ οὖν ὅτῳ καὶ 456
μήτηρ, ἢ τούτων πατέρες ἢ μητέρες ἐν οἰκίᾳ κεῖνται κειμή-

rum vidit Elmsleius in Tyrwhittianis p. 110.

29.

[a] Sic A. Scil. fr. 3. Deest locus Trinc.

30.

[a] Sic A. Trinc. Cleric. p. 350.

31.

[a] Sic A. Trinc. τὴν φιλίαν ἔχε Trinc.

32.

[a] Sic A. Trinc. Cleric. p. 238.

33.

[a] Sic A. Deest lemma Trinc.

34.

[a] Sic A. Scil. p. 930. Simpl. Πλάτωνος Trinc.

[b] οὔτε] οὔτε θεὸς om. A. Trinc.

[c] πᾶσι] παρὰ πᾶσι Gesn. marg.

[d] τῶν θεῶν] Deest articulus A.

[e] ἡγούμεθα] ἡγήμεθα A.

λιοι ἀπειρηκότες γήρᾳ, μηδεὶς [f] διανοηθήτω ἄγαλμα αὐτῷ ποτε, τοιοῦτον ἐφέστιον ἵδρυμα ἐν οἰκίᾳ ἔχων, μᾶλλον κύριον ἔσεσθαι· ἐὰν δὴ κατὰ τρόπον [g] γε ὀρθῶς αὐτὸ θεραπεύῃ [h] ὁ κεκτημένος.

35 [a] Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος.

Σὺ δὲ δὴ πρὸς Διὸς, ὦ [b] Εὐθύφρων, οὑτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν θεῶν ὅπῃ ἔχει, καὶ τῶν ὁσίων [c] τε καὶ ἀνοσίων, ὥστε τούτων οὕτω πραχθέντων, ὡς σὺ λέγεις, οὐ φοβῇ δικαζόμενος τῷ πατρὶ, ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων;

36 [a] Ἰσοκράτους πρὸς Δημόνικον.

Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς ἑαυτοῦ παῖδας.

37 [a] Ἀναξιμένους.

Οὗτος γὰρ μάλιστα πάντων φιλοπάτωρ ἐστὶν, ὅστις ζητεῖ δι᾽ οὗ μηδὲν λυπήσας τὸν πατέρα πλεῖστ᾽ αὐτὸν εὐφράναιτ᾽ ἄν. Τί γάρ ἐστι δικαιότερον ἢ τοὺς γενέσεως καὶ παιδείας αἰτίους ὄντας ἀντευεργετεῖν;

38 [a] Αἰλιανοῦ ἐκ τῆς Συμμίκτου ἱστορίας.

Πρώτῃ καὶ [b] ὀγδοηκοστῇ Ὀλυμπιάδι φασὶ τὴν Αἴτνην ῥυῆναι· ὅτε καὶ Φιλόνομος καὶ Καλλίας οἱ Καταναῖοι τοὺς ἑαυτῶν πατέρας ἀράμενοι διὰ μέσης τῆς φλογὸς ἐκόμισαν,

[f] διανοηθήτω] διανοηθήτω ποτε A. διανοηθήτω ποτὲ ἄγαλμα αὐτῷ τοιοῦτον ἐφέστιον οἴκημα ἐν οἰκίᾳ Gesn. marg.
[g] γε om. A.
[h] ὁ] αὐτὸ A.

35.
[a] Sic A. Scil. p. 4. E. Deest locus Trinc.
[b] εὐθύφρων] εὐθύφρον B.
[c] τε] τί A. B.

36.
[a] Sic A. Simpl. Ἰσοκράτους Tr.

37.
[a] Sic A. Trinc.

38.
[a] Sic A. Trinc. Locus non exstat in nostris Æliani exemplaribus. Inter fragmenta exhibet Kuhnius. Dubitat tamen Perizonius, utrum sit Æliani.
[b] ὀγδοηκοστῇ] π̄ A. εἰκοστῇ B. et sic codex MS. Bodleianus Clark. 11. Catal. p. 20. Videatur Taylorus in Lycurgi Or. c. Leocrat. p. 200. Reisk.

τῶν ἄλλων κτημάτων καταφρονήσαντες, ἀνθ᾽ ὧν καὶ ἀμοιβῆς ἔτυχον τῆς [c] ἐκ τοῦ θείου· τὸ γάρ τοι πῦρ θεόντων αὐτῶν διέστη καθ᾽ ὃ μέρος ἐκεῖνοι παρεγίνοντο.

39 [a] Τοῦ αὐτοῦ.

Μειράκιον Ἐρετρικὸν προσεφοίτησε Ζήνωνι πλείονος χρόνου, ἔστ᾽ ἂν καὶ ἐς ἄνδρας ἀφίκετο. [b] Ὕστερον οὖν εἰς τὴν Ἐρετρίαν ἐπανῆλθε, καὶ αὐτὸν ὁ πατὴρ ἤρετο, ὅ τι ἄρα μάθοι σοφὸν ἐν τῇ τοσαύτῃ διατριβῇ τοῦ χρόνου· [c] ὁ δὲ δείξειν ἔφη· καὶ οὐκ εἰς μακρὰν ἔδρασε τοῦτο. Χαλεπήναντος γὰρ αὐτῷ τοῦ πατρὸς, καὶ τέλος πληγὰς ἐντείναντος, ὁ δὲ τὴν ἡσυχίαν ἀγαγὼν καὶ ἐγκαρτερήσας, Τοῦτο, ἔφη, μεμαθηκέναι, φέρειν ὀργὴν πατέρων καὶ μὴ ἀγανακτεῖν.

40 [a] Πλάτωνος.

Πατέρα δὲ ἢ μητέρα οὐχ ὅσιον ἡγοῦμαι προσβιάζεσθαι, μὴ νόσῳ παραφροσύνης ἐχομένους. Ἐὰν δέ τινα καθεστῶτα ζῶσι βίον, αὐτοῖς μὲν ἀρέσκοντα, ἐμοὶ δὲ μὴ, μήτε ἀπεχθάνεσθαι νουθετοῦντα, [[b] μήτε δὴ κολακεύοντά γε ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν] ἐκπορίζοντα, [c] ἃς αὐτὸς ἀσπαζόμενος οὐκ ἂν ἐθέλοιμι ζῆν.

41 [a] Πιττακοῦ.

Πιττακὸς παρακαλούμενος υἱῷ καὶ πατρὶ διαιτῆσαι εἶπε πρὸς τὸν υἱὸν, Εἰ μὲν ἀδικώτερα μέλλεις λέγειν τοῦ πατρὸς, [b] κατακριθήσῃ· εἰ δὲ δικαιότερα, διὰ τοῦτο [c] αὐτὸ ἄξιος [d] εἶ κατακριθῆναι.

[c] ἐκ τοῦ θείου] εἰς τὸ θεῖον Trinc.

39.

[a] Sic A. Scil. IX. 33. Deest lemma Trinc.

[b] ὕστερον οὖν] οὖν om. Trinc.

[c] ὁ δὲ A.

40.

[a] Sic A. Gesner: *Platonis in Epist. ad Dionis familiares.* Scil. p. 331. B. Deest locus Trinc.

[b] μήτε—ἐπιθυμιῶν om. A. B.

[c] ἃς] οὓς A. B.

41.

[a] Sic A. Deest lemma Trinc.

[b] κατακριθήσῃ] καταφιληθήσῃ A. (κρ superscr.)

[c] αὐτὸ] αὐτὸς B. Deest v. Trinc.

[d] εἶ om. A. B.

42 [a] Σωκράτους.

Ἀγνώμονι πατρὶ καθάπερ αὐστηρῷ [b] νόμῳ συμπεριενεκτέον.

43 [a] Πλάτωνος.

Πλάτων θρασυνόμενον ἰδών τινα πρὸς τὸν ἑαυτοῦ πατέρα, Οὐ παύσῃ μειράκιον, εἶπε, τούτου καταφρονῶν, δι' ὃν μέγα φρονεῖν ἀξιοῖς;

44 [a] Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.

Οἱ ἄρτι ἐκ φιλοσοφίας πάντας ἐλέγχοντες, καὶ ἀπὸ τῶν γονέων ἀρχόμενοι, πάσχουσιν [b] ὅπερ καὶ οἱ νεώνητοι κύνες, οἳ οὐ μόνον τοὺς ἄλλους ὑλακτοῦσιν, ἀλλὰ καὶ τοὺς ἔνδον.

45 [a] Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων.

[b] Μετὰ τὸ θεῖον καὶ δαιμόνιον πλεῖστον ποιεῖσθαι λόγον 457 γονέων τε καὶ νόμων, μὴ πλαστῶς, ἀλλὰ πεπιστευμένως ἑαυτὸν πρὸς ταῦτα παρασκευάζοντα. [c] Τὸ μένειν τοῖς [d] πατρίοις ἔθεσί τε καὶ νόμοις ἐδοκίμαζον, εἰ καὶ μικρῷ [e] χείρῳ τῶν ἑτέρων εἴη.

46 Τοῦ αὐτοῦ.

[b] Γονέων δὲ ἀμελοῦντι οὔτε θεὸς οὔτε ἄνθρωπος νοῦν ἔχων ξύμβουλος γένοιτ' ἄν ποτε οὐδεὶς οὐδενί.

47 Τοῦ αὐτοῦ.

[a] Πᾶς δὴ νοῦν ἔχων φοβεῖται καὶ τιμᾷ γονέων εὐχὰς, εἰδὼς πολλοῖς πολλάκις ἐπιτελεῖς γινομένας.

42.

[a] Sic A. Deest locus Trinc.

[b] νόμῳ] οἴνῳ reponit Wyttenbachius in Plutarch. II. p. 124. B.

43.

[a] Sic A. Deest lemma Trinc. Diogeni tribuit Diogenes Laertius VI. 65.

44.

[a] Sic A. Ἐκ τοῦ Ἀρίστονος Tr.

[b] ὅπερ] ὅπερ καὶ A. καὶ οἱ B. Mox οἳ om. Trinc.

45.

[a] Sic A. Ἐκ τοῦ Ἀριστοξένους πυθαγορίου ἀποφάσεων Trinc. Vide Mahnium de Aristoxeno p. 104.

[b] μετὰ] καὶ μετὰ A.

[c] τῷ ἐμμένειν] τὸ μένειν A. Trinc. cum Jamblich. V. P. 176.

[d] πατρίοις] πατρῴοις A. B.

[e] χείρῳ] χείρων A. B. ἐδοκίμαζον—εἴη om. Trinc.

46.

[b] Γονέων. Hinc usque ad μάλα φοβεροὶ dedi ex A. τοῖς μὲν ἀγαθοῖς—φοβεροὶ habet Trinc. Vide supra n. 34. init.

47.

[a] Plato Legg. XI. p. 931. E.

48 [a] Τοῦ αὐτοῦ.

Τοῖς μὲν ἀγαθοῖς ἕρμαιον πρόγονοι γήραϊ ζῶντες μέχρι τῶν ἐσχάτων τοῦ βίου, καὶ ἀπιόντες νέοις σφόδρα ποθεινοὶ, τοῖς δὲ κακοῖς εὖ μάλα φοβεροί.

49 [a] Πλάτωνος Νομῶν δ.

Γονέων δὲ μετὰ ταῦτα τιμαὶ ζώντων, ὡς θέμις, ὀφείλοντα [b] ἀποτίνειν τὰ πρῶτά τε καὶ μέγιστα [c] ὀφειλήματα, χρεῶν πάντων [d] πρεσβύτατα· νομίζειν δὲ ἃ κέκτηται καὶ ἔχει, πάντα εἶναι τῶν γεννησάντων καὶ θρεψαμένων, πρὸς τὸ παρέχειν [e] αὐτὸν εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ δύναμιν πᾶσαν, ἀρχόμενον ἀπὸ τῆς οὐσίας, [f] δεύτερα τὰ τοῦ σώματος, τρίτα τὰ τῆς ψυχῆς, [g] ἀποτίνοντα δανείσματα ἐπιμελείας τε καὶ ὑπερπονούντων ὠδῖνας παλαιὰς ἐπὶ νέοις δανεισθείσας, ἀποδιδόντα [h] δὲ παλαιοῖς ἐν τῷ γήρᾳ σφόδρα κεχρημένοις. Παρὰ δὲ πάντα [i] τὸν βίον ἔχειν τε καὶ ἐσχηκέναι [k] χρὴ πρὸς [l] αὐτοῦ γονέας εὐφημίαν διαφερόντως· διότι κούφων καὶ πτηνῶν λόγων βαρυτάτη ζημία. Πᾶσι γὰρ ἐπίσκοπος [m] τοῖς περὶ τὰ τοιαῦτα ἐτάχθη δίκης Νέμεσις ἄγγελος. Θυμουμένοις γε οὖν ὑπείκειν δεῖ καὶ [n] ἀποπιμπλᾶσι τὸν θυμὸν, ἐάν τε ἐν λόγοις ἐάν τε ἐν ἔργοις δρῶσι τὸ τοιοῦτον συγγιγνώσκοντα, ὡς εἰκότως μάλιστα πατὴρ υἱεῖ δοξάζων ἀδικεῖσθαι θυμοῖτ' ἂν διαφερόντως. Τελευτησάντων δὲ γονέων ταφὴ μὲν ἡ σωφρονεστάτη καλλίστη, μήτε ὑπεραίροντα τὸν εἰθισμένον ὄγκον, μήτε [o] ἐλλείποντα

48.

[a] Plato Legg. XI. p. 932. ubi rectius γηραιοί.

49.

[a] Sic A. Scil. p. 717. Simpl. Πλάτωνος Trinc.

[b] ἀποτίνειν] ἀποτείνειν A. Trinc.

[c] ὀφειλήματα] φιλήματα A. Tr.

[d] πρεσβύτατα] πρεσβύτατον A. B.

[e] αὐτὰ] αὐτὸν A. B. αὐτὸ Trinc.

[f] δεύτερα—τρίτα] δεύτερον—τρίτον A. B.

[g] ἀποτίνοντα] ἀποτείνοντα A. Tr.

[h] καὶ] δὲ A. Trinc. Paullo ante δανεισθεῖσα Trinc.

[i] βίον] τὸν βίον A.

[k] χρὴ om. A.

[l] αὐτοῦ] αὐτοὺς A. Trinc.

[m] τοῖς] τῆς A. B.

[n] ἀποπιμπλᾶσθαι] ἀποπιμπλᾶσι A.

[o] ἐλλείποντα] λείποντα A. Trinc.

ὧν οἱ προπάτορες τοὺς [p] αὐτῶν γεννήτας ἐτίθεσαν· τάς τε αὖ κατὰ ἐνιαυτὸν τῶν ἤδη τέλος ἐχόντων ὡσαύτως ἐπιμελείας τὰς κόσμον φερούσας ἀποδιδόναι, [q] τῷ δὲ μὴ παραλιπεῖν μνήμην ἐνδελεχῆ παρεχόμενον, [r] τούτῳ μάλιστα [s] ἀεὶ πρεσβεύειν, [t] δαπάνης τε τῆς διδομένης ὑπὸ τύχης τὸ μέτριον τοῖς κεκμηκόσι νέμοντα. Ταῦτα [v] δ' ἂν ποιοῦντες, καὶ κατὰ ταῦτα ζῶντες ἑκάστοτε ἕκαστοι, τὴν ἀξίαν παρὰ θεῶν καὶ ὅσοι κρείττονες ἡμῶν κομιζοίμεθα, ἐν ἐλπίσιν ἀγαθαῖς διάγοντες τὸ πλεῖστον τοῦ βίου.

50 [a] Περικτυόνης Πυθαγορίας ἐκ τοῦ Περὶ γυναικὸς ἁρμονίας.

Οὔτε λέξαι δεῖ κακὸν γονέας οὔτε ἔρξαι, πείθεσθαι δὲ [b] σμικροῖσί τε καὶ μεγάλοισι γονεῦσιν, ἐν πάσῃ δὲ ψυχῆς τε καὶ σώματος τύχῃ καὶ τῶν ἔξωθεν, καὶ ἔν τε εἰρήνῃ [c] καὶ πολέμῳ, καὶ ὑγιείῃ, καὶ πλούτῳ καὶ ἀπορίῃ, καὶ δόξῃ καὶ [d] ἀδοξίῃ, καὶ ἰδιώτῃσι καὶ ἄρχουσιν, ὁμουρέειν δεῖ καὶ φεύγειν [e] μηδέποτε, πείθεσθαι δὲ [f] μονονουχὶ καὶ μανίῃ· πεπνυμένα γὰρ ταῦτα καὶ κρήγυα τοῖσιν [g] εὐσεβέεσιν. [h] Εἰ δέ τις γονέας ὑπερφρονέοιεν, [i] ἰδέῃ κακῶν [k] ταύτῃ καὶ ζώσῃ καὶ θανούσῃ ἁμαρτία παρὰ θεοῖσι γράφεται, ὑπό τε ἀνθρώπων μισέεται, καὶ ὑπὸ γῆν μετὰ τῶν ἀσεβῶν ἐν τουτέῳ τῷ χώρῳ [l] δι' αἰῶνος κακοῖσιν [m] ἀπτομένη ὑπὸ δίκης καὶ τῶν ἔνερθεν θεῶν, οἳ τούτων ἐπίσκοποι ἐτάγησαν τῶν [n] πρηγμάτων. Θείη

[p] αὐτῶν γεννήτας] αὐτογεννήτας A. αὐτογεννήτους Trinc.
[q] τὸ δὲ μὴ] τῷ μὴ δὲ A. B.
[r] τοῦτο] τούτῳ A. B.
[s] ἀεὶ] οἱ A. Trinc.
[t] δαπάνης] δαπάνης τε A. Trinc.
[v] οὖν] δ' ἂν A. Trinc.

50.

[a] Sic A. Trinc. In Trinc. autem om. ἁρμονίας.
[b] μικροῖσι] σμικροῖσι A. B. ἐν præfigit Koenius de Dial. Ion. §. XXI. et sic Luzacius Exercit. Acad. p. 79. apud Schæfer. pr. Julian. p. 21.
[c] ἢ] καὶ A. B. Post ὑγιείῃ deesse videtur καὶ νόσοις vel simile quid.
[d] ἀδοξίῃ] ἀπορία A.
[e] μηδέποτε] οὐδέποτε A.
[f] μονονουχὶ] μονονουκὶ A.
[g] εὐσεβέεσιν] εὐσεβέσιν A.
[h] εἰ δέ τις] εἰδότες A.
[i] ἰδέῃ κακῶν] ἢ λέγῃ κακὸν Koenius ubi supra. λέγοι κακῶς Jacobsius. ὑπερφρονέοι Schæfer.
[k] ταύτῃ] ἤ τινι ὧν ταύτῃ A. B.
[l] δι' αἰῶνος] δίαινος A. B.
[m] ἀπτομένη] ἀπτομένα B.
[n] πρηγμάτων] πραγμάτων A.

γὰρ καὶ καλὴ ὄψις γονέων, [o] καὶ ἡ τουτέων [p] ἄψις καὶ θεραπείη, ὁκόση οὐδὲ ἡλίου, οὐδὲ πάντων ἄστρων, τὰ οὐρανὸς ἐναψάμενος ἀμφιχορεύει, καὶ εἴ τι ἄλλο δοκέει τὶς χρῆμα μεῖζον [q] εἶναι, καὶ θεωρίην ἐόντων. Δοκέω δὲ μὴ θεοὺς φρο- 458 νέειν, ὁκότε τοῦτο ὁρέωσι γιγνόμενον. Καὶ ζῶντας [r] ὦν καὶ ἀποιχομένους σέβειν χρὴ, καὶ μηδέποτε [s] ἀντιλεσχαίνειν. Ἀλλ' ἢν καὶ [t] ἀγνοῶσι νούσῳ, ἢ ἀπάτῃ, παρηγορεῖν καὶ διδάσκειν, [v] ἐχθρεύειν δὲ μηδαμῇ. [w] Μείζων γὰρ ἁμαρτίη καὶ ἀδικίη ἀνθρώπων οὐκ ἂν γένοιτο, [x] ἢ εἰς πατέρας ἀσεβεῖν.

51 [a] Μουσωνίου ἐκ τοῦ Εἰ πάντα πειστέον τοῖς γονεῦσι.

Νεανίας τὶς, ὃν ὁ πατὴρ φιλοσοφεῖν βουλόμενον ἐκώλυεν, ἤρετο αὐτὸν ὧδέ πως· Ἆρά γε, ὦ Μουσώνιε, χρὴ πάντα πείθεσθαι τοῖς γονεῦσιν, ἢ ἔστιν ἃ καὶ παρακουστέον αὐτῶν; Καὶ ὁ Μουσώνιος· Πείθεσθαι μὲν, ἔφη, μητρὶ ἢ πατρὶ τῷ ἑαυτοῦ ἕκαστον [b] φαίνεται καλὸν, καὶ ἐπαινῶ ἔγωγε. Τί μέντοι τὸ πείθεσθαί ἐστι, θεασώμεθα· μᾶλλον δὲ πρότερον τὸ ἀπειθεῖν ὁποῖόν τι, καὶ ὁ ἀπειθὴς ὅστις, καταμάθωμεν, εἶθ' οὕτως [c] κρεῖττον ὀψόμεθα τὸ πείθεσθαι ὁποῖόν τί ἐστι. Φέρε δὴ, εἰ τῷ νοσοῦντι ὁ πατὴρ οὐκ ὢν ἰατρὸς, οὐδὲ ἔμπειρος ὑγιεινῶν τε καὶ νοσερῶν, [d] προστάττοι τὶ ὡς ὠφέλιμον, τὸ δὲ εἴη βλαβερὸν καὶ ἀσύμφορον, καὶ μὴ [e] λανθάνοι τὸν νοσοῦντα τοιοῦτον ὂν, ἆρά γε μὴ πράττων ἐκεῖνος τὸ προστα-

[o] καὶ ἡ] καλὴ A. B.
[p] ἄψις] ὄψις A. B.
[q] εἶναι καὶ θεωρίην] ἐόντων καὶ θεωρίην A. καὶ θειότερον τῶν ἐόντων Jacobsius in Anthol. IX. p. 293. qui supra corrigit ἀμφιχορεύεται. ἀμφιλοχορεύει Trinc. Respicit Euripidis Pirith. fr. 2.
[r] οὖν] ὦν A.
[s] ἀντιλεσχαίνειν] ἀντιλεχαίνειν B.
[t] ἀγνοῶσι] ἀγνωμονέωσι Wyttenbach. Ind. Plutarch.
[v] ἐχθρεύειν] ἐχθεύειν B.
[w] μείζων] μέζων Trinc.
[x] ἢ εἰς] ἠὲ A. B.

51.

[a] Sic A. Simpl. Μουσωνίου Tr.
[b] φαίνεται] φαίνεται A. μοι in contextu B. (μοι)
[c] κρεῖττον om. Trinc.
[d] προστάττοι] προστάττει A.
[e] λανθάνοι] λανθάνει A.

χθὲν [f] ἀπειθεῖ τε καὶ ἀπειθής ἐστιν; ἀλλ' οὐκ ἔοικε. Τί δὲ, εἴ του ὁ πατὴρ νοσῶν αὐτὸς οἶνον ἢ τροφὴν [g] αἰτοίη παρὰ καιρὸν, μέλλων εἰ [h] λάβοι [i] τὴν νόσον μείζω ποιεῖν, ὁ δὲ παῖς τοῦτο εἰδὼς μὴ [k] διδοίη, ἆρά γε ἀπειθεῖ τῷ πατρί; οὐκ ἔστιν εἰπεῖν. Καὶ πολύ γε τούτου ἧττον ἐκεῖνον, οἶμαι, φαίη ἄν τις ἀπειθῆ εἶναι, ὅστις πατέρα φιλοκερδῆ ἔχων, κελευόμενος ὑπ' αὐτοῦ κλέπτειν, ἢ παρακαταθήκην ἀποστερεῖν, οὐχ ὑπουργεῖ τῷ προστάγματι. Ἦ οὐκ οἴει σὺ τινὰς εἶναι πατέρας, οἳ τοιαῦτα τοῖς ἑαυτῶν παισὶ προστάττουσιν; ἐγὼ [l] μὲν γὰρ οἶδά τινα οὕτω πονηρὸν, [m] ὅς γε υἱὸν ἔχων ὡραῖον, τὴν ὥραν ἀπέδοτο αὐτοῦ. Εἰ οὖν [n] ἐκεῖνο τὸ μειράκιον τὸ πεπραμένον, πεμπόμενον ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν αἰσχύνην, ἀντέλεγε, καὶ οὐκ ἀπῄει, πότερον ἀπειθὲς [o] ἂν τὸ μειράκιον [p] ἔφαμεν εἶναι, ἢ σωφρονεῖν; ἢ οὐδὲ ἐρωτᾶν τοῦτό γε ἄξιον; Καὶ γὰρ δὴ τὸ μὲν [q] ἀπειθεῖν καὶ ὁ ἀπειθὴς λοιδορία ἐστὶ καὶ ὄνειδος· τὸ δὲ μὴ πράττειν ἃ μὴ χρὴ, οὐκ ὄνειδος, ἀλλ' ἔπαινος. Ὥστε εἴτε πατρὸς, εἴτε ἄρχοντος, εἴτε καὶ νὴ Δία δεσπότου προστάγματι μὴ ὑπουργεῖ τις κακὰ προστάττοντος ἢ ἄδικα ἢ αἰσχρὰ, οὐκ [r] ἀπειθεῖ οὐδαμῶς, ὥσπερ οὐδ' ἀδικεῖ, οὐδ' ἁμαρτάνει· ἀλλ' ἐκεῖνος [s] ἀπειθεῖ μόνος ὁ τῶν εὖ καὶ καλῶς καὶ συμφερόντως προσταττομένων ἀφροντιστῶν καὶ παρακούων. Ὁ μὲν οὖν ἀπειθὴς τοιοῦτός [t] τίς ἐστιν· ὁ δ' [v] εὐπειθὴς ἔχει μὲν ἐναν-

[f] ἀπειθεῖ] ἀπειθεῖν Trinc.
[g] αἰτεῖ] αἰτοίη A. B.
[h] λάβοι] λάβῃ A. p. m.
[i] τὴν νόσον μείζω] μείζω τὴν νόσον A.
[k] διδοῖ] διδοίη A. B.
[l] μὲν] μὲν γὰρ A. B.
[m] ὅς] ὥς A.
[n] ἐκεῖνο — πεπραμένον] ἐκεῖνον — πεπραγμένον Trinc.
[o] αὐτῷ] αὐτὸ Trinc. τὸ A. B.
[p] ἔφαμεν] $\overset{\text{ἂν}}{\text{ἔφαμεν}}$ A. ἂν in contextu B.
[q] ἀπειθεῖν] ἀπιθεῖν ὅσα οὐκ ἀπιθεῖν δεῖ B. et A. m. sec. καὶ ὅσα ἀπειθὲς A. m. p.
[r] ἀπειθεῖ] ἀπιθεῖ A. p. m.
[s] ἀπειθῆ] ἀπειθεῖ A. Trinc.
[t] τις om. A.
[v] εὐπειθὴς] ἀπειθὴς Trinc.

τίως τούτῳ, καὶ ἔστιν ἐναντίος. Εἴη δ' ἂν ὁ τῷ τὰ προσήκοντα παραινοῦντι κατήκοος [w] ὢν, καὶ ἑπόμενος ἑκουσίως, οὗτος εὐπειθής. Ὅθεν καὶ γονεῦσι τοῖς ἑαυτοῦ τότε πείθεταί τις, ὅτ' ἂν χρηστὰ παραινούντων αὐτῶν ταῦτα πράττῃ ἑκών. Ἐγὼ μέντοι [x] κἂν μὴ παραινούντων τῶν γονέων [y] πράττῃ τὶς ἃ χρὴ καὶ συμφέρει ἑαυτῷ, φημὶ τοῦτον πείθεσθαι τοῖς γονεῦσι· καὶ ὅτι ὀρθῶς φημὶ, σκόπει οὕτως. Ὁ γὰρ δὴ 459
πράττων ἃ βούλεται ὁ πατὴρ καὶ [z] τῇ βουλήσει τοῦ πατρὸς ἑπόμενος πείθεται, οἶμαι, τῷ πατρί· ὁ δὲ πράττων ἃ δεῖ, καὶ ἃ κρεῖττόν ἐστι, τῇ βουλήσει ἕπεται τοῦ πατρός. Τίνα τρόπον; ὅτι πάντες οἱ γονεῖς εὐνοοῦσι δήπου τοῖς ἑαυτῶν παισὶν, [a] εὐνοοῦντες δὲ βούλονται ἃ χρὴ καὶ συμφέρει πράττεσθαι ὑπ' αὐτῶν. Ὅστις οὖν πράττει τὰ προσήκοντα καὶ τὰ συμφέροντα, πράττει οὗτος ἃ βούλονται οἱ γονεῖς. Ὥστε πείθεται τοῖς γονεῦσι ταῦτα πράττων, κἂν μὴ τῷ λόγῳ κελεύωσιν αὐτὰ πράττειν οἱ γονεῖς. Τοῦτο δὴ μόνον [b] προσήκει σκοπεῖν, [c] ὅστις βούλεται πείθεσθαι τοῖς γονεῦσιν ἐφ' ἑκάστῳ τῶν πραττομένων, εἰ καλὸν καὶ συμφέρον ὃ μέλλει πράξειν ἐστὶν ἕτερον δὲ οὐδὲν, ὡς ἂν ὑπάρχῃ τοιοῦτον εὐθὺς καὶ τοῦ πράττοντος αὐτὸ πειθομένου τοῖς γονεῦσι. Μὴ τοίνυν σύ γε δείσῃς, ὦ νεανίσκε, ὡς ἀπειθήσεις τῷ πατρὶ, ἂν [d] ἢ ἃ μὴ προσήκει δρᾶν κελεύοντος τοῦ πατρὸς [e] ἀπέχῃ τοῦ ταῦτα δρᾶν, [f] ἢ ἃ προσήκει ἀπαγορεύοντος, ταῦτα μὴ δρᾶν. Μηδέ σοι πρόφασις ἔστω τοῦ ἁμαρτάνειν ὁ πατὴρ, ἢ κελεύων τὶ τῶν πράττεσθαι μὴ καλῶν, ἢ ἀπαγορεύων τὶ τῶν καλῶν. Οὐδεμία γὰρ ἀνάγκη σοι τὰ μὴ εὖ [g] προσ-

[w] ὢν] ἐστι B.
[x] κἂν] καὶ A. B.
[y] πράττῃ] ἂν πράττῃ B. ἂν suprasc. A.
[z] τῇ] ἐν τῇ Trinc.
[a] εὐνοοῦντος Trinc.
[b] προσήκει] προσήκειν A.
[c] εἴ τις] ὅστις A.
[d] ἢ ἃ μὴ] μὴ ἃ A.
[e] ἀπέχεις] ἀπέχει Trinc. ἀπέχῃ A.
[f] ἢ om. A.
[g] προσταττόμενα] πραττόμενα A.

ταττόμενα ὑπουργεῖν· καὶ τοῦτό μοι δοκεῖς οὐδ᾽ αὐτὸς ἀγνοεῖν. Οὔκουν ἀνέξῃ τοῦ πατρὸς [h] ἐν μουσικοῖς, ἐὰν ἐκεῖνος οὐκ ἐπαΐων μουσικῆς [i] προστάττῃ κρούειν ἀμούσως τὴν λύραν, ἢ ἐπιστάμενον γράμματα οὐκ ἐπιστάμενος [k] κελεύῃ σε γράφειν καὶ ἀναγινώσκειν μὴ ὡς ἔμαθες, ἀλλ᾽ ἑτέρως· οὐδέ [l] γε ἂν ἐπιστάμενον κυβερνᾷν οὐκ ὢν κυβερνητικὸς κελεύῃ σε [m] κινεῖν τὸ πηδάλιον ὡς [n] οὐ προσήκει, οὐ προσέξεις αὐτῷ. Τί οὖν; ταῦτα μὲν ταύτῃ ἔχει· ἂν δέ σε κωλύῃ φιλοσοφεῖν ὁ πατὴρ εἰδότα καὶ ἀκηκοότα, ὁποῖόν τι φιλοσοφία ἐστὶν αὐτὸς ἀγνοῶν, ἆρά γε προσεκτέον αὐτῷ; ἢ μεταδιδακτέον μᾶλλον αὐτὸν, ὡς οὐκ εὖ σοι παραινεῖ; ἐμοὶ μὲν οὕτω δοκεῖ. Τάχα μὲν οὖν τις καὶ λόγῳ χρώμενος μόνῳ πείσειεν ἂν [o] τὸν αὐτὸς αὐτοῦ πατέρα διανοεῖσθαι [p] ᾗ προσήκει περὶ φιλοσοφίας, ἄν γε μὴ τέλεον ᾖ σκληρὸς τὴν φύσιν ὁ πατήρ. [q] Εἰ δ᾽ οὖν μὴ [r] πείθοιτο λόγῳ μηδὲ ἕποιτο, ἀλλὰ τά γε ἔργα πάντως τὰ τοῦ παιδὸς ὑπάξεται αὐτὸν, εἰ φιλοσοφεῖ τῇ ἀληθείᾳ ὁ παῖς. Ἔσται γὰρ [s] δὴ φιλοσοφῶν, προθυμότατος μὲν θεραπεύειν τὸν πατέρα θεραπείαν ἅπασαν, κοσμιώτατος δὲ καὶ πρᾳότατος, ἐν τῇ συνουσίᾳ ἥκιστα φίλερις ὢν ἢ φίλαυτος; καὶ οὔτε προπετὴς, οὔτε ταραχώδης, οὔτ᾽ ὀργίλος· ἔτι δὲ ἐγκρατὴς μὲν εἴη ἂν γλώσσης, γαστρὸς, ἀφροδισίων, καρτερικὸς δὲ πρὸς τὰ δεινὰ καὶ τοὺς πόνους· καὶ νοῆσαι μὲν ὅ τι καλὸν ἱκανώτατος, οὐχ ὑπερβαίνων δὲ τὸ φαινόμενον καλόν. Ὅθεν καὶ τῶν μὲν ἡδέων ὑφήσεται τῷ πατρὶ πάντων ἑκών· τὰ δὲ

[h] ἐν μουσικοῖς] ὢν μουσικὸς B. A. m. sec.

[i] προστάττει κρούειν] προστάττῃ A. ex em. κρούων A. p. m.

[k] κελεύῃ] κελεύει A.

[l] γε] γὰρ A. p. m.

[m] νικεῖν] κινεῖν A. Trinc.

[n] οὐ om. A. m. sec.

[o] τὸν αὐτὸς] αὐτὸς τὸν A. B.

[p] ᾗ προσήκει περὶ φιλοσοφίας] περὶ φιλοσοφίας ὅσα δὴ προσήκει ἂν μή γε A. B.

[q] εἰ δ᾽] ἦν Trinc.

[r] πείθοι τῷ] πείθοιτο A. B.

[s] δὴ] δεῖ Trinc.

ἐπίπονα πρὸ ἐκείνου [t] δέξεται αὐτός. Τοιοῦτον [v] οὖν υἱὸν τίς μὲν οὐκ ἂν [w] ἔχειν εὔξαιτο τοῖς θεοῖς; τίς δὲ ἔχων οὐκ ἀγαπήσει, εἰ δι' [x] αὐτὸν [y] ὑπάρξειεν αὐτῷ ζηλωτὸν εἶναι καὶ μακαριστὸν πατέρα παρὰ τοῖς εὖ φρονοῦσι πᾶσιν; [z] Εἰ δ' οὖν, ὦ νεανίσκε, καὶ τοιοῦτος ὤν, ὁποῖος ἔσῃ πάντως ἄν γε ἀληθῶς φιλοσοφῇς, οὐχ [a] ὑπάξῃ τὸν πατέρα τὸν σὸν οὐδὲ 460 πείσεις ἐπιτρέπειν σοι καὶ συγχωρεῖν ταῦτα πράττειν, ἐκεῖνο λόγισαι· ὁ πατὴρ ὁ σὸς [b] κωλύει σε φιλοσοφεῖν· ὁ δέ γε κοινὸς ἁπάντων πατὴρ ἀνθρώπων [c] τε καὶ θεῶν Ζεὺς κελεύει σε καὶ προτρέπει. Πρόσταγμά τε γὰρ ἐκείνου καὶ νόμος ἐστὶ, τὸν ἄνθρωπον εἶναι δίκαιον, χρηστὸν, εὐεργετικὸν, σώφρονα, μεγαλόφρονα, [d] κρείττω πόνων, κρείττω ἡδονῶν, φθόνου παντὸς καὶ ἐπιβουλῆς ἁπάσης καθαρόν· ἵνα δὲ συντεμὼν εἴπω, ἀγαθὸν εἶναι κελεύει τὸν ἄνθρωπον ὁ νόμος ὁ τοῦ [e] Διός. [f] Τὸ δέ [g] γε εἶναι ἀγαθὸν τῷ φιλόσοφον εἶναι ταυτόν ἐστιν. Εἰ δὴ τῷ πείθεσθαι [h] πατρὶ τῷ ἀνθρώπῳ ἕπεσθαι μέλλεις, εἰ δὲ [i] φιλοσοφοίης, τῷ Διΐ, δῆλον ὡς φιλοσοφητέον σοι μᾶλλον, ἢ οὔ. Ἀλλὰ νὴ Δία [k] εἴρξει σε ὁ πατὴρ, καὶ κατακλείσας [l] ἕξει, ἵνα δὴ μὴ φιλοσοφῇς. Ταῦτα μὲν ποιήσει ἴσως, τοῦ δέ γε φιλοσοφεῖν οὐκ ἀπείρξει σε μὴ βουλόμενον· [m] οὐδὲ γὰρ χειρὶ ἢ ποδὶ φιλοσοφοῦμεν, οὐδὲ τῷ ἄλλῳ σώματι· ψυχῇ δὲ, καὶ ταύτης ὀλίγῳ μέρει, ὃ [n] δὴ, οἶμαι, διάνοιαν καλοῦμεν. Ταύτην γε μὴν ἐν ὀχυρωτάτῳ

[t] δέξεται αὐτὸς] δέξαιτ' ἂν αὐτὸς A. ex em.
[v] οὖν] om. B. μὲν habet A. m. p. sed delet m. sec. et addit post τις. τοῦτον οὖν Trinc.
[w] ἔχειν εὔξαιτο τοῖς θεοῖς] τοῖς θεοῖς εὔξαιτο ἔχειν A.
[x] αὐτὸν] ὃν Trinc.
[y] ὑπάρξειεν] ὑπάρξει ἐν ἑ. A. p. m.
[z] εἰ δ' οὖν] ἐι δὴ οὖν A. ἤδη οὖν B.
[a] ὑπάξῃ] ὑπάρξῃ A. p. m.
[b] κωλύσει] κωλύει A. Trinc.
[c] τε om. A. B.
[d] κρείττω] κρείττονα A.
[e] θεοῦ] διὸς A. B. Gesn. marg.
[f] τὸ] τῷ B. A. ex em.
[g] γε om. A. B.
[h] πατρὶ] θεῷ A. B.
[i] φιλοσοφοίης] φιλοσοφητέον A. B.
[k] εἴρξει] ἔρξει A.
[l] ἕξει] εἴρξει B.
[m] οὐ] οὐδὲ A. B.
[n] δὴ οἶμαι om. A. B.

ἵδρυσεν ὁ θεὸς ὥστε ἀόρατον εἶναι καὶ ἄληπτον, καὶ ἀνάγκης πάσης ἐκτὸς ἐλευθέραν καὶ [o] αὐτεξούσιον. Ἄλλως τε ἐὰν τύχῃ οὖσα χρηστὴ, οὐ [p] δυνήσηταί σε κωλύειν ὁ πατὴρ, οὔτε χρῆσθαι τῇ διανοίᾳ, οὔτε ἃ χρὴ διανοεῖσθαι, οὔτε ἀρέσκεσθαι μὲν τοῖς καλοῖς, μὴ ἀρέσκεσθαι δὲ τοῖς αἰσχροῖς· οὐδ᾽ αὖ τὰ μὲν αἱρεῖσθαι, τὰ δὲ ἐκκλίνειν. Ταῦτα [q] μὲν ποιῶν εὐθὺς φιλοσοφοίης ἂν, καὶ οὔτε τρίβωνα πάντως ἀμπέχεσθαι δεήσει σε, οὔτε ἀχίτωνα διατελεῖν, οὐδὲ κομᾶν, οὐδ᾽ ἐκβαίνειν τὸ κοινὸν τῶν πολλῶν. Πρέπει μὲν γὰρ καὶ ταῦτα τοῖς φιλοσόφοις· ἀλλ᾽ οὐκ ἐν [r] τούτοις τὸ φιλοσοφεῖν ἐστιν, ἀλλ᾽ ἐν τῷ φρονεῖν ἃ χρὴ καὶ διανοεῖσθαι.

52 [a] Πεμπέλου Θουρίου Πυθαγορείου ἐκ τοῦ Περὶ Γονέων.

Γονέων [b] ἀμελὲν οὔτε [c] δαίμων οὔτε ἄνθρωπος [d] σύμβωλος ἄμποκα γένοιτό τινι σύμμετρον ψυχᾶς [e] κεκταμένος ἐπιστάμαν.

Διόπερ οὐθὲν ἂν [f] θεῷ ξόανον ἢ ἱερὸν [g] ἔχοιμεν ἐν χρημάτων κτήσει πατέρος ἢ καὶ προπάτορος γήρᾳ παρειμένων, ἢ καὶ ματέρων [h] τὰν [i] ἰδίαν δύναμιν [k] ἐχουσῶν. Ὁκότ᾽ ἂν γὰρ [l] ἀγάλλῃ τις γέρασι καὶ τιμαῖς τὼς γενέτορας, ἀγαθὰ τίθητι θεός· καὶ γὰρ οὐδ᾽ ἂν ἐπάκοος ἔπελεν αὐτῶν. Σεμνὸν γάρ [m] τι καὶ θείας φύσιος πεπαμένον ἀμῖν τὸ τῶν [n] φιτυσάντων ἵδρυμά ἐστι, καὶ ζωόντων πολὺ μαλλότερον, ἢ τῶν [o] ἀνεφίκτων ἱδρυμάτων. Τὰ μὲν γὰρ καλλυνό-

[o] αὐτεξουσίαν] αὐτεξούσιον A. B.
[p] δυνήσηται] δυνήσεται B.
[q] μὲν] δὲ B. A. ex em.
[r] τούτῳ] τούτοις A. B.

52.

[a] Sic A. Deest locus Trinc.
[b] ἀμελὲν] ἀμελῆεν A. Vide Platonis locum supra n. 34.
[c] δαίμων] ἠλῖ A.
[d] σύμβουλος ἀμπ.] σύμβωλος ἄνποκα A.
[e] κεκτημένος] κεκταμένος A.
[f] θεῷ] πρὸς θεῶν τιμιώτερος Gesn. marg. e Platone.
[g] ἔχοιμεν ἐν χρημάτων] ἔχέσσεῖν χρήματι A.
[h] τὴν] τὰν A.
[i] ἰδίαν] αὐτὴν Gesn. marg. e Platone.
[k] ἐχουσῶν] ἐχόισ A.
[l] ἀγάλλῃ] ἄλλη A.
[m] τι om. A.
[n] φιτυσάντων] φυσάντων A.
[o] ἀμεμφίκτων] ἀνεφίκτων A. ἀψύχων Gesn. marg. e Platone.

μενα καὶ [p] λαμπριζόμενα ὑφ' ἀμέων ἑκάστοτε συνεύχεται 50
[q] ἀμῖν δωτίνας ἀγαθάς· σκυβαλιζόμενα δὲ, τοὐναντίον· τὰ δὲ οὐδ' ὁκότερα τῶνδε ἔρδει· ὥστε αἴκα δεόντως τις χρῆται πατέρι καὶ ματέρι, καὶ προπάτορι, καὶ οὔλως τοῖς [r] ὁμοιορύσμοις, πάντων ποτὶ θεοφιλῆ μοῖραν πεπάσεται ἀγαλμάτων [s] κυριώτατα. Πᾶς δὴ νόον ἔχων τιμάτω καὶ σεβέτω καὶ δεδιέτω γονέων εὐχὰς ἢ κατάρας, εἰδὼς [t] πλεύνεσσι πολλάκις ἐπιτελέας [u] συμβεβακυίας. Τούτων οὖν 461
οὕτως φύσει διακεκοσμαμένων, τοῖς μὲν ἔμφροσι καὶ κοσμίοις τῶν βροτῶν [w] ἕρμαιον προγενέτορες γηραλέοι ζῶντες μέχρι τᾶς ἐσχάτας βιοτᾶς, καὶ [x] ἀφέρποντες αἰζηοῖς [[y] νέοις] ποθεινοὶ, [z] ῥωμαλέοι ψυχᾷ σφόδρα [[a] ποθεινῷ] ἐόντες διὰ τὸ πολλὰ εἰδέμεν· τοῖς δὲ φλαύροις καὶ ἀσυνέτοις εὖ μάλα [b] φοβοειδέες καὶ ζοφεροί. [c] Εἰ δέ τινα φάμα [d] ἀμύητος ὤτων ποτικώφωσιν κατίσχει τοιῶνδε λόγων, [e] εἰδύλλεται ὡς καὶ δαίμοσιν ἐχθρὸς πέλει καὶ ἀνδράσιν τοῖς ποτὶ συνέσιος ἑρπύζασιν [f] ἀτραπόν.

53 [a] Ἱεροκλέους ἐκ τοῦ Πῶς χρηστέον τοῖς γονεῦσιν.

Μετὰ τὸν περὶ θεῶν καὶ πατρίδος λόγον τίνος [b] μᾶλλον ἂν προσώπου μνησθείη τὶς πρῶτον ἢ γονέων; ὅθεν λεκτέον

[p] λαμπυριζόμενα] λαμπριζόμενα A.
[q] ἡμῖν] ἀμῖν A.
[r] ὁμοιορύσμοις] ὁμοιουρύσμοις A.
[s] κυριώτατα] κυριωτάταν A.
[t] πλεύνεσι πλεονάκις] πλεύνεσσι πολλάκις A.
[u] συμβεβηκυῖας] συμβεβακυίας A.
[w] ἑρμαὶ] ἕρμαιον A. Gesn. marg. e Platone.
[x] ἐφέρποντες] ἀφέρποντες A. ἀπιόντες Plato.
[y] νέοις] νέως A. h. v. expungit Koenius Dial. Dor. LVII.
[z] ῥωμαλέα. GESNER.
[a] ποθεινῷ] ποθεινῶ A. Et h. v. expungit Koenius.
[b] φοβοείδεες καὶ ζοφεροὶ] καὶ ζοφοείδεες, φοβεροί. *Etiam mortui, valde terribiles.* VALCKEN. Eurip. Phœn. 277.
[c] εἰ δὲ] εἰ δ' οὖν τινὰ κατέχοι φήμη κωφὴ τῶν τοιούτων προοιμίων Plato.
[d] ἀμύητος] ἀμύητον Toup. addend. Theocrit. Epigr. 22.
[e] εἰδύλλεται ὡς καὶ δαίμοσιν] εἰδύλλετο ὡς κακεδαίμοσιν A.
[f] ἀτραπὸν] ἀταρτ :- A.

53.

[a] Sic A. Trinc.
[b] μᾶλλον ἂν προσώπου] ἂν πρόσω A.

περὶ τούτων, [c] οὓς δευτέρους καὶ ἐπιγείους τινὰς θεοὺς εἰπὼν, οὐχ ἁμάρτοι τὶς ἕνεκά γε τῆς ἐγγύτητος, εἰ θέμις εἰπεῖν, καὶ θεῶν ἡμῖν τιμιωτέρους. Προλαβεῖν [d] δὲ ἀναγκαῖόν ἐστι, [e] ὡς μόνον μέτρον τῆς πρὸς αὐτοὺς εὐχαριστίας ἡ διηνεκὴς καὶ ἀνένδοτος προθυμία πρὸς τὸ ἀμείβεσθαι τὰς εὐεργεσίας αὐτῶν· [f] ἐπείτοι γε πολὺ καταδεέστερα, [g] κἂν πάνυ πολλὰ πράξωμεν ὑπὲρ αὐτῶν. Ἀλλ' ὅμως κινδυνεύει καὶ ταῦτ' ἐκείνων ἔργα τυγχάνειν, ὅτι καὶ ἡμᾶς τοὺς ταῦτα πράττοντας ἐκεῖνοι πεποιήκασιν. Ὥσπερ οὖν τὰ ὑπὸ Φειδίου καὶ τῶν ἄλλων τεχνιτῶν ἀπεργασθέντα, εἴπερ καὶ αὐτὰ ἕτερά τινα [h] κατεσκεύαζεν, οὐκ ἂν ὀκνήσαιμεν καὶ ταῦτα τῶν τεχνιτῶν ἔργα φάσκειν· οὕτως εἰκότως καὶ τὰ ὑφ' ἡμῶν δρώμενα [i] λέγοιμεν ἂν εἶναι τῶν γονέων ἡμῶν ἔργα, δι' οὓς καὶ ἡμεῖς γεγόναμεν· [k] καὶ οὐχὶ τἄλλα μὲν, οὐχὶ δὲ καὶ τὰ ὑπὲρ αὐτῶν πραττόμενα τῶν γονέων ἡμῶν ἔργα δι' οὓς καὶ ἡμεῖς γεγόναμεν. Πρὸς οὖν τὴν εὐμαρῆ τῶν ἐπ' αὐτοὺς καθηκόντων αἵρεσιν κεφαλαιώδη τινὰ χρὴ προβαλλομένους λόγον, τοῦτον ἐν προχείρῳ διηνεκὲς ἔχειν· ὡς οἱ γονεῖς [l] ἡμῶν θεῶν εἰκόνες, καὶ νὴ Δία [m] θεοὶ ἐφέστιοι καὶ εὐεργέται, καὶ συγγενεῖς, δανεισταί τε καὶ κύριοι, καὶ φίλοι βεβαιότατοι. Θεῶν τε γὰρ εἰκόνες [n] ὁμοιόταται, καὶ ὑπὲρ τὰς τῶν τεχνῶν δυνάμεις καθιγμέναι τῆς ἐμφερείας. Θεοί τε [o] γὰρ ἑστιοῦχοι καὶ συνδίαιτοι ἡμῖν· ἔτι δ' εὐεργέ-

[c] τοὺς] οὓς A. B.
[d] δὲ om. A. B.
[e] ὡς μόνον—διηνεκὴς om. Tr.
[f] ἐπείτε] ἔπειτα A. B. ἔσται Gesnerus ἐπεὶ τοί γε Bentleius.
[g] κἂν] καὶ A. B.
[h] κατεσκεύαζεν—ὠκνήσαμεν] κατασκεύαζεν—ὀκνήσωμεν A. B.
[i] λέγομεν] λέγωμεν A.
[k] καὶ οὐχὶ—γεγόναμεν accedunt ex A. Nescio an δι' οὓς—γεγόναμεν in superioribus deleri debeant.
[l] θεῶν ἡμῖν] ἡμῶν θεῶν A. B.
[m] θεοὶ ἐφέστιοι] θεῶν ὑφέστιοι A. B.
[n] βεβαιόταται, καὶ ὑπὲρ τὰς τῶν τεχνῶν δυνάμεις καθειργμένης τῆς ἐμφερείας] ὁμοιόταται καὶ ὑπὲρ τῶν θεῶν δυνάμεις καθειργμέναι τ. ε. A. Pro βεβαιόταται Bentleius conjecit τελειόταται. Idem mox legendum vidit καθιγμέναι. In Trinc. καθειργμέναι.
[o] γὰρ om. A. B. Gesn. marg.

ται μέγιστοι, καὶ παρεσχημένοι τὰ μέγιστα, καὶ μὰ Δί' οὐχὶ μόνον ἃ ἔχομεν, ἀλλὰ καὶ ὁπόσα παρέχειν ἐβουλήθησαν, ἅ τε καὶ [p] εὔξαιντο. Πρὸς δὲ τούτοις, συγγενεῖς ἔγγιστα, καὶ [q] τῆς πρὸς ἑτέρους αἴτιοι συγγονῆς· δανεισταὶ δὲ τῶν τιμιωτάτων, μόνα ἀπαιτοῦντες, ὧν καὶ ἡ ἀπόδοσις πάλιν ἐστὶν ἡμῶν εὐεργεσία. Τί γὰρ τηλικοῦτον παιδὶ κέρδος, πηλίκον ἐστὶ τὸ πρὸς τοὺς [r] γειναμένους εὐσεβὲς καὶ εὐχάριστον; Κύριοί γε μὴν δικαιότατα. Τίνος γὰρ κτῆμα μᾶλλον εἴημεν [s] ἢ ἐκείνων, δι' οὓς ἐσμέν; Οὐ μὴν ἀλλὰ καὶ φίλοι καὶ παραστάται διηνεκεῖς καὶ αὐτόκλητοι, παντὸς καιροῦ καὶ πάσης περιστάσεως ἐπίκουροι. [t] Ἐπεὶ δὲ τῶν προκατηριθμημένων ἁπάντων τὸ ἐξοχώτατον ἦν ὄνομα γονεὺς, καθὸ θεοὺς αὐτοὺς [u] ἀπεκαλοῦμεν, τῇ τοιᾷδε ἐπινοίᾳ προσθετέον ἕτερον· καὶ νομιστέον ἑαυτοὺς καθάπερ ἐν ἱερῷ τῇ οἰκίᾳ ζακόρους τινὰς καὶ ἱερέας, [w] ὑπ' αὐτῆς κεχειροτονημένους καὶ 462
καθιερωμένους τῆς φύσεως, [x] ἐγκεχειρίσθαι τὴν τῶν γονέων θεραπείαν. Ὅθεν καὶ διελόντες τῆς ἐπιμελείας τὸ μὲν εἰς σῶμα, τὸ δ' εἰς ψυχὴν, καθ' ἑκάτερον αὐτῶν μεθ' ἑκάστης προθυμίας, πείθεσθαί τε τῷ λόγῳ τὶ βουλόμενοι, τὸ καθῆκον ἐκπληρώσομεν. Τοῦ μὲν οὖν σώματος εἵνεκα βραχὺς ὁ λόγος, εἰ καὶ ἀναγκαῖος. [y] Προνοήσομεν γὰρ τροφῆς αὐτῶν ἐλευθερίου, καὶ πρὸς τὴν ἀσθένειαν τοῦ γήρως ἡρμοσμένης· ἔτι δὲ κοίτης, καὶ ὕπνου, [z] ἀλείμματός τε καὶ λουτροῦ, καὶ ἐσθῆτος, καὶ ἁπαξαπλῶς τῶν ἕνεκα τοῦ σώματος ἀναγκαίων· ὡς κατὰ μηδὲν τούτων ἐνδείας ποτὲ πειραθεῖεν,

[p] εὔξαιντο] εὔξαντο Trinc.
[q] τῇ—συγγενείᾳ] τῆς—συγγονῆς B. et sic forte A. qui certe habet συγγονῆς. De articulo nihil reperio annotatum. τῆς—συγγενείας Needhamus.
[r] γειναμένους] γινομένους Trinc.
[s] ἢ om. A. Trinc.
[t] ἐπὶ] ἐπεὶ Gesnerus.
[u] ἀπεκαλοῦμεν] ἀποκαλοῦμεν A. B.
[w] ὑπ'] ἐπ' B.
[x] ἐγχειρίσθαι] ἐγχειρίσεσθαι A. B.
[y] προνοήσομεν] προνοήσωμεν A. B.
[z] ἀλείματος] ἀλείμματος A. Tr.

μιμούμενοι τὴν αὐτῶν ἐκείνων περὶ τὴν ἡμετέραν [a] ἀνατροφὴν, [b] ὅτ' ἦμεν νεογνοὶ, κηδεμονίαν· ὥστε προσαναγκάζειν ἑαυτοὺς καὶ μαντικόν τι προσφέρεσθαι θεραπείαν, κἀξευρίσκειν, [c] εἴπερ αὐτοὶ μὴ λέγοιεν, πρὸς τίνα μάλιστα ῥέπουσιν αὐτοῖς αἱ προθυμίαι [d] τῶν τῷ σώματι προσαγομένων. Πολλὰ γὰρ αὖ κἀκεῖνοι περὶ ἡμῶν ἐμαντεύσαντο, πολλάκις ἀνάρθροις ἔτι καὶ κλαυθμώδεσι φωναῖς, ὅτι μὲν δεόμεθα τινῶν, σημηνάντων, τίνα δ' ἐστὶν ὧν δεόμεθα διασαφῆσαι μὴ δυνηθέντων. Κἂν εἰ ἡμῖν καὶ αὐτῶν τούτων τῶν [e] καθ' ἡμᾶς γεγονότων διδάσκαλοι γεγόνασιν, ὧν ἄξιοι τυγχάνειν εἰσὶ παρ' ἡμῶν, ταῦθ' ἡμᾶς διὰ τοῦ προπαρασχεῖν [f] ἡμῖν διδάξαντες. Ταῖς [g] δὲ ψυχαῖς αὐτῶν παρασχετέον, πρῶτον μὲν τὴν εὐθυμίαν, ἣ μάλιστα γένοιτ' ἂν ἐκ τοῦ συναναστρέφεσθαι νύκτωρ τε καὶ μεθ' ἡμέραν αὐτοῖς, εἰ μή τι κωλύοι, συμπεριπατοῦντας, συναλειφομένους, συνδιαιτωμένους. Καθάπερ γὰρ τοῖς μακρὰν στελλομένοις [h] ἀποδημίαν πρὸς εὐθυμίαν εἰσὶν, ἐν τρόπῳ γινόμεναι προπομπίας, τῶν οἰκειοτάτων τε καὶ φιλτάτων συναναστροφαί· τὸν αὐτὸν τρόπον [i] καὶ τοῖς γονεῦσιν νενευκόσιν ἤδη πρὸς τὴν ἄφοδον, ἐν ταῖς μάλιστα [k] κεχαρισμέναι καὶ προσφιλεῖς εἰσιν αἱ τῶν τέκνων προσεδρίαι. Καὶ μέντοι κἂν εἴ τι που γένοιντο [l] παραμαρτάνοντες (ὁποῖα δὴ πολλὰ φιλεῖ γενέσθαι περὶ τοὺς πλείονας, καὶ [m] ἰδιωτικώτερον ἠγμένους) ἐπανορθωτέον μὲν, ἀλλ' οὐ μετ' ἐπιπλήξεως μὰ Δία, καθάπερ ἔθος πρὸς

[a] ἀνατροφὴν] ἀναστροφὴν Trinc. ubi desunt reliqua.

[b] ὅτ' ἦμεν] ὃ τὴν μὲν A.

[c] εἴπερ] ὅπερ A.

[d] τοὺς τῷ] τῶν A.

[e] καθηγεγονότων] καθ' ἡμᾶς γεγονότων A. καθηκόντων edidit Needhamus e Bentleii correctione.

[f] ἡμῖν] ἡμᾶς A.

[g] δὲ om. A.

[h] ἀποδημίαν πρὸς] ἀποθυμίαν εἰς A.

[i] καὶ τοῖς—νενευκόσιν] ἢ ἐν τοῖς γονεῦσιν ἢ ἐν εὐχαῖσιν A.

[k] κεχαρισμέναι] κεχαρισμέναις A.

[l] παραμαρτάνοντας] παραμαρτάνοντες A. Dedi γένοιντο pro γένοιτο.

[m] ἰδιωτικώτερον] ἰδιωτικωτέρους A.

τοὺς ἐλάττονας ἢ ἴσους ποιεῖν, ἀλλ' ὡς μετὰ παρακλήσεως· καὶ οὐχ ὡς δι' [n] ἀμαθίαν ἁμαρτάνοντας, ἀλλ' ὡς παρορῶντας τῷ μὴ ἐφεστακέναι, πάντως δ' ἂν ἰδόντας εἴπερ [o] ἐπέστησαν, ἀνιαραὶ γὰρ τοῖς τηλίκοις καὶ μάλιστα [p] ἐκτενῶς αἱ νουθετήσεις. Ἀναγκαία δὲ μετὰ παρακλήσεως καί τινος [q] φιλοτεχνίας ἴασις τῶν παρορωμένων. Φέρει δὲ ἐπὶ τὴν [r] εὐθυμίαν αὐτοῖς καὶ τὸ τῶν [s] θητικωτέρων εἶναι δοκούντων [t] ὑπηρετημάτων ἅπτεσθαι ποτὲ τοὺς παῖδας, ὥστε [u] καὶ πόδας ὑπονίψαι, καὶ κλίνην στορέσαι, καὶ παραστῆναι διακονουμένους. Εὐφραίνοιντο γὰρ οὐκ ὀλίγως παρὰ τῶν φιλτάτων χειρῶν τὰς ἀναγκαίας ὑπηρεσίας λαμβάνοντες, καὶ διακόνοις χρώμενοι τοῖς σφετέροις ἔργοις. Μάλιστα δ' ἂν εἴη γονεῦσι κεχαρισμένον καὶ τὸ 463
φαίνεσθαι τιμῶντας τοὺς παῖδας, οὓς ἂν ἐκεῖνοι στέργωσιν καὶ περὶ πολλοῦ ποιῶνται. Διὸ συγγενεῖς αὐτῶν στερκτέον, καὶ ἐπιμελείας ἀξιωτέον, φίλους θ' ὡσαύτως, καὶ δῆτα καὶ ἑκάστους τοὺς ἐκείνοις κεχαρισμένους· ἀφ' ἧς ἀφορμῆς εὕρεσις ἡμῖν ὑπογράφεται καὶ ἑτέρων πλειόνων καθηκόντων οὐ σμικρῶν, οὐδὲ τῶν τυχόντων. Ἐπεὶ γὰρ χάρις ἐστὶ γονεῦσι [w] τῶν στεργομένων ὑπ' αὐτῶν κηδεμονία, μάλιστα δ' ἔχουσι πρὸς ἡμᾶς οὕτως, δῆλον ὡς οὐ [x] τοῦ τυχόντος ἂν αὐτοῖς χαριζώμεθα προνοοῦντες αὐτῶν.

[n] ἀμαθείαν] ἀμαθίαν A.

[o] ἐφέστησαν] Legendum ἐπέστησαν subintellecto διάνοιαν monet Schæferus ad Bosium v. διάνοια.

[p] ἐκτενῶς νουθετήσεις] ἐκτενῶς αἱ νουθετήσεις A. ἐκτενεῖς νουθ. dedit Needhamus. αἱ ἐκτενεῖς (vel ἐκτενῶς) Bentleius.

[q] φιλοτεκνίας] φιλοτεχνίας Needhamus et Bentleius.

[r] ἐπιθυμίαν] εὐθυμίαν Bentleius.

[s] νοητικωτέρων] δουλικωτέρων Gesnerus, οἰκετικωτέρων Bentleius, θητικωτέρων Koenius ad Greg. Dial. Dor. XVI. probante Valckenærio.

[t] ὑπὲρ αἰτημάτων] ὑπηρετημάτων Gesnerus.

[u] καὶ—καὶ] καὶ bis om. A.

[w] ἢ εἰς τοὺς στεργομένους] τῶν στεργομένων A.

[x] τοῦ τυχόντος] Forte τὰ τυχόντα. Gesner.

54 [a] Ξενοφῶντος ἐν τῷ β. Ἀπομνημονευμάτων.

Αἰσθόμενος δέ ποτε Λαμπροκλέα τὸν πρεσβύτατον υἱὸν αὑτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα, Εἰπέ μοι, ἔφη, ὦ παῖ, οἶσθα τινὰς ἀνθρώπους ἀχαρίστους καλουμένους; Καὶ μάλα, ἔφη ὁ νεανίσκος. Καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; Ἔγωγε, ἔφη· τοὺς γὰρ εὖ παθόντας ὅτ᾽ ἂν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. Οὐκ οὖν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις [b] καταλογίζεσθαι τοὺς ἀχαρίστους; Ἔμοιγε, ἔφη. Ἤδη δέ ποτε ἐσκέψω, εἰ ἄρα ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον· οὕτω καὶ τὸ ἀχαριστεῖν, πρὸς μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον; Καὶ μάλα, ἔφη· καὶ δοκεῖ μοι ὑφ᾽ οὗ ἄν τις εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου μὴ πειρᾶται χάριν ἀποδιδόναι ἄδικος εἶναι. Οὐκ οὖν, εἰ οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία [c] ἡ ἀχαριστία; [d] Συνωμολόγει. Οὐκ οὖν ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη; [e] Συνέφη καὶ τοῦτο. Τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα [f] εὐεργετημένους, ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν, καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ [g] πάντων ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν· καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν [h] θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες. Καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμ-

54.

[a] Sic A. Trinc. Scil. II. 2.

[b] καταλογίζεσθαι] λογίζεσθαι A.

[c] ἡ] ἦ B.

[d] συνωμολόγει] συνομολόγει A. B.

[e] συνέφη] συνέφην A. B.

[f] εὐεργετημένους] εὐηργετημένους B.

[g] πάντων] πάντως A. B. Gesn. marg. Voluerunt forte παντός.

[h] θάνατον] θανάτου A. B.

βάνεις· ἐπεὶ [i] τούτου γε τῶν ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοὶ, μεστὰ δὲ [k] τὰ οἰκήματα· φανεροὶ δ᾽ ἐσμὲν καὶ [l] σκοποῦμεν ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. Καὶ ὁ μὲν [m] γε ἀνὴρ τήν τε συντεκνοποιοῦσαν ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει [n] πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα· ἡ δὲ γυνὴ ὑποδεξαμένη τε [o] φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη [p] τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου, καὶ μεταδιδοῦσα τῆς τροφῆς, ᾗ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενεγκοῦσα, καὶ τεκοῦσα, τρέφει τε καὶ ἐπιμελεῖται, 464 οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν, οὔτε γιγνώσκον τὸ βρέφος [q] ὑφ᾽ ὅτου εὖ πάσχει· οὐδὲ σημαίνειν δυνάμενον, ὅτου δεῖται· ἀλλ᾽ [r] αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ τὰ κεχαρισμένα πειρᾶται ἐκπληροῦν, καὶ τρέφει πολὺν χρόνον, καὶ ἡμέρας καὶ νυκτὸς ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα εἴ τινα τούτων χάριν ἀπολήψεται. Καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ [[s] καὶ] ἐπειδ᾽ ἂν δόξωσιν ἱκανοὶ εἶναι [[t] οἱ] παῖδες μανθάνειν τί, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς [[u] τὸν] βίον διδάσκουσιν, ἃ δ᾽ ἂν οἴωνται ἄλλον ἱκανώτερον διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται, πάντα ποιοῦντες ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι. Πρὸς ταῦτα ὁ νεανίσκος [w] εἶπεν· ἀλλά τοι εἰ [ταῦτα] πάντα πεποίηκε, καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν αὐτῆς δύναιτο ἀνασχέσθαι τὴν χαλεπότητα.

[i] τούτου γε] τοῦ γε Gesn. marg.
[k] οἰκήματα] τὰ οἰκήματα A. B.
[l] σκοποῦμεν] σκοπούμενοι Gesn. marg.
[m] γὰρ] γε A. Trinc.
[n] πάντα] ἅπαντα A.
[o] φέρῃ] φέρει A. Trinc.
[p] τε καὶ] καὶ om. A.
[q] ἀφ᾽] ὑφ᾽ A. B.
[r] αὐτὴ] αὐτὸ Trinc. ubi mox om. καὶ ante ἡμέρας.
[s] καὶ om. A. Trinc.
[t] οἱ om. A. Trinc.
[u] τὸν om A. Trinc.
[w] εἶπεν] εἰπεῖν A. et mox om. ταῦτα A. Trinc.

Καὶ ὁ Σωκράτης, Πότερα δὲ, ἔφη, [x] οἴει θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι, ἢ μητρός; Ἐγὼ μὲν οἶμαι, ἔφη, μητρός τῆς γε τοιαύτης. Ἤδη πώποτε οὖν [y] ἢ δακοῦσα κακόν τί σοι ἔδωκεν, [z] ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον; Ἀλλὰ νὴ Δία, ἔφη, λέγει, ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. Σὺ δὲ πόσα, ἔφη ὁ Σωκράτης, οἴει ταύτῃ δυσανεκτὰ, καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων, καὶ ἡμέρας καὶ νυκτὸς πράγματα παρασχεῖν, πόσα δὲ λυπῆσαι κάμνων; Ἀλλὰ οὐδὲ πώποτε αὐτὴν, ἔφη, οὔτε εἶπα, οὔτε ἐποίησα οὐδὲν, ἐφ᾽ ᾧ [a] ᾐσχύνθην. Τί δαί; οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὐτὴ λέγει, ἢ [b] τοῖς ὑποκριταῖς, ὅτ᾽ ἂν ἐν ταῖς τραγῳδίαις ἀλλήλοις τὰ ἔσχατα λέγωσιν; Ἀλλὰ, οἶμαι, ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν, ἵνα [c] ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. Σὺ δ᾽ εὖ εἰδὼς, ὅτι ἃ λέγει σοι ἡ μήτηρ, [d] οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι, οἷα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις, ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι; Οὐ δῆτα, [e] ἔφη, τοῦτο δ᾽ οὐκ οἶμαί γε. Καὶ ὁ Σωκράτης, Οὐκ οὖν, ἔφη, σὺ ταύτην εὔνουν τέ σοι οὖσαν, καὶ ἐπιμελουμένην ὡς μάλιστα δύναται καὶ [f] κάμνοντος, ὅπως [g] ὑγιανῇς τε καὶ ὅπως τῶν ἐπιτηδείων [h] μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν εἶναι φής; ἐγὼ μὲν [i] οἶμαι εἰ τοιαύτην μὴ

[x] οἴη] οἴει A. B.
[y] ἢ δακοῦσα] ἢ δ᾽ ἄκουσα A.
[z] λακτίσασα] ὑλακτήσασα B.
[a] ᾐσχύνθην] ᾐσχύνθη A. B.
[b] τοῖς ὑποκριταῖς] τῶν ὑποκριτῶν A. B.
[c] ζημιώσῃ] ζημιῶσιν A. B.
[d] οὐ μόνον] ὅτι οὐ μόνον A. Trinc.
[e] ἔφη, τοῦτο δ᾽ οὐκ οἶμαί γε] γε τοῦτο ἔφη οὐκ οἶμαι A. B. οὐ δεῖτά σε τοῦτο ἔφη οὐκ οἶμαί γε Trinc.
[f] κάμνοντος] καὶ κάματος A. καὶ κάμνοντος Trinc.
[g] ὑγιανῇς] ὑγιαίνοις A. B.
[h] μηδενὸς] μή A. B.
[i] οἶμαι εἰ] οὖν αἰεὶ A. Trinc. Mox ib. om. μητέρα. δύνασθαι Trinc.

δύνασαι φέρειν [μητέρα,] τἀγαθά σε οὐ δύνασθαι φέρειν.
Εἰπὲ δή μοι, ἔφη, πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν,
ἢ παρασκευάσαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, μήτε
[k] πείθεσθαι, μήτε στρατηγῷ, μήτε ἄλλῳ ἄρχοντι; Ναὶ μὰ
Δία ἔγωγε, ἔφη. [l] Οὐκ οὖν, ἔφη ὁ Σωκράτης, καὶ τῷ γεί-
τονι βουλήσῃ ἀρέσκειν, [m] ἵνα σοι [n] καὶ πῦρ ἐναύῃ, [o] ὅτ' ἂν
τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίγνηται συλλήπτωρ, καὶ ἄν
τι σφαλλόμενος τύχῃς, [p] εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι;
Ἔγωγε, ἔφη. Τί [q] δαί; συνοδοιπόρον, ἢ σύμπλουν, ἢ εἴ τῳ 465
ἄλλῳ [r] ἐντυγχάνοις, οὐδὲν ἄν σοι [s] διαφέροι φίλον ἢ ἐχθρὸν
γίγνεσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας [t] οἴει δεῖν ἐπιμε-
λεῖσθαι; Ἔγωγε, ἔφη. Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι
[u] παρεσκεύασαι, τὴν δὲ μητέρα, τὴν πάντων μάλιστά σε
φιλοῦσαν, οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα ὅτι καὶ ἡ
πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται, οὐδὲ
δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδι-
δόντας, [w] ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε
ἐπιτίθησι, καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ [x] ἄρχειν τοῦτον, ὡς
οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύ-
οντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξον-
τος; καὶ νὴ Δία ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους
μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις ἐν ταῖς τῶν ἀρχόν-
των δοκιμασίαις. Σὺ οὖν, ὦ παῖ, ἐὰν σωφρονῇς, τοὺς μὲν
θεοὺς [y] παραστήσεις συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέ-

[k] πείθεσθαι] ἕπεσθαι Gesn. marg.

[l] οὐκοῦν ἔφη ὁ Σωκράτης] ὁ Σ. οὐκοῦν ἔφη καὶ A. B. ναὶ μὰ Δ.—γείτονι om. Trinc.

[m] ἵνα] εἶναι A.

[n] καὶ] κἂν A.

[o] ὅταν τούτου δέῃ] ὅτε τ. δέοι A. Mox γίνεται A. Trinc.

[p] εὐνοϊκῶς ἐγγύθεν βοηθήσει] ἐγγύθεν βοηθήσοι εὐνοικῶς A. βοήσοι Tr.

[q] δαὶ] δὲ B.

[r] εὐτυγχάνοις] ἐντυγχάνεις A. B.

[s] διαφέρει] διαφέρῃ A. B.

[t] οἴει δεῖν] σοι εἰδεῖν A. B.

[u] παρασκευάσαι] παρεσκεύασαι A. B.

[w] ἐὰν δὲ] ἐὰν μὲν (sic) Trinc.

[x] ἄρχων] ἄρχειν A. Trinc.

[y] παραστήσεις] παραιτήσῃ Gesn. marg.

ληκας τῆς μητρὸς, μή [z] σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι οὐκ ἐθέλωσιν εὖ ποιεῖν· τοὺς δὲ ἀνθρώπους [[a] οὐ] φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων [b] πάντη ἀμελοῦντα ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων [c] ἀναφανῇς· εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ [[d] σε] ποιήσας χάριν ἀπολήψεσθαι.

## * ΠΕΡΙ ΘΕΩΝ, ΚΑΙ ΤΗΣ ΠΕΡΙ ΤΟΝ ΟΥΡΑΝΟΝ ΚΑΙ ΚΟΣΜΟΝ ΦΥΣΙΟΛΟΓΙΑΣ. Π.

1 [b] Τῶν δὲ φιλοσοφησάντων ἔνιοι εὑρεῖν φασι τὸ θήραμα τῆς σοφίας, ὡς Ἐπίκουρος καὶ οἱ Στωϊκοί· οἱ δὲ ἀκμὴν ἔτι ζητεῖν, ὥς που παρὰ θεοῖς ὂν, [c] καὶ τῆς σοφίας οὐκ ἀνθρωπίνου χρήματος ὄντος· οὕτως ἔλεγε Σωκράτης καὶ Πύρρων.

2 [a] Πλάτωνος ἐκ τοῦ Τιμαίου.

Ἐὰν οὖν, ὦ Σώκρατες, πολλὰ πολλῶν [b] εἰπόντων περὶ θεῶν καὶ τῆς τοῦ παντὸς γενέσεως, μὴ δυνατοὶ γιγνώμεθα πάντη πάντως αὐτοὺς ἑαυτοῖς ὁμολογουμένους λόγους καὶ ἀπηκριβωμένους ἀποδοῦναι, μὴ θαυμάσῃς· ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα [c] εἰκότας, ἀγαπᾶν χρὴ, μεμνημένους, ὡς ὁ λέγων ἡμεῖς [d] τε οἱ κριταὶ φύσιν ἀνθρωπίνην

[z] οὗτοι] καὶ οὗτοι A. Trinc.
[a] οὐ φυλάξῃ] οὐ om. A. Trinc.
[b] ἀμελοῦντα πάντες ἀτιμάσωσιν] πάντη ἀμελοῦντα ἀτιμάσωσιν A. B. πάντη Gesn. marg. Trinc.
[c] ἀναφανῇς] ἀναφανεῖς B.
[d] σε om. A. Trinc. Post ἀπολήψεσθαι edd. habent σοφίας τῶν δὲ φιλοφησάντων etc. Gesnerus uncis inclusit. Ego delevi.
* Περὶ θεῶν tantum habet Trinc. περὶ θεῶν καὶ ἐπιστημῶν καὶ γραμμάτων A. teste Grotio; de ultimis subdubito. Notandum autem in A. hoc et sequens caput tanquam unum exhiberi.

1.

[b] A ut vulgo in fine cap. præced. σοφίας τῶν δὲ φ. deleto σοφίας post θήραμα.—οἱ δὲ ἀκμὴν—χρήματος ὄντος om. Trinc.
[c] τῆς σοφίας καὶ] ὂν καὶ τῆς σοφίας A. B.

2.

[a] Sic A. Scil. p. 29. C. Simpl. Πλάτωνος Trinc.
[b] εἰπόντων om. A. Trinc.
[c] εἰκότας] εἰκόνας A. Trinc. καὶ addit A.
[d] τε καὶ] καὶ om. A. B. Gesn. marg.

ἔχομεν· [e] ὥστε περὶ τούτων τὸν εἰκότα μῦθον ἀποδεχομένους πρέπει τούτου μηδὲν ἔτι πέρα ζητεῖν.

3 [a] Βίωνος.

Βίων ἔλεγε γελοιοτάτους εἶναι τοὺς ἀστρονομοῦντας, οἳ τοὺς πὰρ ποσὶ τοὺς ἐν τοῖς αἰγιαλοῖς ἰχθῦς οὐ βλέποντες, τοὺς ἐν τῷ οὐρανῷ φάσκουσιν εἰδέναι.

4 [a] Πινδάρου.

Τοὺς φυσιολογοῦντας ἔφη Πίνδαρος

ἀτελῆ σοφίας καρπὸν δρέπειν.

5 [a] Ἐκ τῶν Σερήνου Ἀπομνημονευμάτων.

Θαλῆν εἰς τὸν οὐρανὸν ὁρῶντα καὶ ἐμπεσόντα εἰς τὸ βάραθρον ἡ θεράπαινα, [b] Θρᾶττα οὖσα, δίκαια παθεῖν ἔφη· ὃς τὰ παρὰ ποσὶν ἀγνοῶν τὰ ἐν οὐρανῷ ἐσκόπει.

6 [a] Διογενοῦς.

Ἀστρολόγου [b] δέ τινος κατ᾽ ἀγορὰν ἐπιδεικνύντος ἔν τινι 466
πινακίῳ καταγράφους τοὺς ἀστέρας, καὶ φάσκοντος ὅτι οὗτοί εἰσιν οἱ πλανώμενοι [c] τῶν ἀστέρων, ἐπακούσας, Μὴ ψεύδου, εἶπεν, ὦ ἑταῖρε· οὐ γὰρ οὗτοί εἰσιν οἱ πλανώμενοι, ἀλλὰ οὗτοι, δείξας [d] αὐτῷ τοὺς παρακαθεζομένους.

7 [a] Ἀρίστωνος.

Ἀρίστων ἔφη τῶν ζητουμένων παρὰ τοῖς φιλοσόφοις τὰ μὲν εἶναι [b] πρὸς ἡμᾶς, τὰ δὲ μηδὲν πρὸς ἡμᾶς, τὰ δ᾽ ὑπὲρ ἡμᾶς. Πρὸς ἡμᾶς μὲν τὰ ἠθικά, μὴ πρὸς ἡμᾶς δέ, τὰ διαλεκτικά· μὴ γὰρ συμβάλλεσθαι πρὸς ἐπανόρθωσιν βίου·

[c] τούτων] ὥστε περὶ τούτων A. Tr.

3.

[a] Sic A. Deest lemma Trinc.

4.

[a] Sic A. Trinc. Vide Fr. inc. 14.

5.

[a] Sic A. ubi Σερίνου. Deest lemma Trinc.

[b] θρᾶττα] θράττουσα A. Mox πὰρ B. pro παρά.

6.

[a] Sic A. Trinc.

[b] δὲ om. B.

[c] τῶν usque ad πλανώμενοι om. A. m. p. ubi οὐκ ἐκεῖνοι εἶπεν m. s.

[d] αὐτῷ om. B.

7.

[a] Sic A. Deest lemma Trinc.

[b] πρὸς ἡμᾶς—ὑπὲρ ἡμᾶς om. B. τὰ δὲ μὴ π. ἡ. om. A. In extr. παρέχει Trinc.

ὑπὲρ ἡμᾶς δὲ τὰ φυσικά· ἀδύνατα γὰρ ἐγνῶσθαι καὶ οὔτε παρέχειν χρείαν.

8 [a] Εὐσεβίου.

Θεοὶ ὅτι ἔασιν οὐ χρὴ δίζεσθαι· αὐτόθεν δὲ ἄριστον πεπιστευκέναι. Ζητήσιος γὰρ προτεθείσης, καὶ ὁ τῷ ἀνοσιωτάτῳ τῶν λόγων τῷ μὴ εἶναι αὐτοὺς συνιστάμενος ἐθέλει κρατέειν.

9 [a] Ἑρμοῦ ἐκ τοῦ Πρὸς Τάτ.

Θεὸν νοῆσαι [b] μὲν χαλεπὸν, φράσαι δὲ ἀδύνατον. [c] Τὸ γὰρ ἀσώματον σώματι [d] σημῆναι ἀδύνατον· καὶ τὸ τέλειον τῷ ἀτελεῖ καταλαβέσθαι οὐ δυνατόν· καὶ τὸ ἀΐδιον τῷ ὀλιγοχρονίῳ συγγενέσθαι δύσκολον. [e] Τὸ μὲν γὰρ ἀεί ἐστι, τὸ δὲ παρέρχεται· καὶ τὸ μὲν ἀληθείᾳ ἐστὶ, τὸ δὲ ὑπὸ φαντασίας σκιάζεται. Τὸ δὲ ἀσθενέστερον τοῦ ἰσχυροτέρου καὶ τὸ ἔλαττον τοῦ κρείττονος διέστηκε τοσοῦτον, ὅσον τὸ θνητὸν τοῦ θείου· ἡ δὲ μέση τούτων διάστασις ἀμαυροῖ τὴν τοῦ καλοῦ θέαν. Ὀφθαλμοῖς μὲν γὰρ τὰ σώματα θεατὰ, γλώττῃ δὲ τὰ ὁρατὰ λεκτά· τὸ δὲ ἀσώματον καὶ ἀφανὲς καὶ ἀσχημάτιστον καὶ [f] μήτε ἐξ ὕλης ὑποκείμενον [g] ὑπὸ τῶν ἡμετέρων αἰσθήσεων καταληφθῆναι [h] οὐ δύναται. [i] Ἐννοοῦμαι, ὦ Τὰτ, ἐννοοῦμαι, ὃ ἐξειπεῖν οὐ δυνατὸν, τοῦτό ἐστιν ὁ θεός.

10 [a] Πλάτωνος ἐκ τοῦ Τιμαίου.

Τὴν [b] δὲ πρὸ τῆς οὐρανοῦ γενέσεως, πυρὸς ὕδατός τε καὶ [c] ἀέρος καὶ γῆς φύσιν, θεατέον αὐτὴν, καὶ τὰ πρὸ τούτου

8.

[a] Sic A. Trinc.

9.

[a] Sic A. 'Ερμοῦ πρὸς τάτ. Trinc.

[b] μὲν νοῆσαι] νοῆσαι μὲν A.

[c] τὸ γὰρ] καὶ τὸ A.

[d] σημῆναι] συμβῆναι A.

[e] ὃ] Melius τὸ. GESNER. Sic B.

[f] μήτε] μὴ B.

[g] ὑπὸ] καὶ ὑπὸ A.

[h] οὐ δύναται] ἀδύνατον A.

[i] ἐννοοῦμαι—θεός om. B.

10.

[a] Sic A. Scil. p. 48. Simpl. Πλάτωνος Trinc.

[b] δὲ] δὴ A. Trinc.

[c] ἀστέρος] ἀέρος A. Trinc.

πάθη. Νῦν γὰρ [d] οὐδείς πω γένεσιν αὐτῶν μεμήνυκεν, ἀλλ' ὡς εἰδόσι πῦρ ὅ τι ποτέ ἐστιν, καὶ ἕκαστον αὐτῶν, λέγομεν ἀρχὰς, [e] αὐτὰ τιθέμενοι στοιχεῖα τοῦ παντὸς, προσῆκον αὐτοῖς, οὐδ' ὡς ἐν συλλαβῆς εἴδεσι μόνον εἰκότως ὑπὸ τοῦ καὶ βραχὺ φρονοῦντος ἀπεικασθῆναι. Νῦν δ' οὖν τό γε παρ' ἡμῶν ὧδε ἐχέτω· τὴν μὲν οὖν ἁπάντων, [f] εἴτε ἀρχὴν, εἴτε ἀρχὰς, εἴτε ὅπῃ δοκεῖ τούτων πέρι τὸ νῦν οὐ ῥητέον· δι' ἄλλο μὲν οὐδὲν, διὰ δὲ τὸ χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα. Μήτε οὖν ὑμεῖς οἴεσθε δεῖν ἐμὲ λέγειν, οὔτε αὐτὸς [g] αὖ πείθειν ἐμαυτὸν ἂν εἴην δυνατὸς, ὡς ὀρθῶς ἐγχειροῖμ' ἂν, τοσοῦτον ἐπιβαλλόμενος ἔργον. Τὸ δὲ κατ' ἀρχὰς ῥηθὲν διαφυλάττων, τὴν τῶν εἰκότων λόγων δύναμιν, πειράσομαι [h] μηδενὸς ἧττον [i] εἰκότα, μᾶλλον δὲ καὶ ἔμπροσθεν ἀπ' ἀρχῆς περὶ [k] ἑκάστων καὶ ξυμπάντων λέγειν.

11 [a] Πλάτωνος ἐκ τοῦ Κριτίου ἢ Ἀτλαντικοῦ.

Περὶ [b] θεῶν, ὦ Τίμαιε, λέγοντά τι πρὸς ἀνθρώπους δοκεῖν ἱκανῶς λέγειν ῥᾷον, ἢ περὶ θνητῶν πρὸς ἡμᾶς. Ἡ γὰρ ἀπειρία καὶ [c] σφοδρὰ ἄγνοια τῶν ἀκουόντων, περὶ ὧν ἂν 467
οὕτως ἔχωσι, πολλὴν εὐπορίαν [d] παρέχεσθον τῷ μέλλοντι λέγειν τὶ περὶ αὐτῶν.

12 [a] Ξενοφῶντος ἐκ τῆς ἐπιστολῆς τῆς Πρὸς Αἰσχίνην.

Συντυχών μοι Ἑρμογένης, τά τε ἄλλα διεξῄει, καὶ περὶ σοῦ δὲ [b] πυθομένου, ἥν τινα ἔχοις φιλοσοφίας ἐπιμέλειαν, ἀπεκρίνατο, τὴν αὐτὴν Σωκράτει. Ἐγὼ δὲ καὶ ἡνίκα Ἀθή-

[d] οὐδείς πω] πω om. Trinc.
[e] αὐτὰ] αὐτῶν A. B. Mox καὶ στ. Trinc.
[f] εἴτε om. A. B. Mox τούτου Trinc.
[g] αὖ πείθειν] ἂν π. Trinc.
[h] μηδενὸς] μηδὲν A. B.
[i] εἰκότα] εἰκότος A. εἰκότως B.
[k] ἑκάστων] ἑκάστου A. B.

11.
[a] Sic A. Sc. p. 107. Τοῦ αὐτοῦ Tr.
[b] θεῶν] θεῶν γὰρ B.
[c] σφοδρὰ] σφόδρα B.
[d] παρέχεσθον] παρέσχεθον B. παρέσχον Trinc.

12.
[a] Sic A. et fere Trinc.
[b] πυθομένου] πυθόμενος B.

νησι [c] διέτριβες, τῆς γνώμης [d] σὲ ἠγάσθην. Ὥσπερ οὖν ἠρξάμην σε θαυμάζων, οὕτω καὶ νῦν παρ᾽ ὀντινοῦν τῶν σοφίαν ἀσπασαμένων τεθαύμακα τὸ ἀμετάκλαστόν σου τῆς γνώμης. Μέγιστον γάρ, ὡς ἐγ᾽ ᾦμαι, τεκμήριον ἀρετῆς, ἁλόντος, ὑπό τ᾽ ἀνδρὸς ἐκείνου, εἴπερ θνητὸν καλεῖν τὸν Σωκράτους ἡγοῦντο βίον. Ὅτι μὲν γὰρ τὰ θεῖα ὑπὲρ ἡμᾶς παντὶ δῆλον· ἀπόχρη δὲ τὸ κρεῖττον τῆς δυνάμεως αὐτοῦ σέβειν. Οἱ δ᾽ εἰσὶν οὔτε εὑρεῖν ῥᾴδιοι, οὔτε ζητεῖν θεμιτόν· οὐδὲ γὰρ δεσποτῶν φύσιν ἢ πρᾶξιν δούλους δεῖ εἰδέναι, οἷς οὐδὲν πλέον ὑπηρεσίας προσήκει. Πότε γάρ, ὦ Αἰσχίνη, Σωκράτους ἀκήκοέ τις οὐρανίων πέρι λέγοντος, ἢ γραμμὰς εἰς ἐπανόρθωσιν παραινοῦντος μανθάνειν; Μουσικῆς γὰρ ἴσμεν αὐτὸν μέχρις ὤτων ξυνιέντα· διετέλει δὲ ἑκάστοτε αὐτὸς λέγων τὶ καλὸν, καὶ τί [e] ἀνδρεία τε καὶ δικαιοσύνη καὶ αἱ ἄλλαι ἀρεταί. Ἀνθρώπινα γοῦν ἀγαθὰ αὐτὰ ἐκάλει· τὰ δ᾽ ἄλλα, ἢ ἀδύνατα ἀνθρώποις ἁλῶναι ἔφασκεν, ἢ [f] μύθων εἶναι συγγενῆ, μετὰ ὀφρύος σοφιστῶν διεξιόντων. Καὶ οὐκ ἔλεγε μὲν ταῦτα, οὐκ ᾔδει δὲ πράττειν. Παυσάσθωσαν [g] οὖν ἐλεγχόμενοι πρὸς τὸ εἰκὸς ἴσως ἄν, οἷς Σωκράτης οὐκ ἤρεσκεν, ᾧ ζῶντι μὲν ὁ θεὸς σοφίαν ἐμαρτύρησεν· οἱ δὲ [h] κτείναντες τῆς μετανοίας ἀποκάθαρσιν οὐχ εὗρον. Τὸ δὲ καλὸν ἄρα, Αἰγύπτου γὰρ ἠράσθησαν, καὶ τῆς Πυθαγόρου τερατώδους σοφίας, ὧν τὸ [i] περιττὸν καὶ τὸ μὴ μόνιμον ἐπὶ Σωκράτει ἤλεγξεν ἔρως τυραννίδος, [k] καὶ ἀντὶ λιτῆς διαίτης [l] Σικελιώτης γαστρὸς ἀμέτρου τράπεζα.

[c] διέτριβες] διέτριβον A. B. διέτριβεν Trinc.
[d] σε] om. B.
[e] ἀνδρεία] ἀνδρία A.
[f] μύθον] μύθων A. Trinc.
[g] οὐκ] οὖν Trinc.
[h] κτείναντες] ἐκτείναντες Trinc.
[i] περιττὸν] μὲν περιττὸν A. B.
[k] καὶ ἀντὶ—τράπεζα habet A. in marg.
[l] σικελιώτης] σικελιώτις Trinc.

13 [a] Ξενοφῶντος ἐν ᾱ Ἀπομνημονευμάτων.

Οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως ᾗπερ τῶν ἄλλων οἱ πλεῖστοι διελέγετο, σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος [b] ἔχει, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας [c] ἀπεδείκνυεν. [d] [Καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει, πότερα ποτὲ νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν, ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες, ἡγοῦνται τὰ προσήκοντα πράττειν.] Ἐθαύμαζε δ᾽ εἰ μὴ φανερὸν ἐστιν αὐτοῖς, ὅτι ταῦτα ἀδύνατόν ἐστιν ἀνθρώποις εὑρεῖν, εἴ γε καὶ τοὺς μέγιστον φρονοῦντας [e] ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ ταυτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ δεινὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ᾽ ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι 468
λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δ᾽ [f] οὐκ ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν· καὶ τοὺς μὲν οὔθ᾽ ἱερὸν, οὔτε βωμὸν, οὔτε ἄλλο τῶν [g] θείων οὐδὲν τιμᾶν, τοὺς δὲ καὶ λίθους, καὶ ξύλα τὰ τυχόντα, καὶ [h] θηρία σέβεσθαι· τῶν τε περὶ τῆς τῶν πάντων φύσεως [i] μεριμνώντων τοῖς μὲν [k] δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δ᾽ ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ πάντα κινεῖσθαι, τοῖς δ᾽ οὐδὲν ἄν ποτε κινηθῆναι· καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δ᾽ οὔτ᾽ ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτε ἀπολέσθαι.

13.

[a] Sic A. Scil. I. 1, 11. Τοῦ αὐτοῦ Trinc.
[b] ἔχει] ἔφυ Gesn. marg.
[c] ἀπεδείκνυεν] ἐπεδείκνυεν A. B.
[d] καὶ πρῶτον usque ad πράττειν om. A. Trinc.
[e] ἐπιστήμη] ἐπὶ τῷ A. B.
[f] οὐκ ἐξιτητέον] οὐδὲ ἐξηγητέον B.
[g] θείων] θεῶν A. Trinc.
[h] θηρία] τὰ θηρία A. B.
[i] μεριμνόντων] μεριμνώντων A. Tr.
[k] δοκεῖν] δοκεῖ B.

14 [a] Ἀρριανοῦ Ἐπικτητίου Πρὸς τὸν περὶ οὐσίας.

[b] Τί μοι [c] μέλει, φησὶ, πότερον ἐξ ἀτόμων, ἢ ἐξ [d] ἀμερῶν, ἢ ἐκ πυρὸς καὶ γῆς συνέστηκε τὰ ὄντα; οὐ γὰρ ἀρκεῖ μαθεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ κακοῦ, καὶ τὰ μέτρα τῶν ὀρέξεων καὶ ἐκκλίσεων, καὶ ἔτι ὁρμῶν καὶ ἀφορμῶν, καὶ τούτοις ὥσπερ κανόσι χρώμενον διοικεῖν τὰ τοῦ βίου, τὰ δ' ὑπὲρ ἡμᾶς ταῦτα χαίρειν ἐᾶν, [e] ἅ τινα τυχὸν μὲν ἀκατάληπτά ἐστιν [f] ἀνθρωπίνῃ γνώμῃ, [g] εἰ δὲ καὶ τὰ μάλιστα [h] θῇ τις εἶναι κατάληπτα, ἀλλ' οὖν τί ὄφελος καταληφθέντων; οὐχὶ δὲ [i] διακενῆς [k] πράγματα ἔχειν φατέον τοὺς ταῦτα ὡς ἀναγκαῖα [l] τῷ τοῦ φιλοσόφου λόγῳ προσνέμοντας; Μή [m] τι οὖν καὶ τὸ ἐν Δελφοῖς παράγγελμα παρέλκον ἐστὶ, τὸ γνῶθι σαυτόν; Τοῦτο δὲ μὲν οὔ φησι. Τίς οὖν ἡ δύναμις αὐτοῦ; εἰ χορευτῇ τὶς παρήγγελλε τὸ γνῶναι ἑαυτὸν, οὐκ ἂν ἐν τῇ [n] προστάξει προσεῖχε τῷ ἐπιστραφῆναι;

14.

[a] Sic A. v. Fragm. 175. *Arriani Epictetii de superfluo studio.* Gesner. Simpl. Ἀρριανοῦ Ἐπικτητίου Trinc.

[b] Τί] Οὐ B.

[c] μέλει] μέλλοι Trinc. μέλλει A.

[d] ἀμερῶν] ὁμοιομερῶν Gesnerus teste Schweighæusero. ἀμέτρων Trinc.

[e] ἅ] ἅτινα A. B.

[f] ἀνθρωπίνῃ] τῇ ἀνθ. B.

[g] εἰ δὲ] εἰ δὴ Trinc.

[h] θῇ] θείη conj. Schweighæuserus.

[i] διακενῆς] διὰ κενῆς B.

[k] πράγματα] τὰ πράγματα Tr.

[l] τῷ τῷ] τῷ τοῦ A. Trinc.

[m] τι] τε A. B.

[n] προστάξει—τὸ] προτάξει—τῷ A.

Ib. Gesnerus ad oram ed. primæ adnotaverat: "Græca videntur hic obscura." Tum in exemplo, quo utor, calamo adscripsit, "vel potius mutila." In prima editione idem sic interpretatus erat, *nonne statim jussus se converteret?* in secunda *nonne statim conversus se intueretur?* Et equidem fateor, me græca ista non expedire. Suspicari subierat, προστάξει ex πράξει esse corruptum, quemadmodum passim verba προστάττειν et πράττειν a librariis confusa observavimus: deinde, pro τὸ ἐπιστραφῆναι, τῷ ἐπιστραφῆναι fortasse legendum: sed istæ quidem correctiones rem nondum erant confecturæ. Quod si ante τὸ ἐπιστραφῆναι insertum esset verbum ἐνεῖναι aut aliquod simile, plana sententia foret, *nonne animadverteret, in præcepto illo hoc contineri, ut in se ipse convertatur, ut ad se ipsum animum adtendat.* Schweighæuser.

[b] Πάντες δ' ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι,
ῥηϊδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ· μετὰ δὲ πρέπει ἀγρομένοισι.

## * ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ. ΠΑ.

1 [a] Αἰσχύλου Προμηθέως.

Καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
[b] ἐξηῦρον αὐτοῖς, γραμμάτων δὲ [c] σύνθεσιν,
μνήμην ἁπάντων μουσομητέρ' [d] ἐργάνην.

2 [a] Φιλήμονος.

Ἆρ' ἔστι [b] τοῖς νοσοῦσι χρήσιμος λόγος.
ὡς σπληνίον πρὸς ἕλκος οἰκείως τεθὲν
τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος [c].

[b] πάντες] πάντες δ' A. Trinc. qui h. l. ex Hesiodi Theog. 85. cum superioribus conjungunt.

* De philosophia vide etiam in præcedenti sermone de diis. Cohæret autem hic illi in antigraphis nonnullis tanquam unus sermo. Gesner. Sic A.

1.

[a] Sic A. Scil. v. 458. Simpl. Αἰσχύλου Trinc.

[b] ἐξηῦρον] ἐξεῦρον Arsen.

[c] σύνθεσις] σύνθεσιν B. Arsen. Vulg. habet A. compendiose scriptam.

[d] ἐργάνην] ἐργάτην Gesn. marg. ἐργάτιν Grotius.

2.

[a] Sic Trinc. φιλήτα A. Utrumque lemma conjungit Gesnerus, sic, *Philemonis in Phileta.* v. Cleric. p. 308.

[b] λόγος τοῖς νοσοῦσι χρήσιμος] τοῖς νοσοῦσι χρήσιμος λόγος A. m. sec. B.

Ib. ἄρ' ἔστιν ὁ λόγος] Vulgo erat, ἄρ' ἔστι λόγος. At in *Certamine Menandri et Philistionis,* quod beneficio viri eruditissimi Nicolai Rigaltii prodiit, πάρεστιν ὁ λόγος. Grotius.

[c] εὔκαιρος εἰς τὰ σπλάγχνα κολληθεὶς φίλων Εὐψυχίαν παρέσχε τῷ λυπουμένῳ. Hos duos versus addidimus, utpote cohærentes, ex dicto *Certamine.* Grotius.

3 [a] Εὐριπίδου.

Καὶ τῶν παλαιῶν πόλλ᾽ ἔπη καλῶς ἔχει.
[b] λόγος γὰρ ἐσθλὸς φάρμακον φόβου βροτοῖς. 469

4 [a] Φιλήτα Παιγνίων.

Οὔ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης
αἱρήσει [b] κλήθρην, αἱρόμενος [c] μακέλην·
ἀλλ᾽ ἐπέων εἰδὼς κόσμον, καὶ πολλὰ μογήσας,
μύθων παντοίων οἶμον ἐπιστάμενος.

5 [a] Εὐριπίδου Ἡρακλέους.

Οὐ παύσομαι τὰς Χάριτας
ταῖς Μούσαις [b] συγκαταμιγνὺς
ἡδίσταν συζυγίαν.
μὴ ζώην μετ᾽ [c] ἀμουσίας.

6 [a] Εὐριπίδου Ἀνδρομέδας.

Ὦ τλῆμον, ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς
ἔδωχ᾽ ὁ δαίμων· μέγα φρονοῦσι δ᾽ οἱ λόγοι.

7 [a] Εὐριπίδου Παλαμήδη.

Τὰ τῆς γε λήθης φάρμακ᾽ ὀρθώσας, [b] μόνον
ἄφωνα καὶ [c] φωνοῦντα συλλαβὰς τιθεὶς,
ἐξεῦρον ἀνθρώποισι γράμματ᾽ εἰδέναι.

3.

[a] Sic A. Trinc. Fr. inc. 59.

[b] λόγος γὰρ ἐσθλὸς] λόγου γὰρ ἐσθλοῦ B. Arsen. ἐσθλοῦ A.

4.

[a] Sic A. Φιλήτου Παιγνία Trinc.

[b] κλήθρην] κλήθρης B. Vide Jacobsium in Anthol. T. VI. p. 389.

[c] μακέλην] κακέλην (μ superscr.) Voss. κακέλην A.

5.

[a] Sic A. Scil. v. 675. Simpl. Εὐριπίδου Trinc.

[b] συγκαταμιγνὺς] καταμιγνὺς A.

[c] ἀμουσίας] ἀμουσίαν Trinc.

6.

[a] Sic A. Scil. fr. 15. Deest lemma Trinc.

7.

[a] Sic A. Scil. fr. 2. Deest lemma Trinc.

[b] μόνον] μόνος Grotius et sic B. ἁρμόσας μόνος Hemsterhusius ad Luciani Judic. Vocal. 5. T. I. p. 88.

[c] φωνοῦντα] φωνεῦντα B. φωνῆντα Hemsterhusius, et mox συλλαβάς τε θείς. Hoc item Heathius.

[d] ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ [e] πλακὸς
τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς,
παισίν τ' ἀποθνήσκοντα [f] γραμμάτων μέτρον
[g] γράψαντας εἰπεῖν, τὸν λαβόντα δ' εἰδέναι.
ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις [h] κακὰ,
δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν.

8 [a] Καλλιμάχου δεύτερον.

Καὶ γὰρ ἐγὼ τὰ μὲν ὅσσα καρήατι τῆμος ἔδωκα
ξανθὰ σὺν εὐόδμοις [b] ἁβρὰ λίπη στεφάνοις,
[c] ἄπνοα πάντ' ἐγένοντο παραχρῆμ'· ὅσσα τ' ὀδόντων
ἔνδοθι, νειαίραν τ' εἰς ἀχάριστον ἔδυ,
καὶ τῶν οὐδὲν ἔμεινεν ἐς αὔριον· ὅσσα δ' [d] ἀκουὰς
εἰσεθέμην, ἔτι μοι μοῦνα παρέστι τάδε.

9 [a] Φιλήμονος ἐξ Ἀπόλλωνος.

Οὐχὶ μόνον οὗτος εὗρε πῶς [b] λαλήσομεν
αὐτοῖς, ἀπέχοντες [c] πολὺν ἀπ' ἀλλήλων χρόνον,
οὐδ' ὃν τρόπον μηδέποτε μηδὲ εἷς πάλιν
[d] ἐπιλήσεθ' ἡμῶν μηδὲν, ἐμβλέψας δέ που
τὰκ τοῦ χρόνου τοῦ παντὸς εἴσετ', ἀλλὰ καὶ
ψυχῆς ἰατρὸν κατέλιπε τὰ γράμματα.

[d] ὥστ' οὐ παρόντα — εἰδέναι desunt A.

[e] πλοκὰς] πλακὸς Voss. Arsen. B. Gesn. marg. ὑπερπλοκὰς una voce Trinc.

[f] γραμμάτων] χρημάτων Grotius e Scaligeri correctione.

[g] γράψαντας εἰπεῖν] γράψαντα λείπειν Grotius.

[h] κακὰ] σαφὰ Hemsterhusius, κακὴν Heathius.

8.

[a] Sic A. Leg. forte δευτέρῳ αἰτιῶν. Simpl. Καλλιμάχου Tr. v. Fr. 106.

[b] ἀκραλιπῆ] ἀκραλίπη A. ἁβρὰ λίπη B. ut e conjectura Valckenærius. ἀκραλιφῆ Grotius. στεφάνους Voss.

[c] ἄπνοα] εὔπνοα Voss. Arsen.

[d] ἀκουὰς] ἀκούσας Arsen. ἀκουαῖς Bentl.

9.

[a] Sic A. Trinc. Cleric. pag. 294. ἐξ Ἀπόλιδος. *Ex Exsule* Grotius.

[b] λαλήσομεν] λαλήσετε A.

[c] πολὺν — χρόνον] πολλοὺς — χρόνους Trinc.

[d] ἐπιλήσεθ'] ἐπιλήψεθ' A. Trinc.

10 [a] Ἰσοκράτους Εὐαγόρᾳ.

Ἐγὼ δὲ, ὦ Νικόκλεις, ἡγοῦμαι μὲν εἶναι [b] καλὰ μνημεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας· πολὺ μέντοι πλείονος ἀξίας τῶν πράξεων καὶ τῆς διανοίας, [c] ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειεν.

11 [a] Δημοκρίτου.

Ἰσχυρὸν [b] εἰς πειθῶ λόγος γίγνεται.

12 [a] Σωκράτους.

Ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων, ἐν δὲ τῷ ζῆν ὁ λόγος τοῦ πλούτου.

13 [a] Τοῦ αὐτοῦ.

Ὁ λόγος, ὥσπερ πλάστης ἀγαθὸς, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα.

14 [a] Πλάτωνος ἐκ τοῦ Φιλήβου.

Ἐπειδὴ φωνὴν ἄπειρον κατενόησεν, εἴτε τὶς θεὸς, εἴτε [b] καὶ
θεῖος ἄνθρωπος, ὡς ὁ λόγος ἐν Αἰγύπτῳ [c] Θεὺθ τινὰ τοῦτον
γενέσθαι [d] λέγων, [e] ὃς πρῶτος τὰ φωνήεντα ἐν τῷ ἀπείρῳ
κατενόησεν, [f] οὐχ ἓν ὄντα, ἀλλὰ πλείω· καὶ πάλιν ἕτερα,
φωνῆς μὲν [g] οὒ, φθόγγου δὲ μετέχοντα τινός· ἀριθμὸν δέ
τινα καὶ [h] τούτων εἶναι· τρίτον δὲ εἶδος γραμμάτων διεστή-
σατο, τὰ νῦν λεγόμενα [i] ἄφωνα ἡμῖν· τὸ μετὰ τοῦτο [k] διήρει 470
τά τε ἄφθογγα καὶ ἄφωνα μέχρι [l] καὶ ἑνὸς ἑκάστου, καὶ

10.

[a] Sic A. Simpl. Ἰσοκράτους Tr.
[b] καλὰ μνημεῖα καὶ τὰς om. B.
[c] ἃς ἐν τοῖς λόγοις om. B.

11.

[a] Sic A. Δημοκρά. Trinc. Δημοσθέ. Voss.
[b] εἰς πειθῶ] ἐν πειθοῖ A. B.

12.

[a] Sic A. Trinc.

13.

[a] Sic A. Deest lemma Trinc.

14.

[a] Sic A. Scil. p. 18. Simpl. Πλάτωνος Trinc.
[b] τις] καὶ A. Trinc.
[c] θεὺθ] θεῦ B.
[d] λέγων—γενέσθαι] γενέσθαι λέγων A.
[e] ὃς πρῶτος] ὅστις οὖν καὶ πρῶτος A. B.
[f] οὐχ] οὐχὶ A.
[g] οὒ] ὄντα Gesn. marg.
[h] τούτων] τοῦτον B.
[i] ἄφωνα] ἀφ' ὧν A. Trinc.
[k] διήρει] διήρηταί τε Gesner. marg.
[l] ἑνὸς] καὶ ἑνὸς A. B.

τὰ φωνήεντα, καὶ τὰ μέσα κατὰ τὸν [[m] αὐτὸν] τρόπον, ἕως ἀριθμὸν αὐτῶν λαβὼν [n] ἑνί τε ἑκάστῳ καὶ ξύμπασι στοιχεῖον ἐπωνόμασε. Καθορῶν δὲ ὡς οὐδεὶς ἡμῶν οὐδ' ἂν ἓν αὐτὸ καθ' αὑτὸ ἄνευ πάντων αὐτῶν μάθοι, [o] τοῦτον δὲ δεσμὸν αὖ λογισάμενος ὡς ὄντα ἕνα, καὶ πάντα ταῦτα ἕν πως ποιοῦντα, μίαν ἐπ' αὐτοῖς ὡς οὖσαν γραμματικὴν τέχνην ἐπεφθέγξατο προσειπών.

15 [a] Πλάτωνος ἐκ τοῦ Θεαιτήτου.

Ὀνομάτων γὰρ συμπλοκὴν εἶναι λόγου οὐσίαν. Οὕτω δὴ τὰ μὲν στοιχεῖα ἄλογα καὶ ἄγνωστα εἶναι, αἰσθητὰ δέ· τὰς δὲ συλλαβὰς γνωστάς τε καὶ ῥητὰς, καὶ ἀληθεῖ δόξῃ δοξαστάς. Ὅτ' ἂν μὲν [b] οὖν ἄνευ λόγου τὴν ἀληθῆ δόξαν τινός τις λάβῃ, ἀληθεύειν μὲν αὐτοῦ τὴν ψυχὴν περὶ αὐτὸ, γιγνώσκειν δ' οὔ. Τὸν γὰρ μὴ δυνάμενον δοῦναί τε καὶ δέξασθαι λόγον, ἀνεπιστήμονα εἶναι περὶ τούτου· προσλαβόντα δὲ λόγον, δυνατόν τε [c] ταῦτα πάντα γεγονέναι, καὶ τελέως πρὸς [d] ἐπιστήμην ἔχειν.

16 [a] Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ.

Φέρε δὴ, καθάπερ [b] περὶ τῶν εἰδῶν καὶ τῶν γραμμάτων ἐλέγομεν, περὶ τῶν ὀνομάτων πάλιν ὡσαύτως ἐπισκεψώμεθα· φαίνεται γάρ [c] δὴ ταύτῃ τὸ νῦν ζητούμενον. Τὸ ποῖον οὖν δὴ περὶ τῶν ὀνομάτων ὑπακουστέον; Εἴτε πάντα ἀλλήλοις [d] ξυναρμόττειν, εἴτε μηδὲν, εἴτε τὰ μὲν ἐθέλει, τὰ δὲ μή. Δῆλον τοῦτό γε, ὅτι τὰ μὲν ἐθέλει, τὰ δ' οὔ. Τὸ τοιόνδε [e] λέγεις ἴσως, ὅτι τὰ μὲν ἐφεξῆς λεγόμενα, καὶ δη-

[m] αὐτὸν om. A. Trinc.
[n] ἑνί τε] ἐνίοτε A. Trinc.
[o] τοῦτον δὲ] τοῦτον τὸν Trinc. et mox οὖν pro αὖ.

15.

[a] Sic A. Scil. p. 202. B. Τοῦ αὐτοῦ Trinc.
[b] οὖν om. A. B.
[c] ταῦτα πάντα] πάντα ταῦτα A.
[d] ἐπιστήμην] τὴν ἐπιστήμην B.

16.

[a] Sic A. Scil. p. 261. C. Deest lemma Trinc.
[b] περὶ] ἐπὶ Gesn. marg.
[c] πῃ] δὴ A. Trinc.
[d] ξυναρμόττει] ξυναρμόττειν A. Trinc.
[e] λέγεις] λέγειν Trinc.

λοῦντά τι, ξυναρμόττει· τὰ δὲ τῇ [f] συνεχείᾳ μηδὲν σημαίνοντα, ἀναρμοστεῖ. Πῶς; τί τοῦτ' [g] εἶπες; Ὅπερ ᾠήθην ὑπολαβόντα σὲ προσομολογεῖν· ἔστι γὰρ ἡμῖν που τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων διττὸν γένος. Πῶς; Τὸ μὲν ὀνόματα, τὸ δὲ ῥήματα κληθέν. Εἰπὲ ἑκάτερον. Τὸ μὲν ἐπὶ ταῖς πράξεσι ὂν δήλωμα, ῥῆμά που [h] λεγόμενον. Ναί. Τὸ δέ γε ἐπ' αὐτοῖς τοῖς ἐκείνας πράττουσι σημεῖον τῆς φωνῆς ἐπιτεθὲν, ὄνομα. Κομιδῇ μὲν οὖν. Οὐκ οὖν ἐξ ὀνομάτων μὲν μόνων συνεχῶς λεγομένων οὐκ ἔστι ποτὲ λόγος, οὐδ' αὖ ῥημάτων χωρὶς ὀνομάτων λεχθέντων. Ταῦτ' οὐκ ἔμαθον. Δῆλον γὰρ ὡς πρὸς ἕτερόν τι βλέπων ἄρτι [i] ξυνωμολόγεις· ἐπεὶ [k] τοῦτ' αὐτὸ ἐβουλόμην εἰπεῖν, ὅτι ξυνεχῶς ὧδε λεγόμενα ταῦτ' οὐκ ἔστι λόγος. Πῶς; Οἷον, βαδίζει, τρέχει, καθεύδει, καὶ τἄλλα ὅσα [l] πράξεις σημαίνει ῥήματα, κἂν πάντα τὶς ἐφεξῆς [m] αὐτὰ εἴπῃ, λόγον οὐδέν τι μᾶλλον ἀπεργάζεται. Πῶς γάρ; Οὐκ οὖν καὶ πάλιν ὅτ' ἂν λέγηται, λέων, ἔλαφος, ἵππος, [n] ὅσά τε ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὠνομάσθη, καὶ κατὰ ταύτην δὴ τὴν συνέχειαν οὐδείς πω ξυνέστη λόγος. Οὐδεμίαν γὰρ οὔτε οὕτως [o] οὔτ' ἐκείνως πρᾶξιν οὔτ' ἀπραξίαν, οὐδὲ οὐσίαν ὄντος οὐδὲ μὴ ὄντος δηλοῖ τὰ [p] φωνήεντα, πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ· τότε δ' ἥρμοσέ τε καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη συμπλοκὴ σχεδὸν τῶν λόγων, ὁ πρῶ- 471
τός [q] τε καὶ σμικρότατος. Πῶς [r] ἆρ' ὧδε λέγεις; Ὅτ' ἂν εἴπῃ τὶς, ἄνθρωπος μανθάνει, λόγον εἶναι φῂς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον; Ἔγωγε. Δηλοῖ γὰρ ἤδη που τότε

[f] συντυχίᾳ] συνεχείᾳ A. Gesner. marg.
[g] εἶπες] εἶπας Trinc.
[h] λέγομεν] λεγόμενον A. Trinc.
[i] ξυνομολόγεις] ξυνομολογήσεις A. B.
[k] ταυτὸν] ταυτὸ A. B. ἔπειτ' οὐ ταυτὸν Trinc.
[l] πράξεις] πρᾶξιν B.
[m] αὐτὰ] ταῦτ' Trinc.
[n] ὅσα] ὅσσα B.
[o] οὔτ'] οὐδὲ B.
[p] φωνηθέντα Gesn. marg.
[q] εἰ καὶ] τε καὶ A. Trinc.
[r] ἆρ'] ἂν A. Tr. Mox λέγῃς Tr.

περὶ τῶν ὄντων ἢ γιγνομένων, ἢ γεγονότων, ἢ μελλόντων· καὶ οὐκ ὀνομάζει μόνον, ἀλλά τι περαίνει, συμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι. Διὸ λέγειν τε [[s] καὶ] αὐτὸν, ἀλλ' οὐ μόνον [t] ὀνομάζειν εἴπομεν· καὶ δὴ καὶ τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐπεφθεγξάμεθα λόγον. Ὀρθῶς. Οὕτω δὴ καθάπερ τὰ πράγματα, [u] τὰ μὲν ἀλλήλοις ἥρμοττε, τὰ δ' οὔ· καὶ περὶ τὰ τῆς φωνῆς αὖ σημεῖα τὰ μὲν οὐχ ἁρμόττει, τὰ δὲ ἁρμόττοντα αὐτῶν λόγον ἀπειργάσατο. Παντάπασι μὲν οὖν.

17 [a] Ἐκ τῆς Ἰαμβλίχου Ἐπιστολῆς πρὸς Δέξιππον περὶ διαλεκτικῆς.

Θεὸς ἦν τις ὡς ἀληθῶς ὁ καταδείξας τὴν διαλεκτικὴν καὶ καταπέμψας [b] τοῖς ἀνθρώποις, ὡς μὲν λέγουσι τινὲς, ὁ λόγιος Ἑρμῆς, ὁ φέρων ἐν ταῖν χεροῖν τὸ σύνθημα αὐτῆς τῶν εἰς ἀλλήλους ἀποβλεπόντων δρακόντων· ὡς [c] ἀεὶ δεδοκιμασμένοι καὶ πρόκριτοι τῶν ἐν φιλοσοφίᾳ διατείνονται, ἡ τῶν Μουσῶν πρεσβυτάτη Καλλιόπη τὴν ἄπταιστον ἀσφάλειαν τοῦ λόγου καὶ ἀνέλεγκτον [d] αἰδοῖ μειλιχίῃ διαπρέπουσαν παρέσχηκεν· ὡς δὲ τὰ ἔργα αὐτὰ δείκνυσιν, αὐτὸς ὁ ἐν Δελφοῖς θεὸς, οὔτε λέγων, καθ' Ἡράκλειτον, οὔτε κρύπτων ἀλλὰ σημαίνων τὰς μαντείας, ἐγείρει πρὸς διαλεκτικὴν διερεύνησιν τοὺς ἐπηκόους τῶν χρησμῶν, ἀφ' ἧς ἀμφιβολία τε καὶ ὁμωνυμία ἐκρίθησαν· καὶ διττὸν πᾶν ἀνερευνηθὲν φῶς ἐπιστήμης [e] ἀνῆψεν· ὃ κατιδὼν καὶ Θεμιστοκλῆς καλῶς, [f] καὶ διερευνήσας δεόντως τὸ ξύλινον τεῖχος, αἴτιος ἀναμφισβητήτως κατεστη τῆς σωτηρίας τοῖς Ἕλλη-

[s] καὶ om. A. Trinc.
[t] ὀνομάζειν] ὀνομάζει A. B.
[u] τὰ om. B.

17.

[a] Sic A. et Trinc. ubi om. περὶ διαλεκτικῆς.
[b] ἀνθρώποις] τοῖς ἀνθρώποις A. B.
[c] ὡς] Addo δὲ οἱ. GESNER.
[d] αἰδοῖ] Hesiod. Theog. 92.
[e] ἀνῆψεν ὃ] ἀνῆψεν· ὃ A. ἀνῆψαν· ὃ B.
[f] διερευνήσας] καὶ διερ. A. B. καὶ post δι. addit Gesnerus.

σιν. Ἀδελφὰ δὲ τούτων καὶ ὁ ἐν [g] Βραγχίδαις θεὸς ἐκβαίνει τῆς διαλεκτικῆς ἔργα, περιφανῆ τὴν ἐπαγωγὴν παραδηλῶν, ὅτ' ἂν λέγῃ· οὔτ' ἂν ὠκυπέτης ἰὸς, οὔτε λύρη, οὔτε ναῦς, οὔτ' ἄλλο οὐδὲν ἄνευ ἐπιστημονικῆς χρήσεως γένοιτ' ἄν ποτε ὠφέλιμον.

18 [a] Ἐκ τῆς Ἰαμβλίχου ἐπιστολῆς πρὸς Σώπατρον περὶ διαλεκτικῆς.

Πάντες ἄνθρωποι χρῶνται τῷ διαλέγεσθαι, ἔμφυτον ἐκ νέων ἔχοντες τήνδε τὴν δύναμιν, καὶ μέχρι τινὸς, οἱ μὲν μᾶλλον οἱ δὲ ἧττον αὐτῆς μετέχοντες. Τὸ δὴ τῶν θεῶν δῶρον οὐδένα τρόπον δεῖ προΐεσθαι· αλλὰ καὶ ἐν μελέταις, καὶ ἐμπειρίαις, καὶ τέχναις, αὐτὸ κρατύνειν ἄξιον. Ὅρα γὰρ ὅτι καὶ παρ' ὅλον τὸν βίον διατελεῖ χρησιμώτατον ὂν διαφερόντως, ἐν μὲν ταῖς ἐντεύξεσι προσομιλοῦν τοῖς ἀνθρώποις κατὰ τὰς κοινὰς ἐννοίας καὶ δόξας· ἐν δὲ ταῖς εὑρέσεσι τῶν τεχνῶν τὰς πρώτας ἀρχὰς αὐτῶν ἀνευρίσκον· λογιζόμενον δὲ πρὸ τῶν ἔργων, ὅπως αὐτὰ χρὴ πράττειν· προγυμνασίαν δὲ καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας θαυμασίας οἵας μεθόδους παρεχόμενον. Εἰ δὲ δεῖ καὶ τὰ πρὸ τούτων ἐννοεῖν, οὐκ ἔστιν οὐδὲν μόριον φιλοσοφίας ἄνευ τοῦ κατὰ διαλεκτικὴν λόγου παραγιγνόμενον· ἀλλὰ καὶ εἴ τι φυσικὸν δόγμα ἀνευρίσκομεν, λογικῶς αὐτὸ βεβαιούμεθα, καὶ ὅσα περὶ θεῶν σκεπτόμεθα, λόγος διαλεκτικός ἐστιν ὁ συγκατασκευάσας, ὅλως δὲ οὐδὲν οὔτε εἰπεῖν οὔτε ἀκοῦσαι δυνατὸν ἀπαλλαγέντας τῆς μεθόδου 472
ταύτης· καὶ γὰρ αὐτὸ τὸ μὴ [[b] χρῆναι] διδάσκειν διαλεκτικὴν διαλεκτικῶς ἐπιχειροῦντας δεῖ καταμανθάνειν.

[g] βραγχίδῃ] βραγχίδαις B. Hoc vel βραγχίδῃσι restituendum docet Wesselingius in Herodot. I. 92. βραγχίδι Trinc.

18.
[a] Sic A. Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Σώπατρον ἐπιστολῆς Trinc.
[b] χρῆναι om. A. Trinc.

Εἴτε οὖν ἐπιτηδευτέον, εἴτε μὴ, διαλεκτικὴν [c] ἀσκεῖν· καὶ γάρ ἐστιν ἄτοπον, [d] εἰ τὰ μὲν ἄλλα πάντα λόγῳ κρίνομεν, αὐτὴν δὲ ἀφήσομεν τὴν [e] ἀκριβεστάτην τοῦ λόγου θεωρίαν· καὶ λόγῳ προέχοντες τῶν ἄλλων ζώων, καὶ τοῦτο ἐξαίρετον ἀγαθὸν κεκτημένοι τῆς [f] ἀνθρωπείας φύσεως, εἰκῆ καὶ ὡς ἔτυχε [g] κατ' αὐτὸν ἐνεργήσομεν· καὶ τὴν συμμεμιγμένην [h] διάσκεψιν τοῦ λόγου πρὸς τὰ [i] ἄλλα ὅλα πράγματα ἀγαπῶμεν, αὐτὴν δὲ τὴν ἑαυτοῦ γνῶσιν τοῦ λόγου, καθ' ἣν ἀφέμενος τῶν ἄλλων τὴν περὶ [k] αὐτοῦ ἐπιστήμην κατεστήσατο σεμνοτάτην οὖσαν καὶ τιμιωτάτην, ὡς μαρτυρεῖ καὶ τὸ ἐν Πυθοῖ γράμμα, [l] ἀποδοκιμάσομεν ὡς ἀπόβλητον.

19 [a] Ἐν τῷ αὐτῷ.

Μετίωμεν δὴ οὖν ἐπὶ τὰς κατὰ φιλοσοφίαν διατριβάς. Πασῶν πρῶταί εἰσιν αἱ πρὸς ἀνάμνησιν ἀναγόμεναι, ταύτας δὴ οὖν καὶ ὁ Σωκράτης ἐπιδεικνύει τῷ Μένωνι, διὰ τοῦ καλῶς ἐρωτᾶν [b] ὁρώμεναι καὶ φαινόμεναι· δεύτεραι δ' ἂν εἶεν, αἱ [c] μαιείας ἕνεκα προσαγόμεναι, καὶ τὰ γεννηθέντα εἰς φῶς προάγουσαι, καὶ διακρίνουσαι τίνα μὲν αὐτῶν ἀληθῆ, τίνα δὲ ψευδῆ. Ἀλλὰ καὶ [d] αὗται πᾶσαι διὰ τῆς διαλεκτικῆς τὸ κῦρος ἔχουσιν· ἐπειδὴ αὗταί εἰσιν αἱ

[c] ἀσκεῖν] δίκαιον ἀσκεῖν B.

[d] εἰ τὰ μὲν ἄλλα πάντα λόγῳ κρίνομεν, αὐτὴν δὲ ἀφήσομεν] εἴτε μὲν ἢ πάντα λόγον κ. ἀφήσομεν αὐτὴν τ. A. B. εἰ τε μεν η πάντα λόγῳ κ. Trinc.

[e] ἀκριβεστάτην] ἀκριβεστάτην οὖσαν B.

[f] ἀνθρωπείας] ἀνθρωπίνης A. B.

[g] κατ' αὐτὸν] κατὰ ταυτὸν (καὶ οὐ) A. καὶ οὐ κατ' αὐτὸν B.

[h] διάσκεψιν τοῦ λόγου] τοῦ λόγου διάσκεψιν B. πρὸς τὰ ἄλλα — λόγου om. Trinc.

[i] ἄλλα om. A. B.

[k] αὐτοῦ] αὐτὸν Gesn. marg. A. ex em. sed, ut videtur, p. m. αὐτῶν Trinc.

[l] ἀποδοκιμάσοιμεν] ἀποδοκιμάσομεν A. Trinc.

19.

[a] Sic A. Τοῦ αὐτοῦ Trinc.

[b] ὁρῶμεν ἐκφαινόμεναι] Gesnero ὁρῶμεν abundare videtur: mihi scribendum ὁρώμεναι καὶ φαινόμεναι. Koen. Gregor. Dial. Ion. CXXIX.

[c] με*ῖας] μαιΐας A. B. Sine ope codicum μαιείας legendum vidit Porsonus. μελέτης καὶ θεωρίας Gesnerus.

[d] αὗται] ταύταις A. B.

διὰ τῶν ἐλέγχων [e] καθάρσεις τῆς διανοίας, παρατιθεῖσαι τἀναντία δοξάσματα τῶν προσδιαλεγομένων καὶ συγκρούουσαι αὐτὰ πρὸς ἄλληλα. Ἄλλαι δὲ πείρας ἕνεκα καὶ γυμνασίας προσφερόμεναι [f] τοῖς ἐπηκόοις, ἢ ὅσαι εἰς θέσιν ἐπιχειροῦσιν, ἢ εἴ τινες ἐξετάζουσι τὰς τῶν παλαιῶν ἀκροάσεις· ὧν οὐδεμία [g] ἄνευ διαλεκτικῆς περαίνει τὸ ἑαυτῆς ἔργον. Ὅλως δὲ οὐχ οἷόν τε λόγον διδόναι καὶ λαμβάνειν δεόντως, εἰ μή τις κτήσαιτο ταύτην τὴν περὶ τὸν λόγον ἐπιστήμην.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ * ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ. ΠΒ.

1 [a] Εὐριπίδου Ἱππολύτῳ.

Φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν
φωνὴν, [b] ἵν' ὦσι μηδὲν οἱ δεινοὶ λόγοι.
νῦν δ' [c] εὐρύθμοισι στόμασι τἀληθέστατα
κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.

2 [a] Εὐριπίδου Ἀντιόπη.

Ἐκ παντὸς ἄν τις πράγματος [b] δισσῶν λόγων
ἀγῶνα θεῖτ' ἂν, εἰ λέγειν εἴη σοφός.

3 [a] Εὐήνου.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,

[c] καθάρσεις] Forte καθαιρομένης. Alias καθάρσει. Gesner.

[f] τοῖς ἐπικόοις] πρὸς τοὺς ἐπηκόους A. B. τοῖς ἐπηκόοις Trinc. Mox f. ὅσοι. Deinde ἀκροάσει Trinc.

[g] ἄνευ om. A. Trinc.

* περὶ γραμμάτων om. A.

1.

[a] Sic A. Scil. fr. 9. Simpl. Εὐριπίδου Trinc.

[b] ἵν' ὦσι] Legendum ἵν' ἦσαν μ. οἱ δεινοὶ λέγειν e Plutarcho II. p. 802. A. docet Valckenærius Diatr. p. 148.

[c] εὐρύθμοις πιστώμασι] εὐρόοισι στόμασι e Clemente Alex. citat Grotius in ms. et post eum Valckenærius, cui in mentem venerat εὐρύθμοισι στόμασι, Diatrib. Eurip. p. 148.

2.

[a] Sic A. Scil. fr. 28. Deest lemma Trinc.

[b] δίσσων λόγων] δίσσοιν λόγοιν Grotius e Scaligeri emendatione. Vulgatum habet Athenæus XV. p. 677. E. Videatur Valckenærius Diatr. p. 82.

3.

[a] Sic A. Trinc.

ὀρθῶς δ' ἀντιλέγειν οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος [b] εἷς ὁ παλαιὸς,
σοὶ μὲν ταῦτα δοκοῦντ' ἐστὶν, ἐμοὶ δὲ τάδε.

4 Ἀρκεσίλαος ὁ φιλόσοφος ἔφη, Τοὺς διαλεκτικοὺς ἐοικέναι τοῖς ψηφοπαίκταις, οἵ τινες χαριέντως παραλογίζονται.

5 [a] Ζήνωνος.

Ζήνων τὰς τῶν διαλεκτικῶν τέχνας εἴκαζε τοῖς [b] εἰκαίοις μέτροις οὐ πυρὸν οὐδ' ἄλλό τι τῶν σπουδαίων μετροῦσιν, 473 ἀλλ' ἄχυρα καὶ κόπρια.

6 [a] Πυθαγόρου.

Κενὸς ἐκείνου φιλοσόφου λόγος, ὑφ' οὗ μηδὲν ἀνθρώπου πάθος θεραπεύεται. Ὥσπερ γὰρ ἰατρικῆς οὐκ ὄφελος μὴ τὰς νόσους ἐκβαλλούσης ἀπὸ τῶν σωμάτων· οὕτως οὐδὲ φιλοσοφίας, εἰ μὴ τὸ τῆς ψυχῆς κακὸν [b] ἐκβάλλοι.

7 [a] Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.

Οἱ ἐν διαλεκτικῇ βαθύνοντες ἐοίκασι καρκίνους [b] μασωμένοις, οἳ δι' ὀλίγον τρόφιμον περὶ πολλὰ ὀστᾶ ἀσχολοῦνται.

8 [a] Ἀντισθένους.

Οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν· οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται.

9 [a] Κλεάνθους.

Κλεάνθης ἐρωτώμενος διὰ τί παρὰ τοῖς ἀρχαίοις οὐ πολλῶν φιλοσοφησάντων ὅμως πλείους διέλαμψαν ἢ νῦν, Ὅτι, εἶπε, τότε μὲν ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος.

[b] ὡς ὁ παλαιὸς] ὡς ἀπαλαιὸς A. εἷς ὁ π. Grotius ex Athenæo IX. p. 367. E. unde et tertium distichon deprompsit.

5.

[a] Sic A. Deest lemma Trinc.

[b] δικαίοις] εἰκαίοις B. Post μέτροις excidit οἷς.

6.

[a] Sic A. Trinc.

[b] ἐκβάλλῃ] ἐκβάλλοι A. B.

7.

[a] Sic A. Ἐκ τῶν Ἀρίστωνος Tr. v. Menag. Diog. Laert. VII. 161.

[b] μασσωμένοις] μασωμένοις A.

8.

[a] Sic A. Trinc.

9.

[a] Sic A. Deest lemma Trinc. v. Menag. Diog. Laert. VII. 171.

10 [a] Ἐκ τῶν Σερήνου ἀπομνημονευμάτων.

Διαλεκτικὴν δὲ φεῦγε, συγκυκᾷ τἄνω κάτω.

11 [a] Ἀρίστωνος.

Ἀρίστων ἔλεγεν ἐοικέναι τὴν διαλεκτικὴν τῷ ἐν ταῖς ὁδοῖς πηλῷ· πρὸς οὐδὲν γὰρ οὐδ᾽ ἐκεῖνον χρήσιμον ὄντα καταβάλλειν τοὺς βαδίζοντας.

12 [a] Θεοκρίτου.

Θεόκριτος πρός τινα διαλεκτικὸν [b] συντεταμένως αὐτῷ καὶ ἐριστικῶς ἀποκρινόμενον, ἔφη,

[c] Ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ᾽ ἀνθρώπων ἀπόλοιτο.

13 [a] Καρνεάδου.

Καρνεάδης τὴν διαλεκτικὴν ἔλεγε πολύποδι ἐοικέναι· καὶ γὰρ ἐκεῖνον αὐξηθείσας τὰς πλεκτάνας κατεσθίειν, καὶ [b] τούτους προϊούσης τῆς δυνάμεως καὶ τὰ σφέτερα ἀνατρέπειν.

14 [a] Κλειτομάχου.

Κλειτόμαχος εἴκαζε τὴν διαλεκτικὴν τῇ σελήνῃ· καὶ γὰρ ταύτην οὐ [b] παύεσθαι φθίνουσαν καὶ αὐξομένην.

15 [a] Ἀρίστωνος.

[b] Ἀρίστων τοὺς λόγους τῶν διαλεκτικῶν τοῖς τῶν ἀραχνίων ὑφάσμασιν εἴκαζεν, οὐδὲν μὲν χρησίμους, λίαν δὲ τεχνικούς.

16 [a] Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.

Ὁ ἐλλέβορος ὁλοσχερέστερος μὲν ληφθεὶς καθαίρει, εἰς

10.

[a] Sic A. ubi Σερίνου. Deest locus Trinc.

11.

[a] Sic A. Deest lemma Trinc. Pro καταβάλλειν Menag. Diog. Laert. VII. 161. καταπάσσειν.

12.

[a] Sic A. Deest lemma Trinc.
[b] συντεταμένως] συντεταγμένως Tr.
[c] Homer. Il. Σ. 107.

13.

[a] Sic A. Deest lemma Trinc.

ταύτην
[b] τούτους] τωτοῖς A. B.

14.

[a] Sic A. Deest lemma Trinc.
[b] παύεσθαι] παύσεσθαι A. m. p. οὐ om. Trinc. cum lacuna.

15.

[a] Sic A. Deest lemma Trinc.
[b] Ἀρίστων τ. λ. τ. δ.—εἴκαζεν] Τοὺς λόγους τῶν διαλεκτικῶν εἴκαζεν ὁ Ἀρίστων A. εἴκαζε post διαλεκτικῶν B. omittit Trinc.

16.

[a] Sic A. Deest lemma Trinc.

δὲ πάνυ [b] μικρὰ τριφθεὶς πνίγει· οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία.

## ΟΠΟΙΟΥΣ ΤΙΝΑΣ ΧΡΗ ΕΙΝΑΙ ΤΟΥΣ ΠΑΤΕΡΑΣ ΠΕΡΙ ΤΑ ΤΕΚΝΑ, ΚΑΙ ΟΤΙ ΦΥΣΙΚΗ ΤΙΣ ΑΝΑΓΚΗ ΑΜΦΟΤΕΡΟΥΣ ΕΙΣ ΔΙΑΘΕΣΙΝ ΑΓΕΙ. ΠΓ.

1 [a] Μενάνδρου.

Οὐκ ἔστ᾽ ἄκουσμ᾽ ἥδιον, ἢ ῥηθεὶς λόγος
πατρὸς πρὸς υἱὸν περιέχων ἐγκώμιον.

2 [a] Τοῦ αὐτοῦ.

Οὐδέποτ᾽ ἀληθὲς οὐδὲν οὔθ᾽ υἱῷ πατὴρ
εἴωθεν ἀπειλεῖν, οὔτ᾽ ἐρῶν ἐρωμένῃ.

3 [a] Εὐριπίδου Μελανίππῃ.

Ὅστις δ᾽ [b] ἀμείλικτον πατέρ᾽ ἔχει νεανίας
στυγνόν τ᾽ ἐν οἴκοις, μεγάλα κέκτηται κακά.

4 [a] Μενάνδρου.

Ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν,
τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ᾽ ἔργοις πατήρ.

5 [a] Τοῦ αὐτοῦ.

Υἱῷ προθύμως τἀξιούμενον ποιῶν,
κηδεμόν᾽ ἀληθῶς οὐκ ἔφεδρον ἕξεις [b] βίου. 474

6 [a] Εὐριπίδου Ἀλκμήνῃ.

[b] Δεινόν τι τέκνων φίλτρον ἔθηκεν
θεὸς ἀνθρώποις.

[b] μικρὰ] σμικρὰ A.

1.

[a] Sic A. Trinc. Cleric. p. 238.

2.

[a] Sic A. Deest lemma Trinc. Cleric. ib.

3.

[a] Sic A. Scil. fr. 13. Deest lemma Trinc.

[b] ἀμείλικτον] ἄμικτον conj. Heathius.

4.

[a] Sic A. Cleric. p. 238. Deest lemma Trinc.

5.

[a] Sic A. Cleric. ib. Deest lemma Trinc.

[b] βίου] τοῦ βίου A. Trinc.

6.

[a] Sic A. Scil. fr. 6. Simpl. Εὐριπίδου Trinc.

[b] Sunt Anapæsti. In iambos mutavit Grotius, Δεινόν τι τέκνων φίλτρον ἀνθρώποις θεὸς Ἔθηκε.

7 [a] Μενάνδρου Συναριστώσαις.

Πατὴρ δ' ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον. [b]

8 Θεοδέκτου.

Γονέων τὰ τέκνα σώζουσιν αἱ συμβουλίαι.

9 Φιλήμονος.

Ἡδύ γε πατὴρ τέκνοισιν εἰ στοργὴν ἔχοι.

10 [a] Μενάνδρου.

Ἡδὺς πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.

11 [a] Τοῦ αὐτοῦ.

Υἱὸς δ' ἀμείνων ἐστὶν εὐνοίᾳ πατρός.

12 [a] Τοῦ αὐτοῦ.

Οὐ λυποῦντα [b] δεῖ
παιδάριον ὀρθοῦν, ἀλλὰ καὶ πείθοντά τι.

13 [a] Μενάνδρου.

Ὡς ἡδὺ πρᾶος καὶ νεάζων τῷ τρόπῳ
πατήρ.

14 [a] Χαιρήμονος.

Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

15 [a] Ἱπποθόου.

Παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς.

16 [a] Εὐριπίδου Δίκτυϊ.

Πατέρα τε παισὶν ἡδέως συνεκφέρειν

7.

[a] Sic A. Cleric. p. 168. Deest lemma Trinc.

[b] Post h. v. quæ sequuntur duo fragmenta addidit Grotius ex A. ubi τέκνοις non τέκνοισιν.

8.

[a] Sic A. Deest locus Trinc.

9.

[a] Sic A. Deest locus Trinc.

10.

[a] Sic A. Cleric. p. 238. Deest lemma Trinc.

11.

[a] Sic A. Cleric. ib. Deest lemma Trinc.

12.

[a] Sic A. Μενάνδρου Trinc. Cleric. ib.

[b] δεῖ] μάλα δεῖ A. B.

13.

[a] Sic A. Cleric. ib. Deest locus Trinc.

14.

[a] Sic A. Trinc.

15.

[a] Sic A. Trinc.

16.

[a] Sic A. Scil. fr. 7. Simpl. Εὐριπίδου Trinc.

[b] φίλους [c] ἔρωτας [d] ἐκβαλόντ' αὐθαδίαν,
παῖδάς τε πατρί· καὶ γὰρ οὐκ αὐθαίρετοι
βροτοῖς ἔρωτες, οὐδ' ἑκουσία νόσος.
σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ,
θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει.

17 [a] Ἐν τῷ αὐτῷ.

Εἷς γάρ τις ἐστὶ κοινὸς ἀνθρώποις νόμος,
καὶ θεοῖσι τοῦτο δόξαν, [b] ὡς σαφῶς λέγω,
θηρσίν τε πᾶσι [c] τέκνα τίκτουσιν φιλεῖν.
τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.

18 [a] Ἐν τῷ αὐτῷ.

Ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνον,
παισίν τε τοὺς τεκόντας, οὐδὲ συμμάχους
ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους.

19 [a] Ἀντιφάνους.

Υἱῷ γὰρ ἀγαπητῷ τι πράττων πρὸς χάριν,
ἔρανον ἐμαυτῷ τοῦτον οἴομαι φέρειν.

20 [a] Ἀναχάρσιδος.

Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς διὰ τίνα αἰτίαν οὐ [b] παιδοποιεῖ, ἔφη, Διὰ φιλοτεκνίαν.

21 [a] Εὐριπίδου ἐν Δίκτυϊ.

Ὄντων δὲ παίδων καὶ πεφυκότος γένους,
καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,
ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις.

[b] φίλους] φίλος A. B. φαύλους conj. Toupius.

[c] ἔρωτας] ἔρωτας (ἔρωτος superscr.) B.

[d] ἐκβάλλοντ'] ἐκβαλόντ' conj. Gesnerus, recepit Grotius. Idem αὐθαδίαν pro αὐθάδειαν.

17.

[a] Sic A. Scil. fr. 8. Deest lemma Trinc.

[b] ὃ σαφῶς] ὡς σαφῶς Grotius.

[c] τέκνα] τέκν' ἃ B.

18.

[a] Sic A. Deest lemma Trinc. *Incerto* tribuit Grotius.

19.

[a] Sic A. Deest locus Trinc.

20.

[a] Sic A. Deest lemma Trinc.

[b] παιδοποιεῖ] τεκνοποιεῖ B.

21.

[a] Sic A. Scil. fr. 9. Simpl. Εὐριπίδου Trinc.

22 [a] Σωκράτους.

Πατρὸς ἐπιτίμησις, ἡδὺ φάρμακον· ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ [b] ἐπιδάκνοντος.

23 [a] Διογένους.

Διογένης ἐρωτηθεὶς [b] τὸ πῶς δεῖ πατέρας καὶ υἱοὺς ἀλλήλοις προσφέρεσθαι, [c] φησὶν, Εἰ μὴ περιμένοιεν αἰτηθῆναι ὑπ᾽ ἀλλήλων, ἀλλὰ διδόντες φθάνοιεν. Ἐπιεικῶς δ᾽ ὁ πατὴρ διὰ τὸ προευεργετηκέναι, εἰ μὴ εὖ [d] πάσχοι, ταχέως ἄχθεται· ὁ δὲ υἱὸς ἐντρυφᾷ, καὶ οὐκ ἀξιοῖ αἰτεῖν.

24 [a] Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς.

Εὖ ἴστε, ὦ ἄνδρες, ὅτι ὁ φιλότεκνος ἀξιέπαινον πάθος ἐστί· καὶ οὐκ ἔοικε τῷ φιλοχρηματῳ, ἢ τῷ φιλαργύρῳ. Ἐκεῖνα μὲν γὰρ τὰ ὀνόματα εἰκότως παρὰ τοῖς ἀνθρώποις ὀνείδη λέγεται, καὶ ἔστιν· οὐ γὰρ ποιεῖ αὐτὰ ἡ φύσις, ἀλλ᾽ ἡ μοχθηρία ἡ ἡμετέρα. Τοῦτο δὲ ἄνωθεν αὐτῇ [b] ἐνδέδεται ἐκ τοῦ οὐρανοῦ, καὶ ἐξῆπται ἐκείνης ἀτεχνῶς τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, [c] ἣν ξυρράπτουσα ἀεὶ καὶ ξυγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον, οὐκ [d] ἀπολισθάνει εἰς τὸ μὴ εἶναι. 475
Ὥστε οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ.

25 [a] Δημοκρίτου.

Τοῖς παισὶ μάλιστα χρὴ τῶν [b] ἀνύστων δατεῖσθαι τὰ χρήματα, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μήτι [c] ἀτηρόν τι ἔωσι

22.

[a] Sic A. Trinc.

[b] δάκνοντος] ἐπὶ δάκνοντος A.

23.

[a] Sic A. Deest locus Trinc.

[b] τὸ] om. A.

[c] φησὶν] εἶπεν B.

[d] πάσχῃ] πάσχοι A. B.

24.

[a] Sic A. Trinc. Scil. p. 363. D.

[b] ἐνδέδεται] ἐνδέδοται Themist. ed.

[c] ἣν] F. ᾗ. Themist. ed. δι᾽ ἧς.

[d] ἀπολισθαίνει] ἀπολισθάνει A. B. ἀπολισθαίνειν ἐᾷ ed. Themist. Ἡ φύσις addit Gesnerus.

25.

[a] Sic Trinc. Deest locus A. B.

[b] ἀνύστων] Forte ξυνῶν. Gesn. Vulg. bene defendit Orellius.

[c] ἀτηρόν τι ἔωσι] ἀτηρὸν ποιέωσι Wakefieldus.

διὰ χειρὸς ἔχοντες. Ἅμα μὲν γὰρ [d] πολλῷ φειδότεροι [e] γίγνονται ἐς τὰ χρήματα, καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν. Ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα οὐκ ἀνιᾷ, ὥσπερ ἰδίῃ· [f] οὐκ εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧσσον.

26[a] Ἔξεστιν οὐ πολλὰ τῶν [b] σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας, καὶ [c] τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.

27 [a] Πλάτωνος.

Ἦ περὶ σμικροῦ οἴεσθε νυνὶ κινδυνεύειν καὶ σὺ καὶ Λυσίμαχος, ἀλλ' οὐ περὶ τούτου τοῦ κτήματος ὃ τῶν ὑμετέρων μέγιστον ὂν τυγχάνει; υἱέων γάρ που ἢ χρηστῶν, ἢ τἀναντία γενομένων, καὶ πᾶς ὁ οἶκος ὁ τοῦ πατρὸς οὕτως οἰκήσεται, ὁποῖοι ἄν τινες οἱ παῖδες γένωνται. Ἀληθῆ λέγεις. Πολλὴν ἄρα δεῖ προμήθειαν αὐτοῦ ἔχειν.

28 [a] Γαΐου ἐκ τοῦ κατὰ Ἀρτεμισίου.

Ἀλλ' ὅτ' ἂν [b] ἦ σωφροσύνη τὸ κρινόμενον, πάντες μὲν οἱ πρεσβύτεροι πατέρες, πάντες δὲ συγγενεῖς οἱ νεώτεροι, πᾶσαι δὲ αἱ κυήσασαι πώποτε μητέρες. Τὸ γὰρ κοσμίους εἶναι τοὺς παῖδας καὶ σώφρονας μίαν καὶ κοινὴν ἁπάντων ἔχει συγγένειαν.

29 [a] Ξενοφῶντος ἐκ τῆς πρὸς Κρίτωνα ἐπιστολῆς.

Εὖ γὰρ ἴσθι Σωκράτην πρὸς ἡμᾶς πολλάκις εἰπόντα, ὅτι οἱ τῶν υἱέων ἵνα πολλὴν [b] μὲν ἔχωσιν οὐσίαν φροντίζοντες, ἵνα δὲ καλοὶ κἀγαθοὶ γένωνται ἀμελοῦντες, ἴσον πεπόνθασι

[d] πολλῶν] πολλὸν Wakefieldus. πολλῷ Orellius. φειδωλότεροι Gesnerus pro φειδότεροι.

[e] γίγνωνται] γίγνονται Trinc.

[f] οὐκ] καὶ addit Gesnerus.

26.

[a] Deest lemma Trinc. locus A.

[b] σφετέρων] σφέτερον Trinc.

[c] τεῖχος τε] τειχός τι Orellius.

27.

[a] Sic Trinc. Scil. Lachet. pag. 185. A. Deest locus A.

28.

[a] Sic A. Simpl. Γαΐου Trinc.

[b] ἦ] ἡ A. Gesner. marg.

29.

[a] Sic A. Trinc.

[b] μὲν om. A. B.

τοῖς ἱπποτροφοῦσι, καὶ τὰ μὲν πολεμικὰ οὐ διδάσκουσι, τροφὴν δὲ παμπόλλην [c] παρεχομένοις· οὕτω γὰρ [d] πιοτέροις μὲν τοῖς ἵπποις χρήσονται, ἀπείροις δὲ ὧν χρή· εἶναι γὰρ ἵππου ἀρετὴν, οὐ τὴν εὐσαρκίαν, τὴν δὲ κατὰ πόλεμον εὐτολμίαν καὶ ἐμπειρίαν. Τὰ αὐτὰ δ' οὖν ἐξαμαρτάνειν καὶ τοὺς γῆν πολλὴν κτωμένους τοῖς υἱέσιν, αὐτῶν δὲ μὴ ἐπιμελομένους· ἃ γὰρ κεκτήσονται, πολλοῦ ἄξια [e] νομισθήσεται, αὐτοὶ δὲ ὀλίγου· προσήκει δὲ τὸ φυλάττον τοῦ κτηθέντος [f] ἀξιοτιμότερον εἶναι. Καὶ τοίνυν ὁ τὸν ἑαυτοῦ παῖδα πολλοῦ ἄξιον ἀποδείξας, κἂν ὀλίγα καταλίπῃ, πολλὰ ἔδωκε· γνώμῃ γὰρ ἢ πλείω ἢ ἐλάττω γίγνεται [g] ἀγαθῇ μὲν ἔμμετρα, [h] ἐκμελεῖ δὲ καὶ ἀπαιδεύτῳ ὀλίγα. Σὺ δὲ οὐδὲν πλείω τῶν ἀναγκαίων παρέχεις, [i] ἃ τοῖς μὲν διὰ παιδεύσεως ἰοῦσιν ἀναγκαῖά τε καὶ πλούσια νομίζεται· τοῖς δ' ἀμαθέσι τὸ μὲν ἀλγεινὸν τῆς σαρκὸς ἐκλύει, τὴν δὲ περὶ τοῦ μέλλοντος δυσελπιστίαν οὐ μειοῖ.

## ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Η ΦΙΛΑΔΕΛΦΙΑ, ΚΑΙ Η ΠΕΡΙ ΤΟΥΣ ΣΥΓΓΕΝΕΙΣ ΔΙΑΘΕΣΙΣ, ΚΑΙ ΟΤΙ ΑΝΑΓΚΑΙΟΙ. ΠΔ. 476

1 [a] Μενάνδρου.

Ὡς ἡδύ γ' ἐν [b] ἀδελφοῖς ἐστιν ὁμονοίας ἔρως.

2 [a] Εὐριπίδου.

Τὸν τῇ φύσει
οἰκεῖον, οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ.

[c] παρεχομένοις. οὕτω] παρεχομένους. οὗτοι B. παρεχομένους Trinc.

[d] πιοτέροις] προτέροις Trinc.

[e] νομισθήσονται] νομισθήσεται A. Supra πολλὰ Trinc.

[f] ἀξιοτιμώτερον] ἀξιοτιμότερον A.

[g] ἀγαθῇ] ἀγααῖ A.

[h] ἐκμελεῖ] ἐμμελεῖ B.

[i] ἃ τοῖς] αὐτοῖς Trinc.

1.

[a] Sic A. Trinc. Cleric. p. 240

[b] ἀδελφοῖς ἐστιν] ἀδελφοῖσιν B. ut Grotius.

2.

[a] Sic Trinc. Pertinet forte lemma ad locum sequentem, ut hæc sententia sit Menandro tribuenda. Deest locus A.

3 [a] Εὐριπίδου Ἰφιγενεία.

Δεινὸν κασιγνήτοισι γίγνεσθαι λόγους
[b] μάχας θ', ὅτ' ἂν ποτ' ἐμπέσωσιν εἰς ἔριν.

4 [a] Διφίλου.

Ἀνδρὸς φίλου γὰρ [b] οἰκίαν καὶ συγγενοῦς,
αὐτοῦ νομίζειν δεῖ τὸν ὀρθῶς συγγενῆ.

5 [a] Ἦ τι κασιγνήτοις ἐπιμέμφεται; οἷσι περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.

6 [a] Σωτίωνος.

Οἱ ἀδελφοὺς παρέντες, καὶ ἄλλους φίλους ζητοῦντες, παραπλήσιοι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν. [b]

7 [a] Τοῦ αὐτοῦ.

Ἀθήνησι νεμόμενοι κοινὴν οὐσίαν Ἀχαιὸς καὶ Δῖος ἀδελφοὶ, οὕτως εὐγνώμονες ἦσαν, ὥσθ' ὁ μὲν Ἀχαιὸς γεγυμνασιαρχηκὼς ἠξίου τῆς ὑπολοίπου οὐσίας τὸ ἀνάλωμα τὸ εἰς τὴν γυμνασιαρχίαν προστίθεσθαι τῷ αὑτοῦ μέρει· ὁ δὲ ἀντέλεγεν, ὡς καὶ αὐτὸς ἄλλα τινὰ ἀνηλωκώς.

8 [a] Τοῦ αὐτοῦ.

Ὁ Καλλίας χειροτονηθεὶς ἵππαρχος νέος ὢν, ἠξίωσεν ἐπιτραπῆναι αὐτῷ παραχωρῆσαι τῷ ἀδελφῷ Θεοφίλῳ· αὐτῷ γὰρ

3.

[a] Sic A. Scil. Aul. 376. Deest lemma Trinc.

[b] μάχας θ'] μάχεσθ' Trinc.

4.

[a] Sic Trinc. Deest locus A.

[b] καὶ συγγενοῦς οἰκίαν] οἰκίαν καὶ συγγενοῦς Grotius.

5.

[a] Deest lemma Trinc. locus A. V. Homer. Od. Π. 97. ubi ἐπιμέμφεαι.

6.

[a] Sic A. Trinc.

[b] Post γεωργοῦσιν leg. in B. sine distinctione, Εἰ δὲ ἣν ἔλαχέ τις λυπρὰν ἢ καὶ ἄλλως φαύλην εἰς φορὰν ἀναγκάζοιτο σπείρειν, οὐκ ἂν ἄμεινον βουλεύσαιτο περὶ ἑαυτοῦ, εἰς ἀλλοτρίαν καταβάλλων; μυρίους γοῦν ἴσμεν τοὺς καρποὺς ὧδε ποριζομένους. Eadem habet A. in marg.

7.

[a] Sic A. Deest locus Trinc.

8.

[a] Sic A. Deest locus Trinc.

ἐπεῖναι ἡλικίαν. Ὥστε καὶ εὐδοκίμησεν, καὶ ἐν τῷ ὑστέρῳ ἔτει πρῶτος ἐχειροτονήθη.

9 [a] Πλουτάρχου ἐκ τοῦ Περὶ φιλαδελφίας.

[b] Ὅτι χωρὶς ἀδελφῶν οὔτε πλούτου, φασὶν, οὔτε
τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς
ἐστι τὶς χάρις καὶ ὄνησις.

10 [a] Τοῦ αὐτοῦ.

[b] Ὁ δισάδελφον μὴ φιλῶν, οὐδὲ γονέας, οἱ εἰς ἀμφοῖν συνεβάλλοντο.

11 [a] Τοῦ αὐτοῦ.

[b] Οἱ χρηστοὶ παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἑαυτοὺς ἀγαπήσουσιν, ἀλλὰ καὶ τοὺς γονεῖς δι᾽ ἑαυτούς. Ὀφείλοντες γὰρ τοῖς γονεῦσι διὰ πολλὰ χάριν, μάλιστα διὰ [c] τοὺς ἀδελφοὺς ὀφείλουσι.

12 [a] Τοῦ αὐτοῦ.

[b] Ὅτι τὰς Μούσας ὠνομάσθαι λέγουσι διὰ φιλαδελφίαν ὁμοῦ οὔσας.

13 [a] Τοῦ αὐτοῦ.

[b] Πολυδεύκης τὸν καταψιθυρίζοντα τοῦ ἀδελφοῦ πρὸς αὐ-

9.

[a] Sic A. Scil. p. 479. A. Simpl. Πλουτάρχου Trinc.

[b] Plutarchus p. 479. A. ἧς χωρὶς οὔτε πλούτου φασὶν, οὔτε τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς εἶναί τινα χάριν καὶ ὄνησιν.

10.

[a] Sic A. Scil.

[b] ὁ δισάδελφον] ὁ δισσάδελφον A. ὁ τὸν ἀδελφὸν Gesnerus, qui in fine addit γένεσιν. An ὁ δ᾽ εἰς ἀδελφὸν μὴ φίλος ὢν? Plutarch. II. p. 480. D. ὁ γὰρ μισῶν τὸν ἀδελφὸν αὐτοῦ καὶ βαρυνόμενος, οὐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι καὶ τὴν τεκοῦσαν.

11.

[a] Sic A. Scil. p. 480. D. Deest lemma Trinc.

[b] Plutarchus ibid. Χρηστοὶ δὲ καὶ δίκαιοι παῖδες, οὐ μόνον διὰ τοὺς γονεῖς ἀγαπήσουσιν μᾶλλον ἀλλήλους, ἀλλὰ καὶ τοὺς γονεῖς δι᾽ ἀλλήλους. οὕτως ἀεὶ καὶ φρονοῦντες καὶ λέγοντες, ὅτι τοῖς γονεῦσιν ἀντὶ πολλῶν χάριν ὀφείλοντες, μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσιν.

[c] μὲν] τοὺς A. Trinc. Supra ἀγαπήσωσιν Trinc.

12.

[a] Sic A. Scil. p. 480. F. Deest lemma Trinc.

[b] Plutarchus: ἃς ὁμοῦ δι᾽ εὔνοιαν ἀεὶ καὶ φιλανθρωπίαν οὔσας, οὕτως ὠνόμαζον Μούσας.

13.

[a] Sic A. Scil. p. 483. C. Deest lemma Trinc.

[b] Plutarchus p. 483. C. Ὁ Πο-

τὸν κονδύλῳ παίσας ἀπέκτεινε· καὶ οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλ' ἡμίθεος μᾶλλον σὺν τῷ ἀδελφῷ γενέσθαι.

14 [a] Θεοφράστου.

[b] Θεόφραστός φησιν, ὅτι τοὺς μὲν ἀλλοτρίους οὐ φιλοῦντα δεῖ κρίνειν, ἀλλὰ κρίναντα φιλεῖν· τοὺς δὲ ἀδελφοὺς, ἔμπαλιν.

15 [a] Εὐκλείδου.

[b] Εὐκλείδης ὁ Σωκρατικὸς ἀκούσας τοῦ ἀδελφοῦ λέγοντος, Ἀπολοίμην εἰ μή σε τιμωρησαίμην· Ἐγὼ δὲ, εἶπεν, εἰ μή σε [c] φιλεῖν ἡμᾶς πείσαιμι.

16 [a] Σκιλούρου.

[b] Σκίλουρος ὀγδοήκοντα παῖδας ἄρρενας ἀπολιπὼν, ἐπειδὴ τελευτᾶν ἤμελλε, δεσμὴν ἀκοντίων ἑκάστῳ προτείνων ἐκέλευε καταθραῦσαι. Πάντων δὲ ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἕλκων ἀκόντιον πάντα ῥᾳδίως ἔκλασε, διδάσκων 477
ἐκείνους, ὅτι συνεστῶτες [c] μὲν καὶ ὁμονοοῦντες ἰσχυροὶ διαμένουσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες.

λυδεύκης τὸν καταψιθυρίζοντα τοῦ ἀδελφοῦ π. ἀ. κ. π. ἀ.

14.

[a] Sic A. Deest lemma Trinc.

[b] Plutarchus p. 482. B. tantum habet τοὺς μὲν γὰρ ἀλλοτρίους, ὡς ἔλεγε Θεόφραστος, οὐ φιλοῦντα δεῖ κρίνειν, ἀλλὰ κρίναντα φιλεῖν. Videatur Ruhnkenius ad Rutil. Lup. p. 23.

15.

[a] Sic A. Plutarchus II. p. 489. D. Deest locus Trinc.

[b] Plutarchus p. 489, D. Ὁ μὲν οὖν Σωκρατικὸς Εὐκλείδης ἐν ταῖς σχολαῖς περιβόητός ἐστιν, ὅτι φωνὴν ἀκούσας ἀγνώμονα καὶ θηριώδη τοῦ ἀδελφοῦ πρὸς αὐτὸν εἰπόντος, Ἀπολοίμην εἰ μή σε τιμωρησαίμην, Ἐγὼ δὲ, εἶπεν, εἰ μή σε πείσαιμι παύσασθαι τῆς ὀργῆς, καὶ φιλεῖν ἡμᾶς ὡς πρότερον ἐφίλεις.

[c] φιλεῖν] μὴ φιλεῖν A. B. In fine πείσαιμι om. B.

16.

[a] Sic A. Plutarchus II. p. 511. C. Deest lemma Trinc.

[b] Plutarchus p. 511. C. Σκιλοῦρος δὲ καταλιπὼν ὀγδοήκοντα παῖδας ὁ Σκυθῶν βασιλεὺς, ᾔτησε δέσμην δορατίων ὅτε ἀπέθνησκε, καὶ λαβόντας ἐκέλευσε καταθραῦσαι καὶ κατεάξαι συνδεδεμένην καὶ ἀθρόαν. ὡς δ' ἀπεῖπον, αὐτὸς ἕλκων ἓν καθ' ἓν, πάντα ῥᾳδίως διέκλασε· τὴν συμφωνίαν αὐτῶν καὶ τὴν ὁμόνοιαν ἰσχυρὸν ἀποφαίνων καὶ δυσκαθαίρετον, ἀσθενὲς δὲ τὴν διάλυσιν. Vid. Wyttenbachius ad Apophthegm. p. 174. F.

[c] καὶ] μὲν καὶ B.

17 [a] Σωτίωνος.

Φιλάδελφον καὶ πένητα λέγεσθαι [b] κρεῖσσον, ἢ μισάδελ- 477
φον καὶ πλούσιον.

18 [a] Τοῦ αὐτοῦ.

Κύνα μὲν χαλεπὸν ὄντα ἐπιχειρεῖς πραΰνειν, ὅπως σοι πρᾷος ᾖ· τὸν ἀδελφὸν δὲ, οὔ.

19 [a] Ἀριστίππου.

Ἀρίστιππος [b] ἔφη πρὸς τὸν ἀδελφὸν, Μέμνησο ὅτι τῆς μὲν διαστάσεως σὺ [c] ἦρξω, τῆς δὲ διαλύσεως ἐγώ.

20 [a] Ἱεροκλέους ἐκ τοῦ Περὶ Φιλαδελφίας.

Πρώτη μὲν οὖν ὑποθήκη μάλα σαφὴς, ἐπιεικῶς τε εὔπορος, πρὸς [b] δὲ καὶ κοινή· κατὰ παντὸς μὲν γὰρ εἰπεῖν προσώπου ὑγιὴς ὁ λόγος, ὡς σαφής. [c] Παντὶ οὖν χρήσῃ, ἔκ τε τοῦ [d] ἑαυτὸν μὲν [e] ἐκεῖνον, ἐκεῖνον δὲ [f] ἑαυτὸν ὑποθέσθαι. Καὶ γὰρ οἰκέτῃ χρῷτ' ἄν τις καλῶς, ἐνθυμηθεὶς πῶς ἂν ἠξίωσεν ἐκεῖνον αὐτῷ προσφέρεσθαι, εἴπερ ἐκεῖνος μὲν ἦν δεσπότης, αὐτὸς δὲ δοῦλος· ὁ δ' ὅμοιος λόγος καὶ γονεῦσι περὶ τέκνων, καὶ παισὶ περὶ τῶν γειναμένων, καὶ συνόλως πᾶσι περὶ πάντων. Ἐξαιρέτως δ' ἐστὶν εὔπορος ἡ παραίνεσις [g] κατὰ τὸν τῶν [h] ἀδελφῶν τρόπον· ἐπειδήπερ [i] οὐδὲν δεῖ προϋποθέσθαι τὸν σκεπτόμενον, πῶς ἀδελφῷ χρηστέον, [k] λαβεῖν δ' ἐξ ἑτοίμου παρὰ τῆς φύσεως τοῦ προσώπου ταυτότητα. Καὶ δῆτα

17.

[a] Sic A. Trinc.

[b] κρεῖσσον] μᾶλλον B.

18.

[a] Sic A. Deest lemma Trinc.

19.

[a] Sic A. Deest lemma Trinc.

[b] ἔφη] ἔφησε A. B.

[c] ἦρξω] ἦρξας A. B. Vide Menagium ad Diog. Laërt. II. 82.

20.

[a] Sic A. Trinc.

[b] δὲ καὶ] καὶ om. Trinc.

[c] παντὶ οὖν χρήσῃ] ποτοῦ οὖν χρῆσις Damasc. ποτωοῦν χρῆσις A. B. An ἡ ὁτουοῦν χρ. puncto post σαφὴς sublato? παντὶ—ὑποθέσθαι om. Trinc.

[d] σαυτὸν] ἑαυτὸν A. B. Damasc.

[e] ἐκεῖνον] ἐκείνῳ Damasc.

[f] σαυτὸν] ἑαυτῷ Damasc. Deest voc. spatio relicto B.

[g] κατὰ τὸν τῶν om. B.

[h] ἀδελφῶν τρόπον] ἀδελφὸν τόπον B. τόπον item A.

[i] οὐδέν] οὐδὲ Damasc.

[k] λαβεῖν δ' ἐξ ἑτοίμου παρὰ] λαβ ὁμοῦ παρα (sic) B.

καὶ πρῶτος οὗτος εἰρήσθω λόγος, ὡς [l] τοῦτον χρὴ προσφέρεσθαι τὸν τρόπον ἀδελφῷ, ὅνπερ ἄν τις ἐκεῖνον ἀξιώσειεν ἂν ἑαυτῷ. Νὴ Δία, [m] φήσει τὶς, ἀλλ' ἐγὼ μὲν εἰμὶ μέτριος καὶ ἐπιεικής· ὁ δ' ἀδελφὸς, σκαιὸς, καὶ δυσομίλητος. [n] Οὐκ ὀρθῶς δὲ ἐρεῖ. Πρῶτον μὲν ἴσως οὐδ' ἀληθεύσει· ἱκανὴ γὰρ ἡ φιλαυτία τὰ μὲν ἴδια μεγαλοποιῆσαι καὶ ἀποκυδᾶναι, τὰ δὲ τῶν ἄλλων κατασμικρῦναι καὶ [o] διαφαυλίσαι, [p] πολλὰ γοῦν διὰ [q] ταύτην οἱ κακίους σφᾶς αὐτοὺς [r] προκρίνουσι τῶν κατὰ πολὺ βελτιόνων· ἔπειτα, κἂν [s] ὄντως τοιοῦτος ᾖ ἀδελφὸς, ἀλλὰ σύ γε φαίην ἂν ἀμείνων εὑρέθητι, καὶ νίκησον αὐτοῦ τὴν ἀγριότητα ταῖς εὐποιΐαις· ἐπείτοι γε οὐδὲ πολλὴ χάρις τοῖς εὐγνώμοσι προσενεχθῆναι μετρίως· ἀλλ' ἀνδρὸς ἔργον, καὶ πολλῆς ἄξιον ἀποδοχῆς, τὸν ἀβέλτερον καὶ σκαιὸν πραῧναι τοῖς [t] ἐς αὐτὸν πραττομένοις. Καὶ γὰρ [u] οὐδὲν πάμπαν ἐπ' ἀδύνατον ἡ παράκλησις· ἀλλ' ἔνεστι γὰρ κἂν τοῖς ἀτοπώτατα διακειμένοις σπέρματα μεταβολῆς τῆς ἐπὶ τὸ κρεῖττον, τιμῆς τε καὶ ἀγαπήσεως τῶν εὐεργετησάντων. Οὐ γὰρ δὴ ζῶα μὲν ἄγρια καὶ φύσει πρὸς τὸ γένος ἡμῶν [w] ἐκπεπολεμωμένα πρὸς βίαν ἀχθέντα καὶ τὴν πρώτην κατασχεθέντα δεσμοῖς ἢ γαλεάγραις [x] χρόνοις ὕστερον [y] τιθασὰ γίγνεται καθημερούμενα ποιαῖς τημελείαις, καὶ τῇ καθ' ἡμέραν τροφῇ· οὐχ ὅπως δὲ ἄνθρωπος ἀδελφὸς, ἀλλὰ κἂν μηδὲν [z] προσήκων [a] τύχῃ, οὕτω παντὶ μᾶλλον ἐπιμελείας ἀξιούμενος, [b] μετα-

[l] τοῦτον χρὴ om. B.
[m] φήσει] φήσεις B.
[n] οὐκ] οὐχὶ A. B.
[o] διαφαυλίσαι] διαφαυλῆσαι A. B.
[p] πολλὰ γοῦν] πολλοὶ γοῦν conj. Gesnerus. πολλαχοῦ γοῦν Bentleius apud Needham.
[q] ταύτην] τοιαύτην A.
[r] προκρινοῦσι] προσκινοῦσι A. p. m. Trinc. προκινοῦσι Damasc.
[s] ὄντως] οὗτος Damasc.
[t] ἐς αὐτὸν] ἑαυτῶν A. B.
[u] οὐδὲν] οὐδὲ A. B.
[w] ἐκπεπολεμωμένα] ἐκπολεμηθέντα Dam.
[x] χρόνοις] om. B.
[y] τιθασσὰ] τιθασὰ Trinc.
[z] προσήκων] προσῆκον A. B.
[a] τύχοι] τύχῃ B.
[b] μεταβάλλει] μεταβάλλῃ Damasc.

βάλλει πρὸς τὸ ἡμερώτερον, [c] κἂν ὑπερβολὴν μὴ [d] ἀπολίπῃ σκαιότητος; [e] Μιμητέον οὖν ἐπὶ παντὸς μὲν ἀνθρώπου, πολὺ δὲ διαφερόντως ἐπ' ἀδελφοῦ, τὸ τοῦ [f] Σωκράτους. Ἐκεῖνος γὰρ πρὸς τὸν εἰπόντα, Ἀποθανοῦμαι, [g] εἰ μή σε τιμωρησαίμην, ἔφη, Ἀποθανοῦμαι, εἰ μή σε [h] φίλον ποιήσω.

[i] Ἀλλὰ γὰρ ταῦτα μὲν ταύτῃ. Μετὰ ταῦτα δ' ἐνθυμη- 478
τέον, ὅτι τρόπον τινὰ οἱ ἀδελφοὶ τὰ [k] αὐτοῦ μέρη τυγχάνουσιν, ὥσπερ [l] οἱ ἐμοὶ ὀφθαλμοὶ ἐμοῦ· καὶ ὡσαύτως [m] σκέλη τε καὶ χεῖρες, καὶ τὰ λοιπά. Καὶ γὰρ οὗτοι τοῦτον ἔχουσιν τὸν τρόπον, εἴτε πρὸς τὸν οἶκον [n] ἐξετάζοντες. Ὥσπερ οὖν οἱ ὀφθαλμοὶ, καὶ αἱ χεῖρες, εἴπερ ἕκαστον ἰδίαν ψυχὴν καὶ νοῦν λάβοι, περιέποι ἂν τὰ λοιπὰ πάσῃ μηχανῇ διὰ τὴν εἰρημένην κοινωνίαν, [o] τῷ μὴ δ' αὐτὰ τὸ ἴδιον ἔργον οἷά τε εἶναι παρέχειν καλῶς δίχα τῆς τῶν ἑτέρων παρουσίας· [p] οὕτω δὴ καὶ ἡμᾶς ἀνθρώπους γε ὄντας, καὶ [q] ψυχὴν ὁμολογοῦντας ἔχειν, μηδὲν παριέναι σπουδῆς ὑπὲρ τοῦ δεόντως προσφέρεσθαι τοῖς ἀδελφοῖς. Καὶ γὰρ αὖ καὶ πλεῖόν τι παρὰ τὰ μέρη συλλαμβάνειν ἀλλήλοις ἀδελφοὶ πεφύκασιν. [r] Οἵ τε ὀφθαλμοὶ μὲν ὁρῶσιν [s] ἀλλήλοις, παρὼν παρόντι, καὶ χεὶρ συνεργάζεται παροῦσα χειρὶ παρούσῃ· ἡ δ'

[c] κἂν] καὶ A. B.

[d] ἀπολίπῃ] ἀπολείπῃ A.

[e] μιμητέον] μιμητέον οὖν A. Trinc. μ. μὲν οὖν Damasc.

[f] Σωκράτους] Plutarchus Euclidi Socratico attribuit. GESNER. V. supra n. 15.

[g] εἰ μή—ἀποθανοῦμαι om. A.

[h] φίλον ποιήσω] παρασκευάσω φιλεῖν ἡμᾶς Damasc.

[i] ἀλλὰ γὰρ τ. μ. τ. om. Trinc.

[k] αὐτοῦ] αὐτῶν Damasc.

[l] οἱ ὁμοιόφθαλμοι ἐμοῦ] Forte οἱ ὀφθαλμοὶ ἐμοῦ. GESNER. οἱ ἐμοὶ ὀ. ἐ. Bentleius apud Needham. ὥσπερ οὖν οἱ ὀφθαλμοὶ enotavit Grotius, tanquam ex A. qui cum editis omnino consentit.

[m] σκέλη] μέλη Trinc.

[n] ἐξετάζοντες] Locus mutilus videtur. GESNER. Nihil præsidii in MSS. reperio.

[o] τῷ μὴ δ'] τὸ δὲ B. τὸ μὴ δ' Trinc.

[p] οὕτω δὴ καὶ] οὕτως δὲ καὶ A. οὕτω δεῖ καὶ Damasc.

[q] τὴν ψυχὴν] τὴν om. Damasc. Coll. Nov. ap. Needham.

[r] οἱ] εἰ A. An εἴ γε?

[s] ἀλλήλους, παρὼν παρόντα] ἀλλήλοις π. παρόντι A. B. Gesn. marg. Damasc. ἀλλήλοις παρόντες παρόντα edidit Needhamus e Gatakeri conjectura. ἀλλήλους παρὼν παρόντι Tr.

ἀδελφῶν σύμπραξις ἀλλήλοις πολυχουστέρα πῶς ἐστι· πράττουσι γὰρ τὰ κοινῇ διαφέροντα, καὶ [t] διεστηκότες τοῖς τόποις πάμπαν· μέγα θ' ὑπάρχουσιν ἀλλήλων ὄφελος, κἂν μυρίον ᾖ τὸ διάστημα. Ὅλως δὲ ἐνθυμητέον, ὡς [u] ὁ βίος ἡμῖν [w] κινδυνεύει [x] μακρός τις εἶναι καὶ πολυετὴς πόλεμος· τοῦτο [y] μὲν, διὰ τὴν αὐτῶν τῶν πραγμάτων φύσιν, ἐχόντων τὶ ἀντίτακτον· τοῦτο δὲ, διὰ τὰς ἐξαιφνιδίους καὶ ἀπροσδοκήτους ἐπιδρομὰς τῆς [z] τύχης· πολὺ δὲ μάλιστα δι' αὐτὴν τὴν κακίαν, οὔτε βίας τινὸς [a] ἀπεχομένην, οὔτε δόλου [b] καὶ κακῶν στρατηγημάτων. Ὅθεν καλῶς ἡ φύσις, ὡς ἂν [c] ἐφ' ἃ γεννᾷ μὴ ἀγνοοῦσα, παρήγαγεν ἡμῶν ἕκαστον τρόπον τινὰ μετὰ συμμαχίας. Οὐδεὶς οὖν ἐστι μόνος, οὐδ' ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης, ἀλλ' ἐκ [d] γονέων, καὶ μετ' ἀδελφῶν καὶ συγγενῶν καὶ [e] ἄλλων οἰκείων. Μέγας δὲ βοηθὸς ὁ λόγος, καὶ τοὺς ὀθνείους καὶ μηδὲν καθ' αἷμα προσήκοντας ἐξιδιούμενος, ἀφθονίαν γε παρέχων συμμάχων. Διὰ τοῦτο κατὰ φύσιν ἡμῖν [f] σπουδὴ καὶ ὁντινοῦν προσαγαγέσθαι καὶ φιλοποιήσασθαι. Γίγνεται [g] γοῦν ἤδη τὸ πρᾶγμα τελεωτάτη μανιῶν [h] τοῖς μὲν οὐδὲν ἐκ φύσεως ἔχουσι φίλτρον πρὸς ἡμᾶς [i] ἐθέλειν συγκραθῆναι, καὶ τῇ γνώμῃ εἰς ἐφόσον [k] ἐνδέχεται πλεῖστον [l] χέαι τὴν οἰκειότητα· τῶν δὲ ἐξ ἑτοίμου καὶ

[t] διεστηκότες] διεστηκότες τοῖς τόποις A. B. Damasc.

[u] βίος] ὁ βίος A.

[w] κινδυνεύει] om. A. B. Damasc.

[x] μακρὸς] μικρὸς A. B. Damasc. Mox πολυέτες Trinc.

[y] μὲν] μὴ B. Mox ἑαυτῶν A. Trinc. pro αὐτῶν.

[z] ψυχῆς] τύχης Bentleius post M. Casaubonum ad Diog. Laërt. VI. 42. p. 336.

[a] ἀπεχόμενον] ἀπεχομένης A. B. Gesn. marg. ἀπεχομένην Needham.

[b] καὶ κακῶν] Deest καὶ Trinc. ubi om. ὅθεν—συμμαχίας.

[c] ἔφαγεν ναμηγνοῦσα] ἔφαγεν ἃ μὴ ἀγνοοῦσα A. B. vox abest cum lacuna Damasc. ἐφ' ἃ γεννᾷ μὴ ἀγνοοῦσα restituit Bentleius.

[d] γονέων] γυναίων A. B.

[e] ἄλλων οἰκείων] ἀλλοίων D.

[f] σπουδὴ] σπουδῇ B.

[g] γοῦν] οὖν A.

[h] τῶν] τοῖς Damasc. ut conjecit Needham. τὸ ἦν Gesner.

[i] ἐθέλειν] ἐθέλει Trinc.

[k] ἐνδέχεται] ἐνδέεται A. B. Damasc.

[l] χέαι] ἐκχέαι D.

παρ' αὐτῆς χορηγουμένων τῆς φύσεως κατημεληκέναι βοηθῶν κἀπικούρων, οἵους δὴ συμβέβηκεν εἶναι τοὺς ἀδελφούς.

[a] Μουσωνίου ἐκ τοῦ Εἰ πάντα τὰ γιγνόμενα τέκνα θρεπτέον.

21 Ὃ [b] δέ μοι δοκεῖ δεινότατον, οὐδὲ πενίαν ἔνιοι προφασίζεσθαι ἔχοντες, ἀλλ' εὔποροι χρημάτων ὄντες, τινὲς [c] δὲ πάλιν καὶ πλούσιοι, [d] ὅμως τολμῶσι τὰ ἐπιγινόμενα τέκνα μὴ τρέφειν, ἵνα τὰ προγενόμενα [e] εὐπορῇ μᾶλλον, ἐξ ἀνοσίου μηχανώμενοι τὴν εὐπορίαν τοῖς παισὶν, ἐξ ἀδελφῶν φόνου, οἵ γε ἀναιροῦσιν αὐτῶν τοὺς ἀδελφοὺς, ἵν' ἐκεῖνοι μερίδα μείζω τῶν πατρῴων ἔχωσι· κακῶς εἰδότες, ὅσῳ [f] κρεῖττον πολλοὺς ἔχειν ἀδελφοὺς τοῦ πολλὰ ἔχειν χρήματα. Χρήματα μὲν γὰρ ἐπιβουλὰς ἐγείρει παρὰ [g] τῶν πλησίον· οἱ δ' ἀδελφοὶ τοὺς ἐπιβούλους ἀνείργουσι. Καὶ τὰ μὲν αὐτὰ 479 δεῖται [h] βοηθείας· οἱ δ' ἀδελφοὶ βοηθοί εἰσι κράτιστοι. ([i] καὶ οὔτε φίλον ἀγαθὸν ἀδελφῷ παρὰ [k] τὸν ἀπὸ ἀνθρώπων [l] ἑτέρων ὁμοίων τε καὶ ἴσων, τῇ ἀπ' ἀδελφῶν.) Τί δ' ἄν τις παραβάλλοι [m] καλὸν εὐνοίᾳ [n] τῇ γε ἀδελφοῦ εἰς ἀσφαλείας λόγον; Τίνα δὲ κοινωνὸν [o] ἀγαθὸν εὐμενέστερον σχοίη τὶς ἂν, ἢ ἀδελφὸν ἐπιεικῆ; Τίνος δὲ παρουσίαν ἐν συμφοραῖς μᾶλλον ποθήσειεν ἂν, ἢ τοιούτου ἀδελφοῦ; Ἐγὼ μὲν ἀξιοζηλότατον ἡγοῦμαι τὸν ἐπὶ πλήθει ἀδελφῶν ὁμονοούντων βιοῦντα· καὶ θεοφιλέστατον εἶναι νομίζω τὸν ἄνδρα τοῦτον, οἴκοθεν ἔχοντα τἀγαθά. Διὸ καὶ νομίζω δεῖν ἕκαστον ἡμῶν τοῖς

21.

[a] Sic A. Simpl. Ἰουσωνίου Tr.
[b] δὲ] δὴ Trinc.
[c] δὲ καὶ] δὲ πάλιν καὶ A. B.
[d] ὅμως τολμῶσι] τολμῶσιν ὅμως A.
[e] εὐπορῇ] εὐπορῶσι A.
[f] κρεῖττον] κρείττω A.
[g] τῶν] τῶν ὄντων A. B.
[h] βοηθείας] παιδείας A. B.
[i] (καὶ οὔτε—ἀδελφῶν)] Inclusa parenthesi sententiam non absolvunt. Gesner.
[k] † ἀπὸ] Al. τὸν inseritur. Gesn. Sic A. B. τὸ Damasc. παρὰ ἀπὸ sic Trinc.
[l] ἑτέρων] ἕτερον Gesn. marg. ἑταῖρον Damasc.
[m] καλὸν] καὶ Damasc. Supra τι pro τις Trinc.
[n] τῇ ἐξ] τῇ γε A. B.
[o] ἀγαθὸν] ἀγαθῶν A. B. Damasc.

αὑτοῦ παισὶ [p] πειρᾶσθαι χρημάτων μᾶλλον ἀπολείπειν ἀδελφοὺς, ὡς ἀφορμὰς ἀγαθῶν [q] ἀπολείψοντα μείζονας.

22 [a] Ξενοφῶντος ἐν δευτέρῳ Ἀπομνημονευμάτων.

Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην, ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν [b] ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρεκράτην, Εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, [c] οὐ δήπου καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων, οἳ χρησιμώτερον νομίζουσι χρήματα ἢ [d] ἀδελφούς; καὶ ταῦτα τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου· καὶ [e] τῶν μὲν βοηθείας δεομένων, [f] τοῦ δὲ βοηθεῖν δυναμένου· καὶ πρὸς τούτοις, τῶν μὲν πλειόνων ὑπαρχόντων, τοῦ δὲ ἑνός. Θαυμαστὸν δὲ [g] καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται, τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει· ἀλλ᾽ ἐνταῦθα μὲν [h] δύναται λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα [i] ἀσφαλῶς τἀρκοῦντα ἔχειν, ἢ μόνον διαιτώμενον τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι· ἐπὶ δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. Καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι· τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. Καὶ μὴν πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι· ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τὶς ἐγγίνεται τῶν συντρόφων. Πρὸς δὲ τούτοις, καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶσί τε μᾶλλον τοὺς συν-

[p] πειρᾶσθαι] πείθεσθαι B.
[q] ἀπολείψοντα] ἀπολείψοντας Tr.

22.

[a] Sic A. Trinc. Scil. II. 3, 2.
[b] ἑαυτῷ δὲ γνωρίμω] ἑαυτὼ δὲ γνωρίμων Trinc. et mox διαφθειρομένῳ.
[c] οὐ δήπου] οὐδέν που Trinc.
[d] ἀδελφοὺς] Malim ἀδελφὸν. Gesner.
[e] τῶν — δεομένων] τοῦ — δεομένου Trinc.
[f] τοῦ—δυναμένου] τῶν—δυναμένων A. Trinc.
[g] καὶ τοῦτο] καὶ τὸ Trinc.
[h] δύναται] δύνανται Trinc.
[i] ἀσφαλῶς ἀρ.] ἀσφαλῶς τε ἀρ. A. m. p. ἀσφαλῶς τ᾽ ἀρ. Trinc.

ἀδελφοὺς ὄντας τῶν ἀναδέλφων, καὶ ἧττον τούτοις ἐπιτίθενται. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἀλλ᾽ εἰ μὲν, ὦ Σώκρατες, μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφὸν, καὶ μὴ μικρῶν ἕνεκα φεύγειν· ἀγαθὸν γὰρ, ὥσπερ καὶ σὺ λέγεις, ἀδελφὸς, ὢν οἷον δεῖ· ὁπότε μέντοι παντὸς ἐνδέοι, καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις; Καὶ ὁ Σωκράτης ἔφη· Πότερα δὲ, ὦ Χαιρέκρατες, οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ [k] οὐδὲ σοὶ, ἢ ἔστιν οἷς καὶ [l] πάνυ ἀρέσκει; Διὰ τοῦτο γάρ τοι, ἔφη, ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμοὶ μισεῖν αὐτὸν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται, ἐμοὶ δὲ, ὅπου ἂν παρῇ, πανταχοῦ καὶ λόγῳ καὶ ἔργῳ ζημία μᾶλλον ἢ ὠφέλειά ἐστιν. Ἆρ᾽ οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μὲν, ἐγχει- 480
ροῦντι δὲ χρῆσθαι, ζημία ἐστίν· οὕτω καὶ ἀδελφὸς, ὅτ᾽ ἄν τίς αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστίν; Πῶς δ᾽ ἂν ἐγὼ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός [m] γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα, καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα; τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν οὐκ ἂν δυναίμην οὔτ᾽ εὖ λέγειν, οὔτ᾽ εὖ ποιεῖν, ἀλλ᾽ οὐδὲ πειράσομαι. Καὶ ὁ Σωκράτης ἔφη· Θαυμαστὰ λέγεις, ὦ Χαιρέκρατες, εἰ κύνα μὲν [n] εἴ σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδειος ὢν, καὶ τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ δὲ προσιόντι [o] ἐχαλέπαινεν, [p] ἀμελήσας ἂν τοῦ ὀργίζεσθαι [q] ἐπειρῶ εὖ ποιήσας πραΰνειν αὐτὸν, [r] τὸν δὲ ἀδελφὸν ὃν φῂς μὲν μέγα ἀγαθὸν [s] εἶναι, ὄντα πρὸς σὲ οἷον δεῖ, ἐπί-

[k] οὐδὲ σοὶ] οὐδὲ σὺ Trinc. A.
[l] πάνυ] πάντα A.
[m] γε καὶ] σε καὶ Trinc.
[n] σοι] εἴ σ᾽ A. εἴ σοι B. εἴσο Tr. ubi κύνα non κύων.
[o] ἐχαλέπαινεν] ἐχαλέπηνεν A.
[p] ἠμέλησας] ἀμελήσας Gesn. marg.
[q] ἐπειρῶ εὖ] ἐπείπερ ὁ εὖ et deinde ποιήσαντι m. sec. A. ἦν πραΰνειν A. ἐπείπερ εὖ ποιήσαντι ἦν πραΰνειν αὐτὸν B. ἐπείπερ ὁ εὖ π. πραΰνει Trinc.
[r] τὸν δὲ ἀδελφὸν] τὸν ἀδελφὸν ὃν A. Trinc.
[s] εἶναι] σοι εἶναι B.

στασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν, οὐκ ἐπιχειρεῖς μηχανᾶσθαι, ὅπως σοι ὡς βέλτιστος ᾖ. Καὶ ὁ Χαιρεκράτης, Δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν, ὥστε Χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ οἷον δεῖ. Καὶ μὴν οὐδέν γε ποικίλον, ἔφη ὁ Σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ' αὐτὸν, ὡς ἐμοὶ δοκεῖ, [t] μηχανᾶσθαι· οἷς δὲ καὶ σὺ ἐπίστασαι αὐτὸς οἴομαι ἂν αὐτὸν ἁλόντα περὶ πολλοῦ ποιεῖσθαί σε. Οὐκ ἂν φθάνοις, ἔφη, λέγων, εἴ τι ᾔσθησαί με φίλτρον ἐπιστάμενον, ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; Λέγε δή μοι, ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν [u] ποιοίης; Δηλονότι κατάρχοιμι [w] ἂν τοῦ αὐτὸς ὅτε θύοιμι καλεῖν ἐκεῖνον. Εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδημοίης ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν [x] ποιοίης; Δηλονότι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη. Εἰ δὲ βούλοιο ξένον ποιῆσαι [y] ὑποδέχεσθαι σεαυτὸν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; Δηλονότι καὶ τοῦτον πρότερος ὑποδεχοίμην ἂν, ὁπότε ἔλθοι Ἀθήναζε. Καὶ εἴγε βουλοίμην ἂν αὐτὸν προθυμεῖσθαι διαπράττειν μοι ἐφ' ἃ ἥκοιμι, δηλονότι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν. Πάντ' ἄρα σύ γε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπεκρύπτου. Ἢ [z] ὀκνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ [a] ἄξιος εἶναι ἐπαίνου, ὃς ἂν [b] φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. Εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος εἶναι σοῦ πρὸς τὴν [c] φιλίαν ταύτην, ἐκεῖνον ἂν ἐπειρώμην πείθειν, πρό-

[t] μηχανήσασθαι] μηχανᾶσθαι A.
[u] ποιῇς] ποιοῖς A. B. m. sec.
[w] αὐτοῦ] ἂν τοῦ A. Gesn. marg. ἂν τούτου B.
[x] ποιοίης] ποιοῖς A.
[y] ὑποδέχεσθαι] ἀποδέχεσθαι Tr.
[z] ὤκνεις] ὀκνεῖς A. B. Gesner. marg.
[a] ἄξιος εἶναι ἐπαίνου] ἐπαίνου ἄξιος εἶναι A. B.
[b] φθάνοι] φθάνῃ A.
[c] φιλίαν] φύσιν Gesn. marg.

τερον ἐγχειρεῖν [d] τὸ σὲ φίλον ποιεῖσθαι· νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο. Καὶ ὁ Χαιρεκράτης εἶπεν, Ἄτοπα λέγεις, ὦ Σώκρατες, καὶ οὐδαμῶς πρὸς σοῦ, [e] ὅς γε κελεύεις ἐμὲ νεώτερον ὄντα [f] καθηγεῖσθαι, καίτοι τούτου [g] γε παρὰ πᾶσιν ἀνθρώποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ λόγου καὶ ἔργου. Πῶς; ἔφη ὁ Σωκράτης. Οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον τῷ πρεσβυτέρῳ συντυγχάνοντι πανταχοῦ νομίζεται, καὶ [h] καθήμενον ὑπαναστῆναι, καὶ κοίτῃ μαλακῇ τιμῆσαι, καὶ λόγῳ [i] ὑποδεῖξαι; Ὦ ἀγαθὲ μὴ ὄκνει, ἔφη, ἀλλ' 481
ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν, καὶ [k] πανταχοῦ σοι ὑπακούσεται. Οὐχ ὁρᾷς ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ [l] ἀνθρώπεια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις, ἢ εἰ δοίης τι· τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατεργάσαιο. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἐὰν οὖν ἐμοῦ ταῦτα ποιοῦντος, ἐκεῖνος μηδὲν βελτίων γίγνηται; Τί γὰρ ἄλλο, ὁ Σωκράτης ἔφη, ἢ [m] κινδυνεύεις ἐπιδεῖξαι [n] σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι, [o] ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ ἄξιος εὐεργεσίας; ἀλλ' οὐδὲν οἶμαι τούτων ἔσεσθαι· νομίζω γὰρ αὐτὸν, ἐπειδὰν αἴσθηταί σε προκαλούμενον [[p] ἑαυτὸν] εἰς τὸν ἀγῶνα τοῦτον, πάνυ [q] φιλονεικήσειν, ὅπως περιγένηταί σου, καὶ λόγῳ καὶ ἔργῳ εὖ ποιῶν. Νῦν μὲν γὰρ οὕτως, ἔφη, [r] διακεῖσθον, ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τῷ συλλαμβάνειν ἀλλήλαιν

[d] τὸ] τοῦ B.
[e] ὅς με κελεύεις] ὅς γε κελεύεις ἐμὲ A. B.
[f] ἡγεῖσθαι] καθηγεῖσθαι A. B.
[g] γε om. A. B.
[h] καθήμενον] εἰ alias additur. GESNER.
[i] ὑπεῖξαι] ὑποδεῖξαι A. Trinc.
[k] πανταχοῦ] πάνυ ταχὺ Gesn. marg.
[l] ἀνθρώπεια] ἀνθρώπια B.
[m] ἢ κινδυνεύσεις] κινδυνεύεις A. Trinc.
[n] σὺ] ἢ συ B. A. m. sec.
[o] ἐκεῖνος—φαῦλος—ἄξιος] ἐκεῖνον—φαῦλον A. B. ἄξιον B. A. ex em.
[p] ἑαυτὸν om. A. Trinc.
[q] φιλονεικήσειν] φιλονικήσειν Tr.
[r] διακεῖσθαι] διακεῖσθον A. B. Trinc.

ἐποίησεν, ἀφεμένω [s] τούτου, τράποιντο πρὸς τὸ διακωλύειν [t] ἀλλήλω· ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου, ἐμποδίζοιεν ἀλλήλω. [u] Οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία, τοῖς ἐπ' ὠφελείᾳ [[w] ἀλλήλοιν] [x] πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι; Καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ [y] δοκεῖ, ὁ θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ τ' ἄλλα ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις· χεῖρες μὲν γὰρ εἰ δέοι αὐτὰς [[z] τὰ] πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δὲ οὐδ' ἂν [a] ἔπειτα ὀργυιὰν ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ οἱ δοκοῦντες ἐπιπλεῖστον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο· ἀδελφὼ δὲ φίλω ὄντε καὶ πολὺ διεστῶτε πράττετον ἅμα [[b] καὶ] ἐπ' ὠφελείᾳ ἀλλήλοιν.

23 [a] Ἱεροκλέους ἐκ τοῦ Εἰ συγγένεσι χρηστέον.

Τοῖς εἰρημένοις περὶ γονέων [b] χρησίμως καὶ ἀδελφῶν γυναικός τε καὶ τέκνων ἀκόλουθόν ἐστι [c] προσθεῖναι καὶ τὸν περὶ συγγενέων λόγον, συμπεπονθότα μέν πως ἐκείνοις, δι' αὐτὸ δὲ τοῦτο συντόμως ἀποδοθῆναι δυνάμενον. [d] Ὅλως γὰρ ἕκαστος ἡμῶν οἷον κύκλοις πολλοῖς περιγέγραπται· τοῖς μὲν σμικροτέροις, τοῖς δὲ μείζοσι, καὶ τοῖς μὲν περιέχουσι, τοῖς δὲ περιεχομένοις, κατὰ τὰς διαφόρους καὶ ἀνίσους πρὸς [e] ἀλλήλους σχέσεις. Πρῶτος μὲν γάρ ἐστι κύκλος καὶ προσεχέστατος, ὃν αὐτός τις καθάπερ περὶ κέντρον τὴν ἑαυ-

[s] τοῦτο] τούτου B. A. ex em. τοῦτον Trinc.
[t] ἀλλήλω] ἀλλήλας B.
[u] οὐκ] καὶ οὐκ B.
[w] ἀλλήλοιν om. A. Trinc.
[x] (πεποιημένοις—ἀλλήλοιν)] Parenthesi inclusa non sunt in Halensi. Gesner.
[y] δοκεῖν] δοκεῖ A. B.
[z] τὰ πλέον] Deest τὰ A. Trinc.
[a] ἔπειτα ὀργυιὰν ἔλθ.] ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἐλθ. Gesn. marg.
[b] καὶ ἐπ'] καὶ om. A. Trinc.

23.

[a] Sic A. et fere Trinc. ubi πῶς pro εἰ.
[b] χρησίμως] χρήσεως Bentleius.
[c] προθεῖναι] προσθεῖναι A. Mox λόγων pro λόγον Trinc.
[d] ὅλος] ὅλως A. B.
[e] ἀλλήλους] ἀνθρώπους A. B.

τοῦ γέγραπται διάνοιαν· ἐν ᾧ κύκλῳ τό τε σῶμα περιέχε-
ται, καὶ τὰ τοῦ σώματος ἕνεκα παρειλημμένα· σχεδὸν γὰρ
ὁ βραχύτατος καὶ μικροῦ δεῖν αὐτοῦ προσαπτόμενος τοῦ
κέντρου κύκλος οὗτος. Δεύτερος δὲ ἀπὸ [f] τούτου, καὶ πλέον
μὲν ἀφεστὼς τοῦ κέντρου, περιέχων δὲ τὸν πρῶτον, ἐν ᾧ τε-
τάχαται γονεῖς, ἀδελφοὶ, γυνὴ, παῖδες. Ὁ δ' ἀπὸ τούτων
τρίτος, ἐν ᾧ θεῖοι, καὶ [g] τιτθίδες, πάπποι τε καὶ τίτθαι, καὶ
ἀδελφῶν παῖδες, ἔτι δ' ἀνεψιοί. Μεθ' ὃν ὁ τοὺς [h] ἄλλους
περιέχων συγγενεῖς. Τούτῳ δ' ἐφεξῆς, ὁ τῶν δημοτῶν, καὶ
[i] μετ' αὐτὸν ὁ τῶν φυλετῶν, εἶθ' [k] ὁ πολιτῶν, καὶ λοιπὸν
οὕτως ὁ μὲν ἀστυγειτόνων, ὁ δὲ ὁμοεθνῶν. Ὁ δ' [l] ἐξωτάτω
καὶ μέγιστος, περιέχων τε πάντας τοὺς κύκλους, ὁ τοῦ
παντὸς ἀνθρώπων γένους. Τούτων οὖν τεθεωρημένων, κατὰ 482
[m] τὸ ἐντεταγμένον ἐστὶ [n] περὶ τὴν δέουσαν ἑκάστων χρῆσιν,
τὸ ἐπισυνάγειν πῶς τοὺς κύκλους ὡς ἐπὶ τὸ [o] κέντρον, καὶ τῇ
σπουδῇ μεταφέρειν ἀεὶ τοὺς ἐκ τῶν περιεχόντων εἰς τοὺς πε-
ριεχομένους. Κατὰ [p] τὸν φιλοίκειον γοῦν ἐστι γονέας μὲν
καὶ ἀδελφούς. [q] Οὐκ οὖν [r] καὶ κατὰ τὴν αὐτὴν ἀναλογίαν,
καὶ τῶν συγγενῶν τοὺς μὲν πρεσβυτέρους καὶ πρεσβυτέρας,
ὡς πάππους, θείους, ἢ τιτθίδας· τοὺς δ' ὁμήλικας, ὡς ἀνε-
ψιούς· τοὺς δὲ νεωτέρους, ὡς παῖδας ἀνεψιῶν. Ὥστε εἴρη-
ται διὰ συντόμων [s] ὑποθήκης ἀφ' ἧς πῶς χρὴ προσφέρεσθαι
συγγενέσιν. Ἐπειδὴ [t] προεδιδάχθημεν, πῶς τε χρηστέον

[f] τούτου] τούτων A. B. De hoc loco videatur Wyttenbachius ad Plutarch. II. p. 265. B.

[g] τιτθίδες] τιθίδες Trinc. et infra τιθίδας. Idem mox μεθ' ὧν ὁ τ.

[h] ἄλλους] ἀλλήλους A.

[i] μετ' αὐτὸν] μετ' αὐτῶν Trinc.

[k] ὁπλιτῶν] ὁ πολιτῶν B. et sic Bentleius.

[l] ἐξοτάτω] ἐξωτάτω A. Trinc.

[m] τὸν ἐντεταμένον] τὸ ἐντεταγμένον A. B. κατὰ τὸ ἐκτεταγμένον ἐχόμενόν ἐστι Wyttenbachius Plut. II. p. 58. A.

[n] περὶ] παρὰ Trinc.

[o] μὲν κέντρον] μὲν om. A. B.

[p] τὸν] τὸ B.

[q] * οὐκοῦν—* ὥστε εἴρηται] Loca videntur mutila. Gesner.

[r] καὶ om. A. B.

[s] ὑποθήκη] ὑποθήκ A. ὑποθήκης Trinc.

[t] προεδιδάχθημεν] προεδιδάχθη μὲν B.

[u] ἑαυτοῖς, καὶ πῶς γονεῦσι καὶ ἀδελφοῖς, ἔτι δὲ γυναικὶ καὶ τέκνοις· πρόσκειται δ' ὅτι καὶ τούτοις μὲν ὁμοίως τιμητέον τοὺς ἐκ [w] τοῦ τρίτου κύκλου· τούτοις δ' [x] αὖ πάλιν τοὺς συγγενεῖς. Ἀφαιρήσεται μὲν γάρ τι τῆς εὐνοίας τὸ καθ' αἷμα διάστημα [y] πλέον ὄν· ἡμῖν δ' ὅμως σπουδαστέα [z] περὶ 2 τὴν ἐξομοίωσιν ἐστίν· ἥκοι μὲν γὰρ ἂν εἰς τὸ μέτριον, εἰ διὰ τῆς ἡμετέρας αὐτῶν ἐνστάσεως ἐπιτεμνόμεθα τὸ μῆκος τῆς πρὸς ἕκαστον τὸ πρόσωπον σχέσεως. Τὸ μὲν οὖν συνέχον καὶ πραγματικώτερον εἴρηται· χρὴ δ' [a] ἐπιμετρεῖν καὶ κατὰ τὴν τῶν προσηγοριῶν χρῆσιν, τοὺς μὲν ἀνεψιοὺς, καὶ θείους, καὶ τιτθίδας, ἀδελφοὺς ἀποκαλοῦντας, πατέρας τε καὶ μητέρας· τῶν δὲ συγγενῶν, τοὺς μὲν θείους, τοὺς δὲ ἀδελφιδοὺς, τοὺς δὲ ἀνεψιοὺς, ὡς ἂν καὶ τὰ τῆς ἡλικίας παρήκῃ ἕνεκα τῆς ἐν [b] τοῖς ὀνόμασιν ἐκτενείας. Οὗτος γὰρ τῆς [c] προσρήσεως ὁ τρόπος, ἅμα μὲν ἂν σημεῖον οὐκ ἀμαυρὸν εἴη τῆς οὔσης ἡμῖν σπουδῆς περὶ ἑκάστους, ἅμα δ' ἂν ἐποτρύνοι καὶ προσεντείνοι πρὸς τὴν ὑποδεδειγμένην οἷον συνολκὴν τῶν κύκλων. Ἐνταῦθα μέντοι γενομένοις οὐκ ἄκαιρος τοῦ ῥηθέντος ἐπὶ γονέων διορισμοῦ φαντάζεται μνήμη. Ἐλέγομεν [d] γὰρ αὖ [e] κατ' ἐκεῖνον ἡνίκα τὸν τόπον ἦμεν, ἔνθα μητέρα πατρὶ συνεκρίναμεν, ὡς χρὴ τῇ μὲν μητρὶ τῆς στοργῆς, τῆς δὲ τιμῆς τῷ πατρὶ πλέον ἀπονέμειν· οἷς [f] ἑπομένως καὶ δεῦρο τιθεῖμεν ἂν, ὡς τοὺς μὲν μητρόθεν προσήκοντας στέργειν πλέον πρέπει, τοὺς δ' αὖ κατὰ [g] πατέρα συγγενεῖς διὰ μείζονος ἄγειν τιμῆς.

[u] ἑαυτοῖς] αὐτοῖς A. B.

[w] τοῦ τρίτου] τοῦ om. Trinc.

[x] αὖ] αὖ πάλιν A. B.

[y] πλέον] ὄν addidit Gesnerus. πλέον ἂν Trinc.

[z] περὶ τὴν ἐξομοίωσιν] περὶ τοῦ ἐξομοίως Trinc.

[a] ἐπὶ μετρίαν] ἐπιμετρεῖν Bentl.

[b] τοῖς ὀνόμασιν] τῷ ὀνόματι B.

[c] προρρήσεως] Lego προσρήσεως. Gesner.

[d] γὰρ αὖ] γὰρ ἂν Trinc.

[e] μετ'] κατ' A. B.

[f] ἑπομένοις] ἑπομένως Needhamus.

[g] μητέρα Trinc.

24 [a] Ξενοφῶντος ἐν τῷ η̄ περὶ τῆς Κύρου παιδείας.

Οἶσθα μὲν οὖν καὶ σὺ, ὦ Καμβύση, ὅτι οὐ [[b] τόδε] τὸ χρυσοῦν σκῆπτρόν ἐστι τὸ τὴν βασιλείαν διασῶζον, ἀλλ' οἱ [c] πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον [[d] καὶ ἀσφαλέστατον.] Πιστοὺς καὶ ἀσφαλεστάτους δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τὰ ἄλλα τὰ πεφυκότα πᾶσιν αὐτὰ φαίνεται· ἀλλὰ τοὺς μὲν πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. Εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ τῆς βασιλείας συμφύλακας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου, ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. Καὶ πολῖται τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι, καὶ [e] σύσσιτοι [f] ἀποσκήνων. 483 Οἱ δ' ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες, [g] [καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες,] καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; Μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς μάταια ποτὲ [h] ποιήσητε, ἀλλ' ἐπὶ ταῦτ' εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτω [i] δὴ ἀνυπέρβλητος [k] ἔσται ἡ ὑμετέρα φιλία. Ἑαυτοῦ [l] τε κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς ὢν μέγας [m] οὕτω καλὸν ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται [n] δὴ ἄνδρα μέγα δυνάμενον οὕτως, ὡς ἀδελφός; τίνα

24.

[a] Sic A. Ξ. ἐκ τοῦ ὀγδόου τῆς κ. π. Trinc. Scil. VIII. 7, 13.

[b] τόδε om. A. Trinc.

[c] πιστοὶ] πολλοὶ Gesn. marg.

[d] καὶ ἀσφαλέστατον om. A. Tr.

[e] σύσσιτοι] σύστοι (superscr. οι) A.

[f] ἀποσκήνων] αὐτοσκήνων A. B. αὐτοσκήνου Trinc.

[g] καὶ—τραφέντες om. A. Trinc.

[h] ποιήσετε] ποιήσητε A. Trinc. in Trinc. item om. ποτε.

[i] ἀεὶ] δὴ A. Trinc.

[k] ἀλλήλοις ἔσται] ἀλλήλοις om. A. Trinc.

[l] τε] τοι Gesn. marg.

[m] οὕτω] ὢν οὕτω A. Mox ἄλλως Trinc.

[n] δὴ] διὰ A. δι' Tr. Mox οὕτω Tr.

δὲ φοβήσεταί τις ἀδικεῖν, ἀδελφοῦ μεγάλου ὄντος, οὕτως ὡς τὸν ἀδελφόν; Μήτε οὖν θᾶττον μηδείς [o] σου τούτῳ ὑπακουέτω, μηδὲ προθυμότερον παρέστω. Οὐδενὶ γὰρ οἰκειότερα τὰ [p] τούτου, οὔτε τἀγαθὰ οὔτε τὰ δεινὰ, ἢ σοί. Ἐννόει δὲ καὶ τάδε· [q] τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυγχάνειν, ἢ τούτῳ; τίνι δ᾽ ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ᾽ αἴσχιον μὴ φιλεῖν, ἢ τὸν ἀδελφόν; τίνα δὲ προτιμᾶν πάντων κάλλιον, ἢ τὸν ἀδελφόν; Μόνου τοι, ὦ Καμβύση, πρωτεύοντος ἀδελφοῦ παρ᾽ ἀδελφῷ, [r] οὐδὲ φθόνος [s] παρὰ τῶν ἄλλων ἐφικνεῖται.

## * ΟΙΚΟΝΟΜΙΚΟΣ. ΠΕ.

1 [a] Σοφοκλῆς Αἴαντι.

Ὁ δ᾽ εἶπε πρός με βαί᾽, ἀεὶ δ᾽ ὑμνούμενα,
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

2 [a] Εὐριπίδου Ἰνοῦς.

Τοιάνδε χρὴ γυναικὶ πρόσπολον [b] ἐᾶν,
ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται·
τὰ δ᾽ αἰσχρὰ μισεῖ, καὶ κατ᾽ ὀφθαλμοὺς ἔχει.

3 [a] Ἡσιόδου Ἔργων.

Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω,
αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα [b] καλιήν.

[o] σου τούτῳ] τοσούτῳ A. B.
[p] τούτου] τοῦ βίου τ. A. B.
[q] τινι—ἢ τούτῳ om. A. B.
[r] οὐδὲ] ὁ δὲ A. B.
[s] παρ᾽] παρὰ τῶν A. B.
* In margine A. inscribitur, περὶ γυναικός τε καὶ περὶ τῆς κατὰ τὰς οἰκίας ἐπιμελείας καὶ περὶ γυναικῶν παραγγέλματα.

1.

[a] Sic A. Scil. v. 292. Simpl. Σοφοκλέ. Trinc.

2.

[a] Sic A. Scil. fr. 10. Simpl. Εὐριπίδου Trinc.
[b] ἐᾶν] μ᾽ ἐᾶν dedit Grotius. σ᾽ ἐᾶν vel περᾶν mavult Valckenærius Diatr. p. 176.

3.

[a] Sic A. Scil. v. 371. Simpl. Ἡσιόδου Trinc.
[b] καλιὴν] καλιὰν B.

4 [a] Εὐριπίδου Ἱκετίσιν.

Πάντα γὰρ δι᾽ ἀρσένων
γυναιξὶ πράσσειν εἰκὸς, αἵ τινες [b] σοφαί.

5 [a] Εὐριπίδου Ὀρέστῃ.

Εἰς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.

6 [a] Τοῦ αὐτοῦ Σθενοβοίᾳ.

Κομίζετ᾽ εἴσω τήνδε· πιστεύειν δὲ χρὴ
γυναικὶ μηδὲν, ὅστις εὖ [b] φρονεῖ βροτῶν.

7 [a] Θεοφράστου.

Οὐ χρὴ δὲ τὴν γυναῖκα δεινὴν ἐν τοῖς πολιτικοῖς, ἀλλ᾽ ἐν τοῖς οἰκονομικοῖς εἶναι.

8 [a] Ἐκ τῆς ἐπιστολῆς τῆς περὶ Φιλίας.

Γάμος γὰρ ἀπὸ μὲν φιλίας διττῆς [b] κράσεως βελτίων, ἑτέρως δὲ σφαλερός.

9 [a] Πλουτάρχου ἐκ τῶν Γαμικῶν παραγγελμάτων.

Αἱ βουλόμεναι μᾶλλον ἀνοήτων κρατεῖν ἀνδρῶν, ἢ φρονίμων ἀκούειν, ἐοίκασιν ἐν ὁδῷ [b] βουλομέναις μᾶλλον ὁδηγεῖν τυφλοὺς, ἢ τοῖς γιγνώσκουσιν ἀκολουθεῖν καὶ βλέπουσιν.

10 [a] Ἐν τῷ αὐτῷ.

Ἀνὴρ φιλοσώματος καλλωπίστριαν γυναῖκα ποιεῖ· [b] φιλήδονος δὲ ἐρωτικὴν, καὶ ἀκόλαστον· φιλάγαθος δὲ καὶ φιλόκαλος, σώφρονα καὶ κοσμίαν.

4.

[a] Sic A. Scil. v. 40. Simpl. Εὐριπίδου Trinc.

[b] σοφαί] σοφοὶ Gesn. marg.

5.

[a] Sic A. Scil. v. 108. Deest lemma Trinc.

6.

[a] Sic A. Scil. fr. 6. Deest lemma Trinc.

[b] φρονεῖ] φρονεῖν Trinc.

7.

[a] Sic A. Trinc.

8.

[a] Sic A. Deest lemma Trinc. v. Plutarchum Wyttenbachii T. V. p. 553=831.

[b] κράσεων] κράσεως A. Trinc.

9.

[a] Sic A. Scil. p. 139. A. Simpl. Πλουτάρχου Trinc.

[b] βουλομέναις] βουλομέναις B. (οις supra lin.)

10.

[a] Sic A. Scil. p. 140. B. Deest lemma Trinc.

[b] φιλήδονος] φιλήδονος δὲ A. et mox δὲ inserit post φιλάγαθος.

11 [a] Θεμιστοκλέους.

Θεμιστοκλῆς τῶν τὴν θυγατέρα μνωμένων αὐτοῦ τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας, Ἄνδρα, ἔφη, ζητεῖν χρημά- 484 των δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός.

12 [a] Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ.

Μέγα γὰρ δυσώπημα σωφροσύνης τέκνωσις.

13 [a] Ἐν τῷ αὐτῷ.

[b] Τὸ μὲν γὰρ τίκτειν ἀνάγκης ἔργον ἐστί· τὸ [c] δὲ ἐκτρέφειν, φιλοστοργίας.

14 [a] Τῶν ἕπτα σοφῶν περὶ τῆς κατὰ τὰς οἰκίας ἐπιμελείας.

Τοῦτον οὖν ἄριστον ὁ Σόλων εἶπεν αὐτῷ δοκεῖν οἶκον, ὅπου τὰ κτήματα μήτε κτωμένοις [b] ἄδικα, μήτε φυλάττουσιν [c] ἅπαντα, μήτε [d] δαπανῶν μετάνοια πρόσεστιν.

Ὁ δὲ Βίας, ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' [e] αὐτὸν, οἷος ἔξω διὰ τὸν νόμον.

Ὁ δὲ Θαλῆς, ἐν ᾧ πλείστην ἄγειν τῷ δεσπότῃ σχολὴν ἔξεστιν.

Ὁ δὲ Κλεόβουλος, εἰ πλείονας ἔχοι τῶν φοβουμένων αὐτὸν τοὺς φιλοῦντας ὁ δεσπότης.

Ὁ δὲ [f] Πιττακὸς, ὡς ἄριστος οἶκός ἐστιν, ὁ τῶν περισσῶν [g] μηδενὸς δεόμενος, καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος.

Ὁ δὲ Χίλων ἔφη, δεῖν μάλιστα [h] βασιλευομένῃ πόλει

11.
[a] Sic A. Deest lemma Trinc.

12.
[a] Sic A. Simpl. Δίωνος Trinc.

13.
[a] Sic A. Deest lemma Trinc.
[b] τὸ μὲν] ἀλλὰ τὸ μὲν A. B.
[c] δὲ ἐκτρέφειν] ἐκτρέφειν δὲ A. B.

14.
[a] Sic A. Τῶν ἑπτὰ σοφῶν tantum Trinc. v. Plutarch. II. p. 155. C.
[b] ἀδικία] ἄδικα A. Trinc.
[c] ἀπιστία] ἀπαντᾶ A. χαλεπὰ conj. Gesner. φυλάσσουσιν ἅπαντα Damasc. ἅπαντα Trinc. N.
[d] δαπανῶσι] δαπανῶν A. N. Trinc.
[e] αὑτὸν] αὐτὸν B.
[f] Πιττακὸς] Π. εἶπεν B.
[g] (μηδενὸς δεόμενος)] Parenthesi inclusa alias non leguntur. GESNER. Non leguntur scil. in exemplaribus hodiernis Plutarchi, e quibus plura, quam criticum decebat, in superioribus mutavit Gesnerus.
[h] βασιλευομένῃ] βασιλευομένους Damasc. βασιλευόμενον Trinc.

[i] προσεοικέναι τὸν οἶκον. Εἶτα προσεῖπε [k] καὶ Λυκοῦργος πρὸς τὸν κελεύοντα δημοκρατίαν ἐν τῇ πολιτείᾳ καταστῆσαι, Πρῶτον, ἔφη, ποίησον ἐν τῇ οἰκίᾳ σου [l] δημοκρατίαν.

15 [a] Ἐκ τοῦ Βρύσωνος Οἰκονομικοῦ.

Οὕτως ἔχει [b] ποτ' ἄλλαλα [c] τἀνθρώπινα πράγματα, καθάπερ [d] καὶ τᾶς ἁλύσιος τοὶ κρίκοι. Τῆνοίτε [e] γὰρ ἐξ ἀλλάλων ἄρτηνται, ἀλλάλους τ' [f] ἀκολουθέοντι, καὶ ἑνὸς ἐξ αὐτῶν [g] ἑλκυσθέντος, ὁποίου δή ποκα, τό τε ὅλον καὶ τὰ ἐξ ἀρχᾶς ἀκολουθεῖ. Καὶ τῶν τοῦ βίου δὲ πραγμάτων [h] ὁποῖα ἂν βούλῃ ἑλέσθαι, εὑρήσεις καὶ τὰ λοιπὰ ἐξ ἀνάγκας κατὰ τὸ ἑξῆς ἀλλάλοις ἑπόμενα. Αὐτίκα γὰρ εἰ κατὰ γεωργίαν τὶς ἐπιτηδεύοι, ἆρ' οὐ πρᾶτον [i] ἦμεν δεῖ τεκτονικάν; εἰ τεκτονικὰν, [k] δεῖ δὴ χαλκευτικάν· [l] εἰ χαλκευτικὰν, [m] δεῖ δὴ μεταλλευτικάν. Ἀλλ' ἵνα ἀγραυλεῖν [n] δυνατοὶ ὦντι, δεῖ σκέπαν ἦμεν τὰν περὶ τὸ σῶμα· τοιγαροῦν ὑφαντικᾶς καὶ οἰκοδομικᾶς ἐντὶ χρεία. Καὶ τἄλλα [o] μὲν πάντα μαστευόμενος καὶ ἀνερευνῶν, οὕτως εὑρήσεις ἔχοντα [p] ποτ' ἄλλαλα. [q] Δοῦλος δὴ πᾶς ὀνυμαίνεται τριχῶς· ὁ μὲν γάρ τις δοῦλος κατὰ νόμον γίγνεται· ὁ δὲ [r] καττὸν τρόπον τᾶς ψυχᾶς, ὁ κρατούμενος ὑπὸ τῶν ἰδίων παθημάτων τᾶς ψυχᾶς· ὁ δὲ τοιοῦτος οὐχ ἁπλῶς δοῦλος, οὐδ' ὁ τᾷ φύσει

[i] προσεοικέναι] προσεοικέται Trinc.
[k] ὅτι] καὶ Trinc. A. αὐτὴ προσ. καὶ A. Damasc.
[l] δημοκρατίαν] δημοκρατείαν Trinc.

15.

[a] Sic A. Trinc.
[b] ποτ' ἄλλα] ποττ' ἄλλ (α) A. ποττ' ἄλλα Trinc. ἄλλαλα Gesnerus.
[c] τἀνθρώπινα] τἀνθρώπεια B.
[d] καὶ om. A.
[e] γὰρ om. A.
[f] ἀκολουθέοντι] ἀκολουθίοντι A.
[g] ἑλκυσθέντος] ἑλκυσθέντες A.
[h] ὁποῖαν] ὁποῖα A. Trinc.
[i] ἦμεν] εἰμὲν A. B. εἶμεν Trinc.
[k] δεῖ δὴ] δεῖν δεῖ A. B. δεῖν δὴ Tr.
[l] εἰ om. A. Trinc.
[m] δεῖ] δεῖν A. Trinc.
[n] δυνατοὶ ὦντι] δυνατὸν οὖν τι A. B.
[o] μὲν] δὲ A.
[p] ποττ'] ποτ' B.
[q] οὕτω δὴ πᾶσιν ἡμῖν ἄγρα τριτῶς] δοῦλος δὴ πᾶς ὃν ὑμῖν ἔγρετε τριχῶς B. et fere A. ubi tamen δ' οὗτος. Scribendum suspicor: δοῦλος δὴ πᾶς ὀνυμαίνεται τριχῶς.
[r] κατὰ τὸν] καττὸν A. ὁ κρατούμενος—ψυχᾶς om. B. et ni fallor A. Fortasse ex interpretatione irrepserunt.

δοῦλος, ἀλλὰ τῶν παθῶν δοῦλος, καὶ ἐν [s] καταχρήσει δοῦλος· καὶ μᾶλλον μοχθηρὸς ἄνθρωπος, ἢ δοῦλος κατὰ φύσιν· κατὰ φύσιν δὲ δοῦλος, ὁ δυνάμενος αὐτάρκως τὰς διὰ τῶ σώματος ὑπηρεσίας παρέχεσθαι τοῖς δεσπόταις, καὶ ἐν τῷ ὁδοὺς πορευθῆναι, καὶ φορτία βαστάξαι, καὶ κακοπαθείας καὶ διακονίας ὑπομένεν, μήτε δὲ ἀρετὰν, μήτε κακίαν ἐπιδεχόμενος ψυχικάν.

16 [a] Καλλικρατίδα Πυθαγορείου Λάκωνος ἐκ τοῦ Περὶ οἴκων Εὐδαιμονίας.

Τὸ μὲν ὦν ὅλον ὑπολαπτέον [b] ἦμεν σύσταμα κοινωνίας συγγενικᾶς. Σύσταμα [c] μὲν πᾶν ἔκ τινων ἐναντίων [d] καὶ ἀνομοίων σύγκειται, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται, καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται· ὅ τε γὰρ ὀνυμαινόμενος χορὸς σύσταμά τι ἐντὶ κοινωνίας ᾠδικᾶς, καὶ ποτὶ ἕν τι κοινὸν ἐπαμφέρεται, τὰν συνῳδίαν· [e] ἔν τε ναῒ τὸ [f] σύσταμα τῶ σώματος περὶ τὰν [g] ναῦν ἔκ τινων ἀνομοίων καὶ ἐναντίων συνέστακε, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται, τὸν κυβερνάταν, καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται, τὰν εὔπλοιαν· [h] οὕτως δὲ καὶ ὁ οἶκος, σύσταμα κοινωνίας [i] συγγενικᾶς ὑπάρχων, ἔκ τινων ἀνομοίων συνέστακε τῶν ἰδίων μερέων, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται, τὸν οἰκοδεσπόταν, καὶ ποτὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται, τὰν ὁμοφροσύναν. [k] Ὡς δ' ἁπλῶς [l] εἰπὲν, πᾶς ὁ οἶκος καθάπερ ψαλτήριον τριῶν τούτων χρῄζει τυχὲν, ἐξαρτύσιος,

[s] καταχρήσει] καταχράσει B.

16.

[a] Sic A. Trinc. In A. tamen Καλλιστρατίδα.

[b] ἦμεν] εἶμεν B. εἶπεν Trinc.

[c] δὲ] μὲν A. B. σύσταμα δὲ πᾶν om. Trinc.

[d] ἀνομοίων] καὶ ἀνομοίων A. Trinc.

[e] ἔτι καὶ] ἔν τε ναῒ A. Trinc.

[f] σύστημα] σύσταμα A.

[g] ναῦν] νᾶα A. B. νᾶαν Trinc. ἐν τᾷ ναῒ—νᾶν Koënius ad Gregor. Dial. Dor. CXXV.

[h] οὕτω] οὗτος A.

[i] συγγενικᾶς] συγγενιακᾶς A.

[k] ὡς δ' ἁπλῶς] Vide infra in sermone de Felicitate in Euryphami verbis. Gesner.

[l] εἰπεῖν] εἰπὲν A. B.

συναρμογᾶς, ἀφᾶς τινος καὶ χρήσιος μωσικᾶς. Ἐξάρτυσις μὲν ὦν ἐντι, ἁ σύνθεσις τῶν αὐτῶν μερῶν ἁπάντων, ἐξ ὧν [m] συμπλαροῦται τό τε ὅλον καὶ τὸ πᾶν [n] σύσταμα τᾶς [o] συγγενικᾶς κοινωνίας· τῶν δὲ μερέων [p] αὐτῶν δύο πρᾶτα καὶ μέγιστα, ἄνθρωπος καὶ κτᾶσις, τὸ κυβερνώμενον καὶ τὰν χρᾶσιν ἐμπαρεχόμενον. Ὥσπερ δὲ καὶ ζώω τὰ πρῶτα μέρεα [q] καὶ τὰ μέγιστα, ψυχὰ καὶ σῶμα· καὶ ψυχὰ μέν ἐντι τὸ κυβερνῶν καὶ [r] χρεόμενον, σῶμα δὲ τὸ κυβερνώμενον καὶ τὰν χρᾶσιν ἐμπαρεχόμενον· [s] καὶ ὁ μὲν βίος, ὄργανον ἐπίκτατον ζωᾶς τᾶς ἀνθρωπίνας, τὸ δὲ σῶμα, ὄργανον σύμφυτον καὶ συγγενὲς τᾶς ψυχᾶς. Τῶν δὲ συμπλαρούντων τὸν οἶκον ἀνθρώπων, τοὶ μὲν συγγενέες· τοὶ δ' οἰκῆοι. Καὶ συγγενέες μὲν, ἀπὸ τοῦ αὐτοῦ αἵματος γενόμενοι, ἢ τὰν αὐτὰν ἀρχὰν ἔχοντες, ἐκ τῶν κατασπειράντων πράτων τὸ γένος· οἰκῆοι δὲ ἐπίκτητοι συγγενέες, ἀπὸ τᾶς τῶ γάμω κοινωνίας λαμβάνοντες τὰν καταρχάν. Οὗτοι δὲ [t] τυγχάνοντι, ἤτοι πατέρες, ἢ ἀδελφοὶ, ἢ μητροπάτορες, ἢ [v] πατροπάτορες, ἢ ἕν γέ τι τούτων ἔχοντες τῶν εἰς τὸν γάμον συνελθόντων. Εἰ δὲ καὶ τὸ τῶν φίλων ἀγαθὸν ἐπὶ τὸν οἶκον ἐπαμφέρεται, ([w] μέζων γὰρ οὕτως γίγνεται καὶ μεγαλοπρεπέστερος, οὐ μόνον οὐσίᾳ καὶ συγγενείᾳ [x] πολύριθμος γενόμενος, ἀλλὰ καὶ [y] φίλων πολυπλαθίᾳ) φανερὸν ὡς [z] καὶ τοῦτο [a] μέζονα ποιεῖ τὸν οἶκον, τὸ ἑταιρικὸν εἶδος τᾶς

[m] συμπλαροῦται] συμπλαροῦνται Trinc.
[n] σύστημα] σύσταμα A.
[o] συγγενικᾶς] γενικᾶς A. B.
[p] αὐτῆς] αὐτῶν A. B. Gesner. marg.
[q] μέγιστα] τὰ μέγιστα A. B.
[r] χρεώμενον] χρεόμενον A. Trinc.
[s] καὶ ὁ μὲν] τὸ ὁ μὲν Trinc.
[t] τυγχάνοντι] τυγχάνοντιν A.
[v] πατροπάτορες] προπάτορες A. B. Gesn. marg. Mox τι om. Trinc. Desunt ibid. ἔχοντες—ἀγαθόν.
[w] μέζων] μεῖζον A.
[x] πολήριθμος] πολύριθμος A. Tr.
[y] φίλων] φίλαν A.
[z] καὶ] κε A. B.
[a] μέζονα ποιεῖ] μέζον ἀπὸ τὸν οἶκ A. (videtur a p. m. fuisse ἀπὸ τῶν οἴκων vel ἀπὸ τοῦ οἴκου) μέζον ἀπὸ τοῦ οἴκου B. ὁ post τοῦτο excidisse putat Wakefield.

φιλίας, συγκαταριθματέον ἐν τᾷ συμπλαρώσει τῶ οἴκω. Τῆς δὲ κτάσιος, ἁ μέν ἐντι ἀναγκαία· ἁ δὲ [b] ἐλευθέριος. Ἀναγκαία μὲν, [c] ἁ ποτταύτας ἐξυπηρετοῦσα τὰς τῶ βίω χρῄας· ἐλευθέριος δὲ, ἁ ποτὶ κόσμον καὶ διαγωγὰν ἄγοισα τὸν ἄνθρωπον, ὥστε μὴ ἑτέρων δέεσθαι. Ἁ δ' ὑπερβάλλοισα κόσμον ἐλευθέριον καὶ [d] διαγωγὰν, καταρχὰ ὕβριος καὶ ὀλέθρου ῥιζοῦται τοῖς ἀνθρώποις. [e] Ἀνάγκα γὰρ τὼς πολλὰ ἔχοντας τετυφῶσθαι πρᾶτον, τετυφωμένως δὲ ἀλαζόνας γίγνεσθαι· ἀλαζόνας δὲ γενομένως, ὑπερηφάνως ἦμεν, καὶ μήτε ὁμοίως μήτε ἴσως ὑπολαμβάνεν τὼς συγγενέας, καὶ ὁμοφύλως, καὶ φυλέτας· ὑπερηφάνως δὲ γενομένως, ὑβριστὰς ἦμεν· ὕβριος δὲ πάσας ἔσχατον καὶ πέρας, ὄλεθρος. [f] Ὄκα ὧν ἐν οἴκῳ καὶ πόλει περιουσιάζῃ, τὰ περισσὰ τὸν νομοθέταν δεῖ περικόπτειν καὶ περιτέμνειν, ὡς ἀγαθὸν γεωργὸν τὰ φύλλα μὴ ἀνιέντα τᾶς [g] κτάσιος. Τῶ δὲ συγγενικῶ καὶ [h] οἰκηακῶ μέρεος [i] τῶ ἀνθρώπω τριττὸν [k] τὸ εἶδος. Τὸ μὲν γάρ ἐντι ἄρχον· τὸ δ' ἀρχόμενον· τὸ δ' ἐπίκουρον τῶ οἴκω καὶ τᾶς συγγενείας· καὶ ἄρχον μὲν ὁ ἀνήρ· ἀρχόμενον δὲ ἁ γυνά· ἐπίκουρον δὲ τὸ γεννατὸν ἐκ τούτων.

17 [a] Ἐν τῷ αὐτῷ.

Ἐπὶ τᾶς πρακτικᾶς καὶ κατὰ λογισμὸν ἀρχᾶς, ἁ μέν 486
ἐστι δεσποτικὰ, ἁ δὲ ἐπιστατικὰ, [b] ἁ δὲ πολιτικά. Καὶ δεσποτικὰ μέν [c] ἐντι, ἁ τῶ ἰδίω συμφέροντος ἄρχοισα, ἀλλ' οὐ τῶν ἀρχομένων· ταύταν γὰρ ἄρχει τὰν ἀρχὰν ὁ μὲν δεσπότας, τῶν δούλων· ὁ δὲ τύραννος, τῶν ὑποτεταγμένων.

[b] ἐλευθέριος] ἐλευθερία A. p. m.
[c] ἁ ποτταύτας] ὑπὸ ταύτας A. B.
[d] διεξαγωγὰν] διαγωγὰν A. B. Gesn. marg.
[e] ἀνάγκη] ἀνάγκα A.
[f] ὄκα οὖν] ὧν A. B.
[g] κτήσιος] κτάσιος A. B.
[h] οἰκειακῶ] οἰκηακῶ A.
[i] τῶ ἀνθρώπω] τῶν ἀνθρώπων B.
[k] εἶδος] τὸ εἶδος A. B.

17.

[a] Sic A. Trinc.
[b] ἁ δὲ—πολιτικὰ om. A. m. p.
[c] ἐντὶ om. A.

Ἐπιστατικὰ δὲ ἕνεκα τῶν ἀρχομένων, ἀλλ' [d] οὐχ αὐτᾶς· ταύταν δ' ἄρχουσι τὰν ἀρχὰν τοὶ μὲν ἀλεῖπται, τῶν ἀθλητῶν· καὶ τοὶ ἰατροὶ, τῶν [e] νοσεόντων· καὶ τοὶ διδάσκοντες, τῶν διδασκομένων. Οὐ γὰρ αὐτοῖς τὸ συμφέρον, ἀλλὰ τοῖς ἀρχομένοις ποτιποιοῦντι· τοῖς μὲν [f] καμνόντεσιν, τοὶ ἰατροί· τοῖς δὲ σωμασκεῦσιν, τοὶ ἀλεῖπται· τοῖς δὲ ἀνεπισταμόσιν, οἱ ἐπιστάμονες. Πολιτικὰ δέ ἐντι ἀρχὰ, ἅτις τέλος ἔχει τὸ κοινᾷ συμφέρον καὶ τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων· κατὰ γὰρ ταύταν τὰν ἀρχὰν, ἐν μὲν τοῖς ἀνθρωπίνοις ὅ τε οἶκος καὶ ἁ πόλις συνήρμοσται, ἐν δὲ τοῖς [g] θήοις ὁ κόσμος. Μίμαμα δ' οἶκος καὶ πόλις, [h] κattὰν ἀναλογίαν τᾶς τῶ κόσμω διοικήσεως. Ἀρχὰ μὲν γὰρ τὸ [i] θῆον τᾶς φύσιος, οὔτε τὸ ἐκείνων συμφέρον [k] σκοπεύμενον, οὔτε μὰν τὸ ἴδιον ἀπολελυμένως, ἀλλὰ τὸ κοινᾷ. Καὶ διὰ τοῦτο ποταγορεύεται ὁ κόσμος ἀπὸ τᾶς τῶν [l] συμπάντων διακοσμάσιος, ποθ' ἓν τὸ ἄριστον συντεταγμένος. Τὸ δ' ἕν ἐστιν ἄριστον αὐτὸς, ὅπερ ἐστὶ κattὰν ἔννοιαν, ζῶον οὐράνιον, ἄφθαρτον, ἀρχά τε καὶ αἰτία τᾶς τῶν ὅλων διακοσμάσιος. [m] Ἐπεὶ ὦν καὶ ὁ ἀνὴρ ἀρχὰ τᾶς γυναικὸς, ἤτοι τὰν δεσποτικὰν [n] ἄρχη ἀρχὰν, ἢ τὰν ἐπιστατικὰν, ἢ τό γε ἔσχατον, τὰν πολιτικὰν [o] ἄρχη· οὔτε δὲ τὰν δεσποτικὰν ἀρχὰν, κάδεται γὰρ καὶ [p] ἐπιμελῆται τᾶς αὐτῶ γυναικός· οὔτε τὰν ἐπιστατικὰν καθάπαξ, καὶ αὐτὸς γὰρ μέρος ἐντὶ τᾶς κοινωνίας· ἀπολείπεται ὦν, [q] τὰν πολιτικὰν, [r] καθ' ἂν τίθεται καὶ ὁ ἄρ-

[d] οὐχ αὐτᾶς] οὐχὶ αὐτῆς A.
[e] νοσίων A.
[f] καμνόντεσιν] καμνόντεσσιν B. καπνόντεσιν Trinc.
[g] θήοις] θείοις B. Mox μίμακα Trinc.
[h] κattὰν] καὶ κ. Λ. καὶ κατὰ τὰν B.
[i] θεῖον] θῆον A. Paullo ante γὰρ om. Trinc.
[k] σκοπεύμενον] σκοπεούμενον A.
[l] πάντων] συμπάντων A. B.
[m] ἐπεὶ ὦν] ἐπιὼν A. B.
[n] ἄρχη ἀρχὰν] ἀρχὰν ἀρχᾶν A.
[o] ἀρχὰν] ἀρχὴ A.
[p] ἐπιμέλεται τῆς αὐτῶ γυναικός] ἐπιμελῆται τᾶς αὐτογυναικός A. ἐπιμελῆται A.
[q] τὰν πολιτικὰν] τᾶν πολιτικᾶν A.
[r] κατ' ἂν] καθ' ὧν A. B.

χων καὶ ὁ ἀρχόμενος τὸ κοινᾷ συμφέρον. Διόπερ καὶ ὁ γάμος ἐπὶ βίου κοινωνίᾳ συνίσταται. Οἱ μὲν ὦν τὰν δεσποτικὰν ἄρχοντες ἀρχὰν τῶν ἀνδρῶν μισεῦνται ὑπὸ τῶν γυναικῶν· οἱ δὲ τὰν ἐπιστατικὰν, καταφρονέονται· προσθῆκαι γὰρ ἂν φαίνοιντο τῶν γυναικῶν, καὶ κόλακες· οἱ δὲ τὰν πολιτικὰν, καὶ θαυμαίνονται καὶ φιλέονται. Ἀμφότερα δὲ ταῦτα [s] ἐσσεῖται, αἴκα ἁδονᾷ καὶ σεμνότατι κεκραμέναν ποτιφέρηταί τις τὰν ἀρχάν· [t] τὰν μὲν ἁδονὰν ἐν τῷ ἀγαπῆν ποτιφερόμενος, τὰν δὲ σεμνότατα, [v] ἐν τῷ μηδὲν εὐτελὲς μηδὲ ταπεινὸν πράττειν.

18 [a] Ἐν ταυτῷ.

[b] Γαμίσκοντα δὲ δεῖ γαμὲν [c] ποτὶ τὰν αὐτῶ τύχαν· ἵνα μήτε ὑπὲρ τὰν δύναμιν, μήτε μήονα τᾶς δυνάμιος τὸν γάμον ἐπάγηται, ἀλλὰ [d] ποτὶ [e] λόγον τᾶς ἰδίας δυνάμιος. Οἱ μὲν γὰρ ὑπὲρ τὰν δύναμιν ἐπάγοντες, στασιάζοντι διὰ τὰν [f] ἁγεμονίαν· [g] ἁ μὲν γὰρ [h] τῷ πλούτῳ καὶ τῷ γένει καθυπερέχοισα τἀνδρὸς ἄρχειν προαιρεῖται, ὁ δὲ ἀνάξιον ἁγεῖται καὶ παρὰ φύσιν [i] συγχωρέν· οἱ δὲ [k] μήονα τᾶς δυνάμιος, τὸ ἀξίωμα καὶ τὸ μέγεθος [l] τῶ οἴκω συναιροῦντι. Δεῖ δὲ τὸν μωσικὸν μιμεῖσθαι, ὃς τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκ- 487
μαθὼν, οὕτως πειρᾶται τὰν μέσαν καθιστάμεν, ὅπως καὶ ἐπὶ τὰ ὀξέα καὶ ἐπὶ τὰ βαρέα διαρκέσαι δύναται, καὶ μήτε ῥήξῃ, μήτε ἀπολίπῃ τὴν τάσιν. Οὕτως οὖν δεῖ καὶ γάμον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυχᾶς, ὅπως

[s] ἐσεῖται] ἐσσεῖται A. B.
[t] τὰν] τὰ B. δὲ pro μὲν Trinc.
[v] ἐν om. A. B.

18.

[a] Sic A. Deest lemma Trinc.
[b] Γαμίσκοντα] Γαμησήοντα corrigit Valckenærius ad Euripid. Phœniss. 1214.
[c] ποτὶ om. B.
[d] ποτὶ om. A. B.
[e] λόγον] λόγῳ B.
[f] ἡγεμονίαν] ἁγεμονίαν A.
[g] ἁ] τὰ A. Trinc. Ars.
[h] τῷ] καὶ τῷ A. ubi omittitur καὶ post πλούτῳ. Mox προαιρῆται Trinc.
[i] συγχωρέν] συγχωρεῖ A. B.
[k] μήονα] μῆον A.
[l] τῶ οἴκω] τῶν οἴκων Trinc. Ars.
[m] τὴν] τὰν A.

μὴ μόνον ἐν εὐτυχίᾳ συνεκτρέχειν [n] ἀλλάλοις δυνατοὶ ὦντι. Ποτὶ λόγον δὲ [o] μναστευσάμενον τὸν γάμον δεῖ καὶ ἐπίτροπον καὶ κύριον καὶ ἐπιστάταν τᾶς αὐτῶ γυναικὸς ἦμεν· ἐπίτροπον μὲν, [p] τῷ φροντίζειν τῶν ἐκείνας, κύριον δὲ, τῷ ἄρχεν καὶ κυριεύειν· διδάσκαλον δὲ, τῷ διδάσκειν τὰ δέοντα. Τοῦτο δ' [q] ἐσσεῖται μάλιστα, αἴκα τὶς ἀγαθῶν προγόνων σκοπιασάμενος παιδίον [r] ἀκμάζουσαν γαμίσκῃ. Καὶ γὰρ εὔπλαστοι καὶ εὐάγωγοι [s] τυγχάνοντι πρωτονύμφευτοι· καὶ ποτὶ τὸ μαθὲν εὐφυῶς ἔχοντι, καὶ ποτὶ τὸ φοβηθῆμεν καὶ ἀγαπάξαι [t] τὸν αὐταύτας ἄνδρα.

19 [a] Περικτυόνης Πυθαγορείας ἐκ τοῦ Περὶ γυναικὸς ἁρμονίας.

Τὴν ἁρμονίην [b] γυναῖκα νώσασθαι δεῖ φρονήσιός τε καὶ σωφροσύνης πλείην· κάρτα γὰρ ψυχὴν πεπνύσθαι δεῖ εἰς ἀρετήν· ὥστ' ἔσται καὶ δικαίη, καὶ ἀνδρήη, καὶ φρονέουσα, καὶ [c] αὐταρκήην [d] καλλυνομένη, καὶ κενὴν δόξαν [e] μισέουσα. Ἐκ τούτων γὰρ ἔργματα [f] καλὰ γίνεται γυναικὶ ἐς αὐτήν τε καὶ ἄνδρα, καὶ τέκνα, καὶ οἶκον· πολλάκις δὲ καὶ [g] πόλει, εἴγε πόλιας ἢ ἔθνεα ἡ τοίη γε κρατύνοι, ὡς ἐπὶ βασιλήης [h] ὁρέομεν. Κρατέουσα [i] ὧν ἐπιθυμίας καὶ θυμοῦ, θείη καὶ ἁρμονίη γίγνεται· ὥστε οὐδὲ ἔρωτες αὐτὴν ἄνομοι διώξουσιν, ἀλλ' ἐς ἄνδρα τε καὶ τέκεα καὶ τὸν οἶκον ξύμπαντα φιλίην ἕξει. Ὁκόσαι γὰρ ἐράστριαι τελέθουσιν ἀλ-

[n] ἀλλήλοις] ἀλλάλοις A. Post ὦντι in versione addit Gesnerus (*sed etiam in adversa.*) cum hac nota in margine: "Inclusa parenthesi "de nostro addidimus."

[o] μαστευόμενον] μναστευσάμενον A. B.

[p] τῷ] τῶν A.

[q] ἐσεῖται] ἐσσεῖται A.

[r] ἀκμάζουσαν] ἀκμάσουσαν A. B.

[s] τυγχάνοντι] τυγχάνουσι B.

[t] τὸν αὐτῶν] αὐταύτας A. τὸν αὐτῆς B. τὸν αὖ ταύτας Trinc. Vide supra ad I. 74.

19.

[a] Sic A. Trinc.

[b] γυνὰ ἱκανώσασθαι] γυναῖκα νώσασθαι Valckenærius ad Herodot. IX. 53.

[c] αὐταρκήη] αὐταρκείην A. B.

[d] καλλυνομένη] καλλυνωμένη A. B.

[e] μισέουσα] μισγέουσα A.

[f] κακὰ B.

[g] πόλεις] πόλει A. Trinc.

[h] ὁρέομεν] καὶ ὁ. A.

[i] οὖν] ὦν A.

λοτρίων λεχέων, αὗται δὲ πολέμιαι γίγνονται πάντων τῶν ἐν τῇ οἰκίῃ ἐλευθέρων τε καὶ οἰκετέων· καὶ [k] συντίθεται δόλους ἀνδρὶ, καὶ ψεύδεα κατὰ πάντων [l] μυθίζεται πρὸς τοῦτον, ἵνα μούνη δοκέῃ διαφέρειν εὐνοίῃ, καὶ τῆς οἰκίης κρατῇ, ἀργίην [m] φιλέουσα. Ἐκ τούτων γὰρ [n] φθορὴ γίγνεται συμπάντων, ὁκόσα αὐτῇ τε καὶ τῷ ἀνδρὶ [o] ξυνά ἐστι. Καὶ ταῦτα μὲν ἄχρι τῶνδε λελέχθω. Σκῆνος [p] δὲ ἄγειν χρὴ πρὸς μέτρα φύσιος, τροφῆς τε πέρι καὶ ἱματίων, καὶ λουτρῶν, καὶ ἀλείψεων, καὶ τριχῶν θέσιος, καὶ τῶν ὁκόσα ἐς κόσμον ἐστὶ χρυσοῦ καὶ λίθων. Ὁκόσαι γὰρ πολυτελέα πάντα ἐσθίουσι καὶ πίνουσι, καὶ ἀμπέχονται, καὶ [q] φορέουσι, τὰ φορέουσι γυναῖκες, ἐς ἁμαρτίην [r] ἕτοιμοι κακίης συμπάσης, ἔς τε λέχεα καὶ ἐς τὰ ἄλλα ἀδικοπρηγέες. Λιμὸν ὦν καὶ δίψαν [s] ἐξακέσασθαι δεῖ μοῦνον, [t] κἢν ᾖ ἐκ τῶν εὐτελέων, [v] ἢ καὶ ῥίγος, κἢν νάκος, κἢν [w] σισύρη. Βρωτῆρας δὲ εἶναι τῶν τηλόθεν, ἢ τῶν πολλοῦ πωλεομένων, ἢ τῶν ἐνδόξων, κακίη [x] οὐχὶ μικρὰ πέφαται· ἢ [y] ἠμφιᾶσθαι εἵματα εἰκότα λίην, καὶ [z] ποικίλα ἀπὸ θαλασσίης βάψιος τοῦ κόχλου, ἢ ἄλλης χρόης [a] πολυτελέος, μωρίη πολλή. Σκῆνος γὰρ ἐθέλει μὴ ῥιγέειν, μηδὲ γυμνὸν εἶναι, χάριν [b] εὐπρεπείης, ἄλλου δ' οὐδενὸς χρήζει. Δόξα δὲ ἀνθρώπων μετὰ ἀμαθίης ἐς τὰ κενεά τε καὶ περισσὰ ἵεται Ὥστ' οὔτε χρυσὸν ἀμφι-

[k] συντίθεται] συντιθῇ καὶ δούλους N. συντιθῇ ψύθη καὶ A. B. συντιθῇ καὶ δόλους Trinc.
[l] μυθίζεται] μισίζεται A.
[m] φιλέουσα] φιλέοισα A.
[n] φθορί (η superscript) A. φθορίη B.
[o] ξυνά ἐστι] ξύνεστι A. B.
[p] δὲ] γὰρ A.
[q] φορέουσι] φορέουσι τὰ φορέουσι A. Trinc. Supra ὁκόσα Trinc.
[r] ἕτοιμαι] ἕτοιμοι A.
[s] ἐξακέσασθαι] ἐξακέεσθαι B.
[t] κἢν ᾖ] ἢ A.
[v] κἢν] ἢ καὶ A. ubi mox om. κἢν νάκος.
[w] σισύρη] σισύρα A. Videatur Schæferus Melet. p. 107.
[x] οὐχὶ] οὐχ ἡ A. B.
[y] ἢ διαφᾶσθαι] ἠμφιᾶσθαι Valcken. Diatr. p. 272.
[z] ποικίλην] ποικίλα A. Trinc.
[a] πολυτελέως] πολυτελέος A. Tr.
[b] εὐπρεπείης] εὐπρεπίης A.

θήσεται, ἢ λίθον Ἰνδικὸν, ἢ χώρης ἐόντα ἄλλης· οὐδὲ πλέ- 488
ξεται πολυτεχνίησι τρίχας, οὐδ᾽ ἀλείψεται Ἀραβίης ὀδμῆς ἐμπνέοντα· οὐδὲ χρίσεται πρόσωπον λευκαίνουσα ἢ ἐρυθραίνουσα τοῦτο, ἢ μελαίνουσα ὀφρύας τε καὶ ὀφθαλμοὺς, καὶ τὴν πολιὴν τρίχα βαφαῖσι [c]τεχνεωμένη, οὐδὲ λούσεται θαμινά. Ἡ γὰρ ταῦτα [d]ζητέουσα θηητῆρα ζητεῖ ἀκρασίης γυναικήης. Κάλλος γὰρ τὸ ἐκ φρονήσιος, [e]οὐχὶ δὲ τὸ ἐκ τούτων, ἁνδάνει ταῖς γιγνομέναισιν εὖ. Ἀναγκαῖα δὲ μὴ ἡγεέσθω [f]εὐγενίην καὶ πλοῦτον, καὶ μεγάλης πόλιος πάντως γενέσθαι, καὶ δόξαν, καὶ φιλίην ἐνδόξων καὶ βασιληΐων ἀνδρῶν· ἢν μὲν γὰρ ἔῃ, οὐ λυπέει· ἢν δὲ μὴ ἔῃ, ἐπιζητέειν οὐ [g]ποιέει· τούτων γὰρ [h]δίχα φρονίμη γυνὴ ζῆν οὐ κωλύεται. [i]Κῆν ἔῃ δὲ ταῦτα ἅπερ [k]λελάχαται, τὰ μεγάλα καὶ θαυμαζόμενα μή [l]ποτε διζέσθω ψυχὴ, ἀλλὰ καὶ [m]ἄπουν αὐτῶν βαδιζέτω· βλάπτει γὰρ μᾶλλον ἐς ἀτυχίην ἕλκοντα, ἢ ὠφελέει. [n]Τούτοισι γὰρ ἐπιβουλή τε καὶ φθόνος καὶ βασκανίη προσκέεται, ὥστε ἐν ἀταραξίῃ οὐκ ἂν γένοιτο ἡ τοιήδε. Θεοὺς δὲ σέβειν δεῖ, ἐς εὐελπιστίην [o]εὐδαιμονίης, νόμοισί τε καὶ θεσμοῖσι πειθομένην πατρίοισι. Μετὰ δὲ τούτους μυθέομαι τοὺς θεοὺς γονέας τιμᾶν καὶ σέβειν· οὗτοι γὰρ ἴσα θεοῖσι πάντα πέλουσι καὶ πρήσσουσι τοῖς ἐγγόνοισι. Πρὸς δὲ τὸν ἄνδρα τὸν ἑαυτῆς ζώην ὧδε δεῖ νομίμως καὶ κρηγύως, μηδὲν [p]ἐννενωμένην ἰδίῃ, ἀλλ᾽ εὐνὴν τηρεῦσαν καὶ [q]φυλάσσουσαν· ἐν τούτῳ γάρ ἐστι τὰ

[c] τεχνωμένη] τεχνεωμένη A. Trinc.
[d] ζητέουσα] ζητέοισα A.
[e] οὐχὶ] οὐκὶ A.
[f] εὐγενίην] εὐγενήην A.
[g] ποιέει. Defendit contra Jacobsium Schæferus Melet. p. 106.
[h] δίχῃ] δίχα A. Trinc.
[i] κῆν ἔῃ] κηνέῃ A. μὴ addit Gesnerus.
[k] λελέχαται] λελάχαται A. Tr.
[l] ποτε δίζεσθω] πο ῥιζέσθω A. ποριζέσθω B.
[m] ἄπουν] ἀποῦν A. ἄνευ conj. Gesnerus, ἄποθεν Wakefield.
[n] τούτοις] τούτοισι A.
[o] εὐδαιμονίης] εὐδαιμονιῃ A.
[p] ἐννενοημένην] ἐννεομένην Trinc. ἐννενομένην B. ἐννενωμένην Valckenærius.
[q] φυλάττουσαν] φυλάσσουσαν A.

ξύμπαντα. Φέρειν δὲ χρὴ τῷ ἀνδρὸς πάντα, [r]κὴν ἀτυχῇ, κὴν ἁμάρτῃ, κατ' ἄγνοιαν, ἢ νοῦσον, ἢ μέθην, ἢ ἄλλῃσι γυναιξὶ συγγένηται· ἀνδράσι μὲν γὰρ ἐπιχωρέεται ἁμαρτίη αὕτη· γυναιξὶ δὲ οὐκέτι, τιμωρίη δ' ἐφέστηκεν. [s]Νώσασθαι [t]οὖν τὸν νόμον δεῖ, καὶ μὴ ζηλοτυπέειν· φέρειν δὲ καὶ ὀργὴν καὶ φειδωλίην καὶ μεμψιμοιρίην καὶ ζηλοτυπίην καὶ [v]κακηγορίην, καὶ ἤν τι ἄλλο ἔχῃ ἐκ φύσιος, καὶ [w]τούτῳ ζήσεται πάντα, ὅκως φίλον ἐστὶν αὐτέῳ σωφρονέουσα. Γυνὴ γὰρ ἀνδρὶ φίλη οὖσα καὶ τἀνδρὸς πρήσσουσα [x]κρηγύως, ἁρμονίη ὑπάρχει, καὶ οἶκον τὸν ξύμπαντα φιλέει, καὶ τοὺς θύρηθεν εὐνόους τῇ οἰκίῃ ποιέει· ἐπὴν δὲ μὴ φιλέῃ οὔτε οἶκον, οὔτε παῖδας τοὺς ἑωυτῆς, οὔτε θεράποντας, οὔτε [y]οὐσίην ἡντιναῶν [z]ἐθέλει σῴαν ἐσιδέειν, φθορὴν δὲ πᾶσαν [a]ἀγεῖται, καὶ εὔχεται εἶναι, ὡς πολεμίη ἐοῦσα, καὶ τὸν ἄνδρα εὔχεται [b]τεθνάναι ὡς ἐχθρὸν, ὅπως ἄλλοισιν ὁμουρέῃ, καὶ ὁκόσοι ἀνδάνουσι τουτέῳ, ἐχθαίρει. [c]Ὁρῆν δὲ αὐτὴν ὧδε δοκέω, [d]εἰ πλείως τελέθει φρονήσιός τε καὶ σωφροσύνης. Οὐ γὰρ [e]μοῦνον ἐθελήσει τὸν ἄνδρα, ἀλλὰ καὶ παῖδας καὶ συγγενέας καὶ δούλως καὶ τὴν οἰκίαν [f]ξύμπασαν, ἐν ᾗ καὶ κτήματα καὶ φίλοι, πολῖταί τε καὶ ξένοι εἰσί· καὶ ἀπεριεργίῃ τὸ σκῆνος [g]διάξει τουτέων, λεσχαίνουσά τε καὶ ἀκούουσα καλά· καὶ ἀκολουθέουσά τε αὐτέῳ, καθ'

[r] κὴν ἀτυχῇ] τὰ κῆνα τϋχᾶν A.
[s] ὤσασθαι] ἄσασθαι A. B. νώσασθαι Valckenærius.
[t] οὖν] ὧν B.
[v] κατηγορίην] κακηγορίην A.
[w] τοῦτο] τούτω A. B. ὀχήσεται—συμφρονέουσα conj. Jacobs pro ζήσεται—σωφρονέουσα.
[x] κρηγύως] καὶ κρηγύως A.B. Mox προϊέει Tr. καὶ τοὺς—φιλέῃ om. A.
[y] θυσίην] οὐσίην Koënius Greg. D. Dor. XLIII. Supra τὼς ἑωυτῆς A.
[z] ἐθέλει σῴαν] ἐθέλεις ὦ ἂν A. Mox ἐσειδέειν Trinc.
[a] ἀγεῖται] ἀγέεται Koënius, qui καὶ εὔχεται εἶναι delet.
[b] τεθνᾶναι] τεθνάναι A.
[c] ὁρῆν] ὁρᾶν A. ἁρμόνιον conj. Gesnerus, ἐρᾶν Wakefield.
[d] εἰ πλείως] ἐπλεῖος A. B.
[e] μοῦνον] μεῦνον A.
[f] ξύμπασαν] ξύμπασαν σώαν Koënius.
[g] διάξει] διώξει B.

ὁμοδοξίην τῆς [h] ξυνῆς βιοτῆς, καὶ [i] οἷς ἐκεῖνος [k] ἀξιοῖ συγγενέσι τε καὶ φίλοισι ξυνομαρτέουσα· καὶ ταυτὰ ἡγεομένη γλυκέα τε καὶ πικρὰ [l] τἀνδρὶ, ἢν μὴ ἀναρμόνιος εἰς τὸ πᾶν [m] ἔῃ.

20 [a] Μουσωνίου ἐκ τοῦ Περὶ Σκευῶν.

Καὶ μὴν συνῳδὰ καὶ συγγενῆ [b] τῇ περὶ τὰς οἰκίας πολυ- 489
τελείᾳ, καὶ [c] τὰ τῶν σκευῶν τῶν κατ' οἰκίαν φαίνεται ὄντα, κλίναι, καὶ τράπεζαι, καὶ στρώματα, καὶ ἐκπώματα, καὶ εἴ τι τοιοῦτον, [d] πάντως τὴν χρείαν ὑπερβεβηκότα, καὶ [e] προσωτέρω τῶν ἀναγκαίων ἐληλυθότα. Κλίναι μὲν ἐλεφάντιναι καὶ ἀργυραῖ, [f] ἐν εἴδει [g] δὲ χρυσαῖ· τράπεζαι δὲ παραπλησίας ὕλης· στρωμναὶ δὲ ἁλουργεῖς καὶ ἄλλων [h] χρωμάτων δυσποριστων· ἐκπώματα δὲ χρυσοῦ καὶ ἀργύρου πεποιημένα, τὰ δὲ λίθων, ἢ λιθοειδῶν τινῶν ἁμιλλωμένων τῇ πολυτελείᾳ τοῖς ἀργυροῖς καὶ χρυσοῖς. Καὶ σπουδάζεται ταῦτα πάντα, τοῦ μὲν σκίμποδος οὐδὲν κακίω παρεχομένου κατάκλισιν ἡμῖν τῆς ἀργυρᾶς ἢ τῆς ἐλεφαντίνης κλίνης· τῆς δὲ σισύρας [i] ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι, ὥστε μὴ δεῖσθαι πορφυρίδος ἢ φοινικίδος· ἐσθίειν δ' ὑπάρχοντος ἡμῖν ἀβλαβῶς ἀπὸ τραπέζης [k] ξυλίνης, ὡς μὴ ποθεῖν μηδαμῶς τὴν ἀργυρᾶν· καὶ πίνειν γε νὴ Δία ἐκ κεραμέων ποτηρίων παρὸν, ἃ τό τε δίψος σβεννύειν παραπλησίως πέφυκε τοῖς χρυσοῖς, καὶ τὸν ἐγχεόμενον αὐτοῖς οἶνον οὐ λυμαίνεται, ὀσμὴν δέ γε ἡδίω τῶν χρυσῶν παρέχεται

[h] ξυνῆς] κοινῆς A.
[i] οἷς] εἷς A.
[k] αὔξει] ἀξιοῖ Koënius Greg. Dial. Att. LXXXIV.
[l] τἀνδρὶ] τὠνδρὶ A.
[m] εἴῃ] ἔῃ A.

20.

[a] Sic A. Trinc.
[b] τῇ—πολυτελείᾳ] τῆς—πολυτελείας Damasc.
[c] τὰ] τὰς A.
[d] πάντα] πάντως Damasc.
[e] προσωτέρω] προσώτερον Damasc.
[f] ἐν εἴδει δὲ] ἔνιαι δὲ Valckenær. Diatrib. p. 281.
[g] δὲ] ὁ A. Dedi mox ἁλουργεῖς pro ἁλουργὶς cum Wakefield.
[h] χρημάτων] Malim χρωμάτων. GESNER.
[i] ἱκανοτάτης] ἱκανωτάτης A. ἱκανωτέρης Damasc.
[k] ξυλίνης om. Damasc.

καὶ τῶν ἀργυρῶν. Καθόλου δ᾽ ἀρετὴ καὶ κακία σκευῶν [l] κριθείη ἂν ὀρθῶς ἐκ τριῶν τούτων, τῆς τε κτήσεως, καὶ τῆς χρήσεως, καὶ τῆς τηρήσεως. Ὅσα μὲν [m] γὰρ ἢ κτήσασθαι δύσκολά ἐστιν, ἢ χρήσασθαι μὴ ἐπιτήδεια, ἢ φυλάξαι μὴ ῥᾴδια, ταῦτα χείρω· ἃ δὲ [n] καὶ κτώμεθα μὴ χαλεπῶς, καὶ χρώμενοι ἐπαινοῦμεν, καὶ φυλάττομεν ῥᾳδίως, ταῦτα ἀμείνω. Διόπερ τὰ κεράμεα καὶ τὰ σιδηρᾶ, καὶ ὅσα τοιαῦτα, [o] πολλῷ κρείττω τῶν ἀργυρῶν τε καὶ χρυσῶν· ὅτι ἡ κτῆσις τούτων εὐμαρεστέρα, ὅσῳ καὶ εὐτελεστέρα· ἥ τε χρῆσις πλείων, ὅτι καὶ πυρὶ ῥᾳδίως ταῦτ᾽ ἐμβάλλομεν, ἐκεῖνα δὲ οὔ· ἥ τε φυλακὴ [p] ἥττων· τὰ γὰρ εὐτελῆ τῶν πολυτελῶν ἐπιβουλεύεται ἧττον. Μέρος δέ τι τῆς φυλακῆς οὖσα καὶ ἡ ἐκκάθαρσις, περὶ τὰ πολυτελῆ πλείων ἐστίν. Ὥσπερ οὖν ἵππος, ὁ τιμῆς [q] μὲν ἐωνημένος ὀλίγης, χρείας δὲ παρεχόμενος πολλὰς, αἱρετώτερος τοῦ ὀλίγα μὲν [r] ὑπουργοῦντος, πολλοῦ δ᾽ ἠγορασμένου· κατὰ τὰ αὐτὰ καὶ σκεύη τὰ εὐτελέστερα καὶ πολυχρηστότερα, κρείττω τῶν ἐναντίων. Τί [s] ποτ᾽ οὖν διώκεται τὰ σπάνια καὶ πολυτελῆ πρὸ τῶν ἐν μέσῳ καὶ τῶν εὐτελῶν; ὅτι ἀγνοεῖται τὰ καλὰ καὶ τἀγαθά· καὶ ἀντὶ τῶν ὄντων, τὰ δοκοῦντα σπουδάζεται παρὰ τοῖς ἀνοήτοις· ὥσπερ δὴ καὶ οἱ μαινόμενοι πολλάκις λευκὰ τὰ μέλανα νομίζουσιν· ἄνοια δὲ μανίας [t] συγγενέστατον. Ἐπεὶ τῶν γε νομοθετῶν τοὺς ἀρίστους, καὶ ἐν πρώτοις Λυκοῦργον εὕροιμεν ἂν πολυτέλειαν μὲν ἐξελαύνοντα [v] τῆς Σπάρτης, ἀντεισάγοντα δ᾽ εὐτέλειαν· καὶ τὸ ἐνδεὲς τῆς διαίτης τοῦ περιττοῦ [w] προτιμῶντα πρὸς [x] ἀνδρείαν·

[l] κριθείη] καὶ θείη Trinc.
[m] γὰρ] γὰρ ἢ Damasc.
[n] καὶ om. A. B.
[o] πολλὰ] πολλῷ Damasc.
[p] ἥττων] ἥττω A.
[q] μὲν om. A.
[r] ὑπουργοῦντος] ὑπουργούντως A. Mox πολλὰ Trinc.
[s] ποτ᾽ οὖν διώκεται] ποτε ἦν διώκετε A.
[t] συγγενέστερον] συγγενέστατον A. B. Damasc. Gesn. marg.
[v] τῆς σπάρτης] τοῖς σπάρτοις A.
[w] προτιμῶντα] προτιμῶν A.
[x] ἀνδρείαν] ἀνδρίαν A.

καὶ τὴν μὲν τρυφὴν ὡς λύμην ἐκτρεπόμενον, τὸ δ' ἐθελόπονον, ὡς σωτήριον, [y] ζηλοῦν ἀξιοῦντα. Τεκμήρια δὲ τούτων, αἱ τῶν ἐφήβων ἐκεῖ καρτερήσεις, [z] ἐθιζόμεναι φέρειν λιμόν τε καὶ δίψος, καὶ μετὰ τούτων ῥίγος, ἔτι δὲ πληγὰς καὶ [a] πόνους· ἀλλ' ὡς σεμνοῖς ἔθεσιν οἱ πολλοὶ Λακεδαιμόνιοι 490 τραφέντες, ἄριστοι τῶν Ἑλλήνων ἦσάν τε καὶ ἐνομίζοντο· καὶ τὴν πενίαν τὴν ἑαυτῶν [b] ζηλωτοτέραν τοῦ βασιλέως πλούτου κατέστησαν. Ἐγὼ δ' οὖν καὶ αὐτὸς δεξαίμην ἂν νοσῆσαι μᾶλλον, ἢ τρυφῆσαι. Τὸ μὲν γὰρ νοσεῖν μόνον βλάπτει τὸ σῶμα· τὸ δὲ τρυφᾶν ἄμφω διαφθείρει, ψυχήν τε καὶ σῶμα· σώματι μὲν ἀσθένειαν καὶ ἀδυναμίαν, ψυχῇ δὲ ἀκολασίαν καὶ [c] ἀνανδρείαν ἐμποιοῦν. Καὶ μὴν καὶ ἀδικίαν τίκτει τρυφή, [d] ὅτε καὶ πλεονεξίαν. Οὔτε γὰρ τρυφῶντά τινα δυνατὸν μὴ πολυτελῆ εἶναι· οὔτε πολυτελῆ ὄντα, ὀλίγα βούλεσθαι ἀναλίσκειν· [e] βουλόμενον δὲ πολλά, μὴ καὶ πορίζειν πολλὰ ἐπιχειρεῖν· οὐδ' αὖ πορίζειν ἐπιχειροῦντα πολλά, μὴ πλεονεκτεῖν καὶ ἀδικεῖν· οὐ γὰρ ἂν πορίσειέ τις ἐκ δικαίων πολλά. Ἔτι καὶ ἄλλον τρόπον ἄδικος ἂν εἴη πάντως ὁ τρυφῶν. Καὶ γὰρ ὑπὲρ πόλεως τῆς αὐτοῦ πονεῖν τοὺς προσήκοντας πόνους ὀκνήσειεν ἄν, ἢ οὐκ ἂν ἔτι τρυφῴη· κἂν [f] ὑπὲρ φίλων ἢ συγγενῶν κακοπαθῆσαι [g] δέῃ, οὐκ ἂν ὑπομείνειεν· οὐ γὰρ ἐάσει αὐτὸν ἡ τρυφή. Καὶ μὴν [h] καὶ διὰ θεοὺς ἔστιν ὅτε πονητέον τῷ δικαίῳ εἶναι βουλομένῳ πρὸς θεούς, ὅτι θυσίας, ἢ τελετάς, ἢ τινὰ ἄλλην ὑπηρεσίαν τελέσει τοῖς θεοῖς· ὁ δὲ τρυφῶν

[y] ζηλοῦν ἀξιοῦντα] ἀξιοῦντα δηλοῦν A. δηλοῦν Damasc.

[z] ἐθιζόμεναι] ἐθιζόμενα B.

[a] πόνους ἄλλους. σεμνοῖς ἔθεσιν οἱ] πόνους· ἀλλ' ὡς σεμνοῖς οἱ Damasc. Post ἄλλους aliquid desiderari Gesnero videtur. Jacobsius in Athen. p. 356. locum sic constituit: ἐθιζομένων—καὶ πόνους ἄλλους· ἐν οὕτω σεμνοῖς ἔθεσιν οἱ παλαιοὶ Λ. τρ.

[b] ζηλωτοτέραν] ζηλοτέραν B.

[c] ἀνανδρείαν] ἀνανδρίαν A.

[d] ὅτι] ὅτε A. B.

[e] βουλόμενον δὲ πολλὰ μὴ καὶ] βουλόμενος δὲ μὴ καὶ πολλὰ Damasc.

[f] ὑπὲρ] ὑπὸ Trinc.

[g] δέῃ] δέον A.

[h] καὶ om. A.

[i] ἐνδεήσει κἀνταῦθα. Διόπερ ἄδικος ἂν εἴη πάντως καὶ περὶ πόλιν, καὶ περὶ φίλους, καὶ περὶ θεοὺς, ἃ χρὴ πράττειν αὐτὸν οὐ πράττων. Ὡς οὖν καὶ ἀδικίας αἰτίαν οὖσαν τὴν τρυφὴν φευκτέον τρόπῳ παντί.

21 [a] Ἱεροκλέους ἐκ τοῦ Οἰκονομικοῦ.

Πρὸ πάντων γε περὶ τῶν ἔργων ὑφ᾽ ὧν οἶκος συνέχεται. Ταῦτ᾽ οὖν διαιρετέον μὲν κατὰ τὸ πλεῖστον· τῷ μὲν ἀνδρὶ, τὰ κατ᾽ ἀγρὸν καὶ τὰ περὶ [b] τῆς ἀγορᾶς, καὶ [c] τὰ περὶ τὴν ἀστυπολίαν ἀνακεῖσθαι· τῇ δὲ γυναικὶ, [d] τὰ περὶ τὴν ταλασίαν καὶ σιτοπονίαν, καὶ ὅλως τὰ κατοικίδια τῶν ἔργων. Οὔτε μὴν ἀγεύστους ἀξιωτέον εἶναι τοὺς ἑτέρους τῶν ἑτέρων. Γένοιτο γὰρ ἄν ποτε καὶ γυναικὶ κατ᾽ ἀγρὸν γενομένῃ καθῆκον τὸ τοῖς ἐργαζομένοις [e] ἐπιστῆναι, καὶ τὴν τοῦ οἰκοδεσπότου τάξιν ἐκπληρῶσαι· καὶ ἀνδρὶ περὶ τῶν κατὰ τὴν οἰκίαν ἐπιστροφὴν ποιήσασθαι, καὶ τὰ μὲν διαπυθέσθαι, τὰ δὲ καὶ ἐπιδεῖν τῶν γινομένων. Οὕτω [f] γὰρ ἂν ἐπισυνδέοιτο μᾶλλον τὰ τῆς κοινωνίας, εἰ συμμετέχοιεν ἀλλήλοις τῶν ἀναγκαίων φροντίδων. [g] Δεύτερος μέντοι τοῦ λόγου γενόμενος, οὐκ ἂν ὀκνῆσαί μοι δοκῶ καὶ τῆς αὐτουργίας ποιήσασθαί τινα γνώμην· [h] ἀπεικὸς τοῖς ὑπὲρ τῶν ἔργων εἰρημένοις καὶ τοῦτο προστεθῆναι. Ὡς μὲν τοίνυν τἀνδρὶ καθήκει τῶν γεωργικῶν ἅπτεσθαι πόνων, [i] τί καὶ λέγειν δεῖ; οὐ πολὺς γὰρ ὁ κατὰ τοῦτο δυσπειθής· ἀλλὰ καί [k] περ τοσαύτης τρυφῆς καὶ [l] ἀπονίας τὸν νῦν κατεχούσης βίον, ὅμως σπάνιός ἐστι, [m] μὴ

[i] ἐνδεήσει] ἐνδιοίσει A.

21.

[a] Sic Tr. Ἱεροκλέους Simpl. A.
[b] τῆς] τὰς A.
[c] τὴν] τὰ περὶ τὴν A.
[d] τὰ] καὶ τὰ A.
[e] ἐπιστῆναι] ἐπιστᾶναι A.
[f] γὰρ ἂν] ἂν om. Trinc.
[g] δεύτερος] Forte δεῦρο. Gesner.
[h] ἀπεικὸς] Lego οὐδ᾽ ἀπεικός, Gesn. οὐκ ἀπ. ed. Gesn. 3. v. p. seq. n. [o].
[i] τι καὶ λέγειν δεῖ] λέγειν τι δεῖ καὶ οὐ π. A. B. Damasc. τὶ καὶ λ. δεῖ χρὴ Trinc.
[k] περ] περὶ A.
[l] ἀπονοίας] ἀπονίας A. B. ut Needhamus e conjectura.
[m] μὴ καὶ—ὑπὲρ om. A. B. πόρου pro σπόρου Trinc. et mox δυσπειθέστερα.

καὶ δι' ἑαυτοῦ προθυμούμενος ἔργων κοινωνῆσαι τῶν ὑπὲρ σπόρου καὶ φυτείας, καὶ τῶν ἄλλων τῶν κατὰ γεωργίαν. Δυσπειθέστερος δ' ἴσως ὁ πρὸς θάτερα τῶν ἔργων, ὅσα γυναιξὶν [n] ἀπονέμεται, παρακαλῶν τὸν ἄνδρα λόγος. Καὶ 491
πάσχουσί γε [o] οὐκ-ἀπεικὸς οἱ καθαριώτεροι, μὴ καθ' ἑαυτοὺς εἶναι τοπάζοντες ἅψασθαι ταλασίας. Ἐπεὶ γὰρ ὡς ἐπὶ τὸ πλῆθος εὐτελεῖς ἀνθρωπίσκοι, καὶ τὸ τῶν [p] κατεαγότων καὶ [q] γυννίδων φῦλον, [r] ὡς τὴν ἐρίων ἐργασίαν καταφέρεται ζήλῳ θηλύτητος, οὐ δοκεῖ κατὰ τὸν ἀληθινώτερον ἄνδρα τυγχάνειν τὸ εἰς ταῦτα συγκαθιέναι· ὥστ' [s] ἔγωγε τάχ' ἂν οὐδ' ἂν αὐτὸς συμβουλεύσαιμι τοῖς μὴ [t] τελέαν παρεσχημένοις πίστιν ὑπὲρ τῆς ἑαυτῶν ἀρρενότητος καὶ σωφροσύνης ἅπτεσθαι τοιοῦδέ τινος. Εἰ μέντοι διὰ τοιοῦδε βίου πεποιήκοι τὶς ἂν ἑαυτὸν πάσης ὑπονοίας ἀτόπου [v] καθάπερ ὄντα, τί [w] κωλύσει καὶ κατὰ ταῦτα τῇ γυναικὶ κοινωνῆσαι τὸν ἄνδρα; τῶν μὲν γὰρ ἄλλων κατοικιδίων ἔργων μὴ καὶ τὸ πλέον ἀνδράσι προσήκειν ἡγητέον, ἤπερ γυναιξίν; Ἔστι γὰρ καματωδέστερα καὶ ῥώμης δεόμενα σωματικῆς, οἷον ἀλέσαι καὶ [x] σταῖς μάξαι, διασχίσαι τε ξύλα, καὶ ὕδωρ ἀνιμῆσαι, καὶ σκεύη μεταθεῖναι, καὶ διατινάξαι στρώματα, καὶ πᾶν τὸ τούτοις παραπλήσιον. Καὶ τὰ μὲν ὑπὲρ ἀνδρῶν ἀποχρώῃ ἄν· ἐπιμετρῆσαι [y] δέ τι καὶ τὴν γυναῖκα πρέπον· ὥστε μὴ τῆς ταλασίας κοινωνεῖν μόνον ταῖς [z] θερα-

[n] ἀπονέμηται] ἀπονέμεται B.
[o] οὐ κατ' εἰκὸς] οὐκ ἀπεικὸς Damasc.
[p] κατεαγότων] κατεαγόντων A.
[q] γυννίδων] γυνιδῶν B. γυνίδων Trinc.
[r] ὡς] ὅς A. B.
[s] ἔγωγε] ἐγὼ A.
[t] τελέαν] τελείαν A.
[v] καθάπερ ὄντα] Lego καθαρὸν. Gesner. καθυπέρθεν ὄντα Bentleius apud Needham.
[w] κωλύσει] κωλύει Trinc.
[x] σταῖς] σταῖ A. συ... τάξαι Damasc. pro σταῖς μάξαι Trinc. σταῖ-μάξαι.
[y] δέ τι] δὲ ἔτι A. δ' ἔτι Trinc.
[z] θεραπείαις] θεραπαίναις A. Tr. θεραπέναις Damasc.

παίναις, ἀλλὰ καὶ τῶν ἄλλων ἔργων τῶν [a] ἐπανδροτέρων. Καὶ γὰρ σιτοπονίας ἅψασθαι κατὰ τὴν [b] ἐλευθέραν εἶναί μοι δοκεῖ, καὶ ὕδωρ ἀνιμῆσαι, (καὶ) πῦρ ἀνακαῦσαι, [c] καὶ κλίνην καταστρῶσαι, καὶ πᾶν τὸ τούτοις [d] ἐοικός. [e] Πολὺ δ᾽ ἂν ἀνδρὶ φαίνοιτο καλλίων [f] τῷ γε ἑαυτῆς, καὶ [g] μάλιστα νεᾶνις οὖσα καὶ μὴ δ᾽ ὅπως [h] τετριμμένη [i] κυοφορίαις, εἰ καὶ τρύγης ἀμπέλων [k] αὐτουργοῦσα συμμετάσχοι, καὶ συλλογῆς ἐλαῶν· εἰ δὲ [l] παρήκοι, καὶ σπόρου, καὶ ἀρόσεως, καὶ [m] προσδόσεως ἐργαλείων τοῖς σκάπτουσιν ἢ φυτεύουσι. Τοῦτον γὰρ [n] τὸν τρόπον ἕνεκα τῶν ἔργων οἶκος προστατούμενος ὑπ᾽ ἀνδρὸς καὶ γυναικὸς [o] ἄριστ᾽ ἂν μοι δοκοῖ κατά γε ταῦτα διεξάγεσθαι.

22 [a] Ξενοφῶντος Ἀπομνημονευμάτων τρίτῳ.

Καὶ οἰκίας δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ [b] χρησίμους, παιδεύειν ἔμοιγε ἐδόκει οἵας χρὴ οἰκοδομεῖσθαι. Ἐπεσκόπει δὲ ὧδε. Ἆρά [c] γε τὸν μέλλοντα οἰκίαν, οἵαν [d] δεῖ, ἔχειν, τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι καὶ χρησιμωτάτη ἔσται; Τούτου δὲ ὁμολογουμένου, οὐκ οὖν ἡδὺ μὲν θέρους ψυχεινὴν ἔχειν, ἡδὺ δὲ χειμῶνος ἀλεεινήν; Ἐπειδὴ δὲ καὶ τοῦτο [e] συμφαίη· Οὐκ οὖν ἐν ταῖς

[a] ἐπανδροτέρων] ἐπὰνδροτέρ A. ἐπ᾽ ἀνδρώσεως Damasc.
[b] ἐλευθέραν] ἐλευθερίαν A.
[c] κλίνην] καὶ κλίνην A.
[d] ἐοικός] εἰκὸς Damasc.
[e] πολλῷ] πολὺ A. Dam. πολλὰ Tr.
[f] τῷ] τὸ A.
[g] μάλιστα] μάλα Damasc.
[h] τετρυμμένη] τετριμμένη A. B. τετρημένη Damasc. Vide Wesseling. Herodot. II. 129.
[i] κυοφορίαις εἰ καὶ τρύγης] κυοφοριαίσει καὶ τρύγαν Damasc. εἰ om. A. κυοφοριάση καὶ τρύγης B. κυοφορίας Trinc.
[k] αὐτουργοῦσα] ἀπουργοῦσα Dam.
[l] παρήκοι] παρηβάοι vel παρηβώη Bentleius apud Needham.
[m] προσδόσεως] προδόσεως Damasc. An παραδόσεως?
[n] τὸν om. A.
[o] ἄριστα] ἄριστ᾽ ἂν A. Damasc. Mox δοκῇ Damasc. pro δοκεῖ. F. δοκοῖ vel δοκοίη.

22.

[a] Sic A. Trinc. Scil. III. 8, 8.
[b] χρησίμους] ἀχρησίμους Trinc.
[c] γε] γε om. A.
[d] χρὴ] δεῖ A. Damasc. δὴ Trinc. quod eodem redit.
[e] συμφαῖεν] συμφαι´ A. συμφαίη B.

πρὸς μεσημβρίαν βλεπούσαις οἰκίαις, τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς [f] παραστάδας ὑπολάμπει, τοῦ δὲ θέρους ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος σκιὰν παρέχει. Οὐκ οὖν εἴ γε καλῶς ἔχει ταῦτα οὕτω γίγνεσθαι, οἰκοδομεῖν δεῖ [g] ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ χειμερινὸς ἥλιος μὴ ἀποκλείηται, [h] χθαμαλώτερα δὲ τὰ πρὸς ἄρκτον, ἵνα μὴ οἱ ψυχροὶ [i] παρεμπίπτωσιν ἄνεμοι; Ὡς δὲ συνελόντι εἰπεῖν, ὅποι πάσας ὥρας αὐτός τε ἂν ἥδιστα καταφεύγοι, καὶ τὰ ὄντα [k] ἀσφαλέστατα τιθοῖτο, αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις εἴη· γραφαὶ δὲ καὶ ποικιλίαι πλείονας εὐφροσύνας ἀποστεροῦσιν ἢ παρέχουσι. Ναοῖς γε μὴν καὶ βωμοῖς χώραν, ἔφη, εἶναι πρεπωδεστά- 492
την, ἥτις [l] ἀσφαλεστάτη οὖσα ἀστιβεστάτη εἴη· ἡδὺ μὲν γὰρ [m] ἰδόντας προσεύξασθαι, ἡδὺ [n] δὲ ἁγνῶς [o] ἔχοντας προσιέναι.

23 [a] Ξενοφῶντος ἐκ τοῦ Οἰκονομικοῦ.

Οὐκ οὖν, ἔφη ὁ Σωκράτης, ἐπιστήμης μέν τινος ἐδόκει ἡμῖν ὄνομα εἶναι [b] ἡ οἰκονομία· ἡ δ' ἐπιστήμη αὕτη ἐφαίνετο, [c] ᾗ οἴκους αὔξειν δύνανται ἄνθρωποι· οἶκος δ' [d] ἡμῖν ἐφαίνετο, ὅπερ κτῆσις ἡ σύμπασα· κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι, ὅτι ἑκάστῳ εἴη ὠφέλιμον εἰς τὸν βίον· ὠφέλιμα δὲ πάντα εὑρίσκετο, ὁπόσοις τὶς ἐπίσταιτο χρῆσθαι. Πάσας μὲν οὖν τὰς ἐπιστήμας οὔτε μαθεῖν ἡμῖν [e] οἷόν τε ἐδόκει εἶναι, συν-

[f] παραστάδας] παστάδας Gesn. marg.

[g] ὑψηλότερα] ὑψηλότερον Damasc.

[h] χθαμαλώτερα] χθαμαλώτερον Damasc.

[i] παρεμπίπτουσιν] παρεμπίπτωσιν A. B.

[k] ἀσφαλέστερα] ἀσφαλέστατα A. Gesn. marg. ἀσφαλέστατον Damasc. Mox καὶ post γραφαὶ δὲ om. Trinc.

[l] ἀσφαλεστάτη] ἐμφανεστάτη Gesn. marg. εὐσεβεστάτη Damasc.

[m] ἰδόντας] εἰδόντας Damasc.

[n] δὲ om. A.

[o] ἔχοντας] ἔχοντα A.

23.

[a] Sic A. Trinc. Scil. 6, 4.

[b] καὶ οἰκονομίαν Damasc.

[c] ᾗ οἴκους—ἐφαίνετο om. A. B.

[d] ἡμῖν om. A. B.

[e] οἷόν τε ἐδόκει] μ. ἐδόκει οἷόν τε A.

ἀπεδοκιμάζομέν τε ταῖς πόλεσι τὰς βαναυσικὰς [f] καλουμένας τέχνας, ὅτι καὶ τὰ σώματα λυμαίνεσθαι δοκοῦσι, καὶ τὰς ψυχὰς καταγνύναι.

## ΠΕΡΙ ΕΥΓΕΝΕΙΑΣ· ΟΤΙ ΕΥΓΕΝΕΙΣ ΟΙ ΚΑΤ' ΑΡΕΤΗΝ ΖΩΝΤΕΣ, * ΚΑΝ ΜΗ ΛΑΜΠΡΩΝ ΕΙΣΙ ΓΕΓΟΝΟΤΕΣ ΠΑΤΕΡΩΝ ΚΑΙ ΑΓΑΘΩΝ ΤΟΝ ΤΡΟΠΟΝ. ΠϚ.

1 [a] Εὐριπίδου Δίκτυϊ.

Εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά.
ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ·
ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς
Ζηνὸς [b] πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ.

2 [a] Τοῦ αὐτοῦ Ἀλεξάνδρῳ.

Περισσόμυθος ὁ λόγος, εὐγένειαν εἰ
βρότειον εὐλογήσομεν.
τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα,
διὰ [b] δ' ἔκρινεν ἁ τεκοῦσα [c] γᾶ βροτούς,
ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν.
ἴδιον οὐδὲν ἔχομεν· μία δὲ γονά,
τό τ' εὐγενὲς καὶ τὸ δυσγενές.
νόμῳ δὲ [d] γαῦρον αὐτὸ κραίνει χρόνος.
τὸ φρόνιμον, εὐγένεια, καὶ τὸ [e] συνετὸν
ὁ θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος.

3 [a] Ἀστυδάμαντος.

Γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος,

[f] καλουμένας om. A. B.

* Pro κἂν μὴ—τὸν τρόπον Voss. habet καὶ οἱ ἀπὸ χρηστῶν πρων ἢ ἐνδόξων γινόμενοι. Om. περὶ εὐγενείας A. et mox dat ἀγαθοὶ pro καὶ ἀγαθῶν.

1.

[a] Sic A. Scil. fr. 10. Simpl. Εὐριπίδου Trinc.

[b] πεφύκῃ] πέφυκε Voss. πέφυκεν B.

2.

[a] Sic A. Scil. fr. 12. Deest lemma Trinc.

[b] δ' ἔκρινεν] δὲ κρίνεν B.

[c] γᾶ om. A. B.

[d] γαῦρον] γαυρῶν A. p. m.

[e] συνετὸν] συνθέτον Trinc.

3.

[a] Sic A. Trinc.

κατ' ἄνδρ' ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ,
τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν.
[b] ἐν ἑκατόν ἐστιν (ἔργον) εὑρεῖν ἄνδρ' ἕνα,
κεἰ τοῦτον οἱ ζητοῦντες εἰσὶ μύριοι.

4 [a] Εὐριπίδου Ἠλέκτρα.

Οὐ μὴ [b] φρονήσηθ', οἳ κενῶν δοξασμάτων
πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς
[c] κρινεῖτε, καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς;
οἱ γὰρ τοιοίδε τὰς πόλεις [d] οἰκοῦσιν εὖ,
καὶ δώμαθ'· αἱ δὲ σάρκες αἱ κεναὶ βροτῶν
ἀγάλματ' ἀγορᾶς εἰσιν· οὐδὲ γὰρ δόρυ
μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει·
ἐν τῇ φύσει δὲ τοῦτο κἀν εὐψυχίᾳ.

5 [a] Θεοδέκτου.

Ἐγὼ μὲν οὔποτ' εὐγένειαν ᾔνεσα,
τὴν προστάταισι χρωμένην ἀναξίοις.

6 [a] Ἐπιχάρμου.

Ἀπολεῖ με τὸ γένος· μὴ λέγ', εἰ φιλεῖς ἐμὲ,
[b] μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος· οἷς ἂν [c] τῇ φύσει
ἀγαθὸν [d] ὑπάρχῃ μηδὲν οἰκεῖον προσὸν, 493

[b] ἕνεκα τῶν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα] ἕν' ἄνδρα τούτων ἐστὶν εὑρεῖν δυσχερές A. in marg. B. Habet item B. οὐκ ἕν' ἄνδρα τούτων ἐ. ἑ. εὐχερές. Gesnerus legerit τοιοῦτόν ἐστι χαλεπὸν εὑρεῖν ἄνδρ' ἕνα. Grotius dedit: ἀλλ' οὐκ ἐν ἑκατόν ἐστιν εὑρεῖν ἀ. ἑ. Porsonus Advers. p. 305. propius ad literarum vestigia, ἐν δ' ἑκατόν ἐστιν ἔργον εὑρεῖν ἀ. ἕ. et v. seq. κεἰ—εἰσὶ—ubi Grotius dederat κἂν—ὦσι pro καὶ—εἰσι—Supra pro κατ' ἄνδρ' editor Francofurtensis in marg. τὸν ἄνδρ'.

4.

[a] Sic A. Scil. v. 383. Simpl. Εὐριπίδου Trinc.

[b] φρονήσηθ'] φρονήσεθ' Grotius ex Euripidis libris.

[c] κρινεῖτε] κρίνητε A. κρίνοιτε B. κρίνετε Trinc.

[d] οἰκοῦσιν] οἰκοῦσι γ' B.

5.

[a] Sic A. Trinc. Mox μὲν οὖν Trinc.

6.

[a] Sic A. Trinc. Menandro tribuit Stobæus LXXXVII. 4. ut videtur, rectius.

[b] μῆτερ] μήτε A.

[c] τῇ φύσει] τῇ om. A. Voss. Arsen. et om. ed. loco altero, ubi reponunt mss.

[d] ὑπάρχει] ὑπάρχῃ loco altero.

[e] ἐκεῖσε καταφεύγουσιν εἰς τὰ [f] μνήματα
καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους [g] ὅσοι.
οὐδ᾽ ἕνα δ᾽ [h] ἔχοις ἰδεῖν ἂν, οὐδ᾽ εἰπεῖν ὅτῳ
οὐκ εἰσὶ πάπποι· πῶς γὰρ [i] ἐγένοντ᾽ ἄν ποτε;
εἰ [k] μὴ λέγειν δ᾽ ἔχουσι [l] τούτους, διά τινα
τόπου μεταβολὴν, ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ [m] δυσγενέστεροι;
[n] ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθὰ,
[o] κἂν Αἰθίοψ ᾖ, [p] μῆτερ, ἔστιν εὐγενής.
Σκύθης τὶς ὄλεθρος, ὁ δ᾽ Ἀνάχαρσις οὐ Σκύθης;

7 [a] Εὐριπίδου Ἀλεξάνδρῳ.

Οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια,
[b] παρ᾽ ἀγαθοῖσι δ᾽ ἀνδρῶν.

8 [a] Τοῦ αὐτοῦ Ἰνῶ.

Φειδώμεθ᾽ ἀνδρῶν εὐγενῶν, φειδώμεθα·
κακοὺς δ᾽ ἀποπτύωμεν, ὥσπερ ἄξιοι.

9 [a] Εὐριπίδου Μελανίππης.

Ἐγὼ μὲν οὐκ οἶδ᾽ ὅπως [b] δὴ σκοπεῖν χρεὼν

[e] ἐκεῖσε] ἐς τοῦτο B. ut mss. loco altero.

[f] μνήματα] κτήματα A. Voss. Arsen. Gesn. marg. B. pro v. l.

[g] ὅσοι om. A. Voss. ὅσα B.

[h] ἔχοις] ἔχεις (οι) Voss. οὐδὲν δ᾽ ἔχουσι πλεῖον οὐδ᾽ ἐρεῖς ὅτῳ B. ubi vulg. in marg. v. loc. alt.

[i] ἐγένοντ᾽ ἄν] ἐγένοντο A. Voss. Trinc.

[k] μὴ λέγειν δ᾽ ἔχουσι] μὴ δ᾽ ἔχειν λέγουσι Arsen. οὐκ ἔχουσι A. N. Trinc. pro δ᾽ ἔχουσι.

Ib. εἰ μὴ] οἱ μὴ Grotius e Salmasii emendatione.

[l] τοῦτο] τούτους loc. alt. Gesn. marg. B.

[m] δυσγενέστεροι] ἀτιμότεροι V. in textu. δυσμενέστεροι A. p. m.

[n] ὃς ἂν εὖ γεγονὼς] ὁσανευγερωσῃ τῇ Voss. ὅσ ἂν ευγε . . . τῇ φ. Arsen. ὡς ἂν εὖ γερόνῶσῃ ἐρημίαν τῇ φύσει π. τ. A.

[o] κἂν] καὶ A.

[p] ἡ μήτηρ] ᾖ μητέρων A. Dedi ᾖ, μῆτερ.

7.

[a] Sic A. Scil. fr. 13. Deest locus Trinc.

[b] παρ᾽ ἀγαθοῖσι] ἐπ᾽ ἀγαθοῖσιν Voss.

8.

[a] Sic A. Scil. fr. 11. Simpl. Εὐριπίδου Trinc.

9.

[a] Sic A. Scil. fr. 14. Deest lemma Trinc.

[b] δὴ] χρὴ Voss. οὐδὲν οἶδα πῶς pro οὐκ οἶδ᾽ ὅπως Grotius.

τὴν εὐγένειαν· τοὺς γὰρ ἀνδρείους [c] φύσιν,
καὶ τοὺς δικαίους τῶν [d] κενῶν δοξασμάτων,
κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.

10 [a] Μενάνδρου Κνιδία.

Οὐθὲν γένους γένος γὰρ οἶμαι διαφέρειν.
ἀλλ' εἰ δικαίως [b] ἐξετάσεις, καὶ [c] γνήσιος
ὁ χρηστός ἐστιν· ὁ δὲ πονηρὸς καὶ νόθος.

11 [a] Εὐριπίδου Αἰγέως.

[b] Ἤπου κρεῖσσον τῆς εὐγενίας
τὸ καλῶς πράσσειν.

12 [a] Σοφοκλῆς Τηρεῖ.

Ἐν [b] φύλῳ ἀνθρώπων μί' ἔδειξε
πατρὸς καὶ [c] μητρὸς ἡμέας ἁμέρα
τοὺς πάντας, οὐδεὶς ἔξοχος
ἄλλος ἔβλαστεν ἄλλου·
[d] βόσκει δὲ τοὺς μὲν μοῖρα δυσαμερίας,
τοὺς δ' ὄλβος ἡμῶν· τοὺς δὲ δουλείας ζυγὸν
ἔσχεν ἀνάγκης.

13 [a] Βίωνος.

Ἀντίγονος ὁ βασιλεὺς Βίωνα τὸν φιλόσοφον διαβληθέντα [b] ὡς δυσγενῆ ἤρετο,

Τίς; πόθεν [c] εἶς ἀνδρῶν; πόθι τοι [d] πόλις, ἠδὲ τοκῆες;

[c] φύσιν] φύσει B.
[d] τέκνων] Forte κενῶν. GESNER. Sic B.

10.

[a] Sic A. fere, ubi κνηδία. Simpl. Μενάνδρου Trinc. Cleric. p. 106.
[b] ἐξετάσεις] ἐξετάσῃς Voss. Supra γένος om. Trinc.
[c] γνήσιος] γνησίως A. Trinc.

11.

[a] Sic A. Scil. fr. 7. Simpl. Εὐριπίδου Trinc.
[b] ἤ που] ἦ πολὺ Elmsleius ad Euripid. Med. p. 66. εὐγενείας Tr.

12.

[a] Sic A. Scil. fr. 8. Simpl. Σοφοκλ. Trinc.
[b] φύλῳ] φύλων A.
[c] μητρὸς] ματρὸς B.
[d] κοσμεῖ] βόσκει A.B. Gesn. marg.

13.

[a] Sic A. Trinc.
[b] ὡς om. Voss. Videatur Diogen. Laert. IV. 46.
[c] εἷς] ἧς A.
[d] πόλις] πτόλις Voss.

κἀκεῖνος εἶπεν, Ἀλλ' ὀρθῶς [[e] ἔχει,] ὦ βασιλεῦ, ὅτ' ἂν τοξοτῶν χρείαν ἔχῃς, οὐκ ἐρωτῶντα τὸ γένος, ἀλλὰ τιθέντα τὸν σκοπὸν, τοὺς ἀρίστους τοξευτὰς [f] παραλαμβάνειν· οὕτως οὖν καὶ ἐπὶ τῶν φίλων ἐξέταζε, οὐ πόθεν εἰσὶν, ἀλλὰ τίνες.

14 [a] Σωστράτου.

Σώστρατος ὁ αὐλητὴς, ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι, εἶπε, Καὶ μὴν διὰ τοῦτο ὤφειλον [b] μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται.

15 [a] Ἰφικράτους.

Ἰφικράτης ὀνειδιζόμενος εἰς δυσγένειαν, Ἐγὼ ἄρξω, εἶπε, τοῦ γένους.

16 [a] Ἀναχάρσιδος.

Ἀνάχαρσις [b] ὀνειδιζόμενος ὅτι Σκύθης ἐστὶν, εἶπε, Τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ.

17 [a] Ἐκ τῆς Φαλάριδος Ἀξιόχῳ ἐπιστολῆς.

Σεμνύνεσθαι μὲν, ὥσπερ ἄλλῳ τινὶ τῶν καλῶν, [b] ἐπ' εὐγενείᾳ οὐκ ἀπεικός ἐστιν. Ἐγὼ δὲ μίαν [c] εὐγένειαν ἀρετὴν οἶδα· τὰ δὲ ἄλλα πάντα τύχην. Καὶ γένοιτ' ἂν ὁ μὲν ἐκ φαύλων ἀγαθὸς, καὶ βασιλέων καὶ πάντων εὐγενέστατος· ὁ δὲ ἐξ ἀγαθῶν, φαῦλος, αὐτός τε αὑτοῦ καὶ τῶν 494 ταπεινοτάτων δυσγενέστατος. Ὥστε ψυχῆς ἔπαινον αὔχει, μὴ προγόνων τεθνηκυῖαν εἰς ἀδοξοτέρους εὐγένειαν.

18 [a] Δημοκρίτου.

Κτηνέων μὲν εὐγένεια, ἡ τοῦ σκήνεος εὐσθένεια· ἀνθρώπων δὲ, ἡ τοῦ ἤθεος εὐτροπίη.

[e] ἔχει] om. A. Voss. ἀλλ' ἔθος σοι ὦ β. B. Trinc.

[f] παραλαμβάνειν] προλαμβάνειν Voss.

14.

[a] Sic A. Deest lemma Trinc.

[b] μᾶλλον θαυμάζεσθαι] θαυμάζεσθαι μᾶλλον Voss. μᾶλλον ὤφειλον θ. A.

15.

[a] Sic A. Deest locus Trinc.

16.

[a] Sic A. Deest lemma Trinc.

[b] ὀνειδιζόμενος] ὑπό τινος subjicit A.

17.

[a] Sic A. Simpl. Φιλάριδος (sic) Trinc.

[b] ἐπ' εὐγενείᾳ] εὐγενεία Trinc.

[c] εὐγένειαν] om. A. B.

18.

[a] Sic A. Δημοκράτης Trinc.

19 [a] Διογένους.

Διογένης, πυνθανομένου τινὸς, τίνες τῶν ἀνθρώπων εὐγενέστατοι, Οἱ καταφρονοῦντες, εἶπε, πλούτου, δόξης, ἡδονῆς, ζωῆς· τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες, πενίας, ἀδοξίας, πόνου [b] καὶ θανάτου.

20 [a] Σωκράτους.

Σωκράτης ἐρωτηθεὶς, [b] τί εὐγένεια, Εὐκρασία, ἔφη, ψυχῆς [c] τε καὶ σώματος.

21 [a] Πλουτάρχου ἐκ τοῦ κατὰ Εὐγενείας.

Τί γὰρ ἄλλο νομίζομεν εἶναι τὴν εὐγένειαν, εἰ μὴ παλαιὸν πλοῦτον, [b] ἢ καὶ παλαιὰν δόξαν, οὐδέτερον ἐφ᾽ ἡμῖν ὂν, ἀλλὰ τὰ μὲν τύχης ἀδήλου, τὰ δ᾽ [c] ἀκρασίας χάριν ἀνθρωπίνης; ὥστ᾽ ἐκ [d] δυεῖν ἀλλοτρίων κρέμαται τὸ πεφυσημένον [e] ὄνομα ἡ εὐγένεια. Καὶ [f] ὁ πλοῦτος μὲν οὐχ [g] ὁμοίους [h] αὐτῷ τοὺς γεννηθέντας ποιεῖ· ἀλλ᾽ ὁ ἐξ ἀρετῆς γεννηθεὶς [i] εἰκονίζεται, [k] τῶν ἐπὶ τῆς ψυχῆς δικαίων εἰς τοὺς ἐκγόνους διαχεομένων· καὶ τοῦτ᾽ ἔστιν ἡ ὄντως εὐγένεια, [l] ὁμοίωσις δικαιοσύνης.

22 [a] Ἐν τῷ αὐτῷ.

Ἆρ᾽ οὖν εὐγενέστερος ἦν ὁ Μίδου πλοῦτος τῆς Ἀριστείδου πενίας; καίτοι ὁ μὲν οὐδ᾽ ἐντάφια καταλιπὼν, τῷ δὲ Φρυγὶ πάντ᾽ ἂν ἐδύνατο εἶναι τάφος. Ἀλλ᾽ οὐκ ἐν πλου-

19.

[a] Sic A. Deest lemma Trinc.

[b] θανάτου] καὶ θανάτου A.

20.

[a] Sic A. Deest lemma Trinc.

[b] τι] τί ἐστιν A. Voss.

[c] καὶ] τε καὶ B.

21.

[a] Sic A. Trinc. v. Ed. Wyttenbach. T. V. p. 633=946.

[b] ἢ παλαιὰν δόξαν] ἢ καὶ δόξαν παλαιὰν A. B.

[c] ἀκρασίας] ἀκρισίας Arsen.

[d] δυεῖν] δυοῖν A. B.

[e] ὄνομα] ὄνος Arsen.

[f] ὁ] τὸ Arsen. A. B.

[g] ὁμοίους] ὁμοίας A.

[h] αὐτῷ] αὐτῶν Arsen.

[i] εἰκονίζεται] εἰκόνιζε τῶν Trinc.

[k] ἀπὸ τῶν] ἀπὸ om. A. Trinc.

[l] ὁμοίωσις δικαιοσύνης] ὁμοῦ εἰς δικαιοσύνην A. ὁμοίως εἰς δικαιοσύνην B.

22.

[a] Sic A. Deest lemma Trinc.

σίῳ [b] τὸ εὐγενές· πυρὸς ἔχει τινὰ τρόπον πᾶσα πονηρία. Ἀμφότερα χωρὶς τροφῆς ἀφανίζεται σβεννύμενα. Ἡ δὲ Σωκράτους ἀδοξία, μαίας καὶ ἑρμογλύφου πατρὸς, οὐκ ἦν εὐγενεστέρα τῆς Σαρδαναπάλου δόξης; μὴ σύ γε νομίζῃς, ὅτι Ξέρξης εὐγενέστερος ἦν [c] Κυναιγείρου. Καίτοι ὁ μὲν ὑπὲρ τῆς ἰδίας πατρίδος ἀπεκόπη τὴν χεῖρα· ὁ δ' ὑπὲρ τοῦ ζῆν ἔφυγεν, ἀντὶ τῆς μεγάλης βασιλείας μεγάλην περικείμενος δειλίαν.

23 [a] Σωκράτους.

Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν· οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν, τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.

24 [a] Ἐκ τοῦ Ἀριστοτέλους Περὶ Εὐγενείας.

Ὅλως δὲ περὶ εὐγενείας ἐγὼ ἀπορῶ, τίνας [b] χρὴ καλεῖν τοὺς εὐγενεῖς. Εἰκότως [c] γε, ἔφην, τοῦτο [d] εὖ διαπορῶν. Καὶ γὰρ παρὰ τῶν πολλῶν [e] καὶ μᾶλλον παρὰ τῶν σοφῶν τὰ μὲν ἀμφισβητεῖται, τὰ δ' οὐ λέγεται σαφῶς εὐθὺς τὰ περὶ τῆς δυνάμεως· λέγω δὲ τοῦτο, πότερον τῶν τιμίων ἐστὶ καὶ [f] σπουδαίων, ἢ καθάπερ Λυκόφρων [g] ὁ σοφιστὴς ἔγραψε, καινόν τι πάμπαν. Ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτὴν, [h] εὐγένειαν μὲν οὖν ἧς ἀφανὲς τὸ κάλλος, ἐν λόγῳ

[b] τὸ εὐγενὲς] Post h. v. in versione addit Gesnerus: *Cum opes potius pabulum sint malitiæ.* Cum hac nota: *Inclusa parenthesi de nostro addidimus.*

[c] κυναιγύρου] κυναιγείρου A. κυνεγείρου Arsen.

23.

[a] Sic A. Trinc. Excidit τὸν post ἄριστον.

24.

[a] Sic A. Simpl. Ἀριστοτέλους Trinc. v. Plutarchum Wyttenbachii T. V. p. 649=968.

[b] χρὴ] γὰρ χρὴ B.

[c] γὰρ] γε A. B. Gesn. marg.

[d] εὖ] σὺ Wyttenbachius ad Plutarch. l. cit.

[e] καὶ παρὰ] καὶ μαλλον παρὰ A. B. καὶ γὰρ καὶ παρὰ τῶν σοφῶν Trinc. omissis π. τῶν πολλῶν.

[f] σπουδαίων] τῶν σπουδαίων A. B.

[g] ὁ σοφίστης om. A. B.

[h] εὐγένειαν] εὐγένεια B. An leg. εὐγενείας et mox ἔφη pro ἧς?

δὲ τὸ σεμνὸν, ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς· κατὰ δ' ἀλήθειαν, οὐθὲν διαφέροντας τοὺς [i] ἀγεννεῖς τῶν εὐγενῶν.

25 [a] Ἐν τῷ αὐτῷ.

Ἀμφισβητεῖται δὲ, καθάπερ καὶ περὶ τοῦ πηλίκον ἀγα-
θόν ἐστι, οὕτω καὶ τίνας δεῖ καλεῖν εὐγενεῖς. Οἱ μὲν γὰρ
τοὺς ἐξ ἀγαθῶν γονέων εὐγενεῖς εἶναι νομίζουσι, καθάπερ
καὶ Σωκράτης· διὰ γὰρ τὴν Ἀριστείδου ἀρετὴν, καὶ τὴν θυ- 495
γατέρα αὐτοῦ γενναίαν εἶναι· Σιμωνίδην δέ φασιν ἀποκρί-
νασθαι διερωτώμενον Τίνες εὐγενεῖς, Τοὺς ἔκπαλαι πλου-
σίων φάναι· καίτοι [b] κατὰ τοῦτον τὸν λόγον οὐκ ὀρθῶς ἐπιτι-
μῶσι [c] ὁ Θέογνις οὐδ' ὁ ποιητὴς ὁ ποιήσας, ὅτι

[d] ὡς τὴν μὲν εὐγένειαν αἰνοῦσιν βροτοὶ,
μᾶλλον δὲ κηδεύουσι τοῖσι πλουσίοις.

Ἦ πρὸς Διὸς [e] οὐχ αἱρετώτερος ὁ πλουτῶν αὐτὸς, ἢ [f] οὗ ὁ πρόπαππος ἢ τῶν προγόνων τὶς πλούσιος ἦν, αὐτὸς δὲ πένης; Πῶς γὰρ οὐκ, εἶπε. Καὶ δέοιτ' ἂν κηδεύειν τοῖς πλουσίοις μᾶλλον, [g] ἢ τοῖς εὐγενέσιν; εὐγενεῖς γὰρ οἱ παλαιοί· κρείττους δὲ οἱ νῦν· οὐκ οὖν ὁμοίως κἂν τις ὑπολαμβάνῃ οὐ τοὺς εὐγενεῖς εἶναι τοὺς ἔκπαλαι πλουσίων, ἀλλὰ τοὺς ἐξ ἀγαθῶν πάλαι; Κρείττων γὰρ ἂν δόξειεν ἀρχαίας ἀρετῆς πρόσφατος· καὶ μετέχειν μᾶλλον ἕκαστον πατρὸς, ἢ προπάππου· αἱρετώτερον δ' [h] αὐτὸν εἶναι σπουδαῖον, ἀλλ' οὐ τὸν πρόπαππον, ἢ τινὰ τῶν ἄλλων προγόνων. Ὀρθῶς ἔφη λέγειν. Ἆρ' οὖν οὐκ ἐπεὶ ἐν μηδετέρῳ τούτων ὁρῶμεν τὴν εὐγένειαν, σκεπτέον ἄλλον τρόπον; Τίνα [i] τοῦτον;

[i] ἀγεννεῖς] ἀγενεῖς A.

25.

[a] Sic A. Deest lemma Trinc. v. Plutarch. ibid.

[b] κατὰ τοῦτον] καὶ τοῦτον Wyttenbach.

[c] Θέογνις ὁ ποιητὴς] ὁ Θέογνις οὐδὲ ὁ π. A. B.

[d] ὡς] ὡς ὅτι A. Trinc. Voculas transposui. Vide infra XCII. 3.

[e] οὐχ] οὐχὶ A.

[f] οὗ] σου B.

[g] ἢ om. A. Trinc. Pro ἀλλὰ Gesnerus in marg. malit οὐδὲ. Mox κρείττω Trinc.

[h] αὐτοῦ] Lego αὐτὸν. Gesner.

[i] τοῦτον] τοιοῦτον A. B.

[k] ἐνίοτε σκεπτέον δ', ἔφη. Τὸ εὖ σημαίνει τὶ δήπου τῶν ἐπαινετῶν καὶ σπουδαίων, οἷον τὸ εὐπρόσωπον, καὶ τὸ εὐόφθαλμον· ἀγαθὸν γάρ τι ἢ καλὸν σημαίνει κατὰ τοῦτον τὸν λόγον. [l] Πάνυ γε, εἶπεν. Οὐκ οὖν εὐπρόσωπον μέν ἐστι, τὸ ἔχον ἀρετὴν προσώπου· εὐόφθαλμον δὲ τὸ ὀφθαλμοῦ ἀρετήν; Οὕτως, εἶπεν. Ἀλλὰ μήν ἐστι [m] γένος τὸ μὲν σπουδαῖον, τὸ δὲ φαῦλον, ἀλλ' οὐ σπουδαῖον. Πάνυ γε, εἶπε. Σπουδαῖον δέ γε φαμὲν ἕκαστον κατὰ τὴν αὐτοῦ ἀρετὴν εἶναι, ὥστε καὶ γένος σπουδαῖον ὡσαύτως. Οὕτως, εἶπε. Δῆλον ἄρ', ἔφην, ὅτι ἔστιν ἡ εὐγένεια, ἀρετὴ γένους.

26 [a] Πλάτωνος ἐκ τοῦ Ἀλκιβιάδου.

Πότερον εἰκὸς ἀμείνους γίγνεσθαι φύσεις ἐν γενναίοις γένεσιν, ἢ μή; Δηλονότι ἐν [[b] τοῖς] γενναίοις. Οὐκ οὖν τοὺς εὖ φύντας, ἢν καὶ εὖ τραφῶσιν, οὕτω τελέους γίγνεσθαι πρὸς ἀρετήν; Ἀνάγκη. Σκεψώμεθα δὴ τοῖς ἐκείνων τὰ ἡμέτερα [c] ἀντιτιθέντες, πρῶτον μὲν εἰ δοκοῦσι φαυλοτέρων γενῶν εἶναι οἱ Λακεδαιμονίων καὶ [d] Περσῶν βασιλεῖς. Ἢ οὐκ ἴσμεν ὡς οἱ μὲν Ἡρακλέους, οἱ δ' Ἀχαιμένους ἔκγονοι; τὸ δὲ Ἡρακλέους γένος καὶ τὸ Ἀχαιμένους εἰς Περσέα τὸν Διὸς ἀναφέρεται. Καὶ γὰρ τὸ ἡμέτερον, ὦ Σώκρατες, εἰς Εὐρυσάκην· τὸ δὲ Εὐρυσάκους, εἰς Δία. Καὶ γὰρ τὸ ἡμέτερον, ὦ γενναῖε Ἀλκιβιάδη, εἰς Δαίδαλον· ὁ δὲ Δαίδαλος, εἰς Ἥφαιστον τὸν Διός. Ἀλλὰ τὰ μὲν τούτων ἀπ' αὐτῶν ἀρξάμενα, βασιλεῖς εἰσιν ἐκ βασιλέων [e] μέχρι Διὸς, οἱ μὲν Ἄργους τε καὶ Λακεδαίμονος, οἱ δὲ τῆς Περσίδος [[f] τὸ] ἀεὶ, πολλάκις δὲ καὶ τῆς Ἀσίας, ὥσπερ καὶ νῦν· ἡμεῖς δὲ αὐτοί

[k] ἐνίοτε] ἐνίοτε al. non legitur. GESNER. τινα τοῦτον μέντοι;. σκεπτέον δὴ ἔ. Wyttenbach.

[l] πάνυ γε] πάνυ γὰρ Tr. et sic infra.

[m] γένος] γε γένος A.

26.

[a] Sic A. Scil. p. 120. D. Simpl. Πλάτωνος Trinc.

[b] τοῖς om. A. Trinc.

[c] ἀντιτιθέντες] ἀντιθέντες A.

[d] Περσῶν] οἱ τῶν Περσῶν A. B.

[e] μεχρὶ διὸς] μεχρὶ καὶ τοῦ διὸς A. B.

[f] τὸ ἀεὶ] τὸ om. A. Trinc.

τε ἰδιῶται, καὶ οἱ πατέρες. Εἰ δὲ καὶ [g] τοῦ προγόνου σε δέοι [καὶ] τὴν πατρίδα Εὐρυσάκους ἐπιδεῖξαι [[h] Σαλαμῖνα,] ἢ τὴν Αἰακοῦ τοῦ ἔτι προτέρου Αἴγιναν Ἀρταξέρξῃ τῷ Ξέρξου, πόσον δὴ οἴει γέλωτα [i] ὄφλειν; ἀλλ᾽ ὅρα μὴ τῷ τοῦ γένους 496 ὄγκῳ ἐλαττώμεθα τῶν ἀνδρῶν, καὶ τῇ ἄλλῃ τροφῇ. Ἦ οὐκ ᾔσθησαι τοῖς τε Λακεδαιμονίων βασιλεῦσιν ὡς μεγάλα τὰ ὑπάρχοντα; ὧν αἱ γυναῖκες δημοσίᾳ φυλάττονται ὑπὸ τῶν ἐφόρων, ὅπως εἰς δύναμιν μὴ λάθῃ ἐξ ἄλλου γενόμενος [[k] ὁ] βασιλεὺς, ἢ ἐξ Ἡρακλειδῶν· ὁ δὲ Περσῶν τοσοῦτον ὑπερβάλλει, ὥστ᾽ οὐδεὶς ὑποψίαν ἔχει, ὡς [l] οὐκ ἐξ ἄλλου ἂν βασιλεὺς γένοιτο, ἢ ἐξ αὐτοῦ· διὸ οὐ φρουρεῖται ἡ [[m] τοῦ] βασιλέως γυνὴ, ἀλλ᾽ ἢ ὑπὸ φόβου. Ἐπειδ᾽ ἂν δὲ γένηται ὁ παῖς [n] ὁ πρεσβύτατος οὗπερ ἡ ἀρχὴ, [[o] πρῶτον μὲν] ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασιλέως ὧν ἂν ἄρχῃ· [[p] εἶτα ἐς τὸν ἄλλον χρόνον ταύτῃ τῇ ἡμέρᾳ βασιλέως γενέθλια πᾶσα θύει, καὶ ἑορτάζει ἡ Ἀσία· ἡμῶν δὲ γεννωμένων, τὸ τοῦ κωμῳδοποιοῦ, οὐδὲ οἱ γείτονες σφόδρα τοι αἰσθάνονται, ὦ Ἀλκιβιάδη.] [q] Μετὰ τοῦτο τρέφεται ὁ παῖς, [r] οὐχ ὑπὸ γυναικὸς τροφοῦ ὀλίγου ἀξίας, ἀλλ᾽ ὑπὸ εὐνούχων, οἳ ἂν δοκῶσι τῶν περὶ βασιλέα ἄριστοι εἶναι, οἷς τἄλλα προστέτακται ἐπιμέλεσθαι τοῦ γενομένου, καὶ ὅπως ὅτι κάλλιστος [s] ἔσται μηχανᾶσθαι, ἀναπλάττοντας τά [[t] τε] μέλη τοῦ παιδὸς, καὶ κατορθοῦντας· καὶ ταῦτα δρῶντες, ἐν μεγάλῃ τιμῇ εἰσιν. Ἐπειδ᾽ ἂν δὲ ἑπταετεῖς γένωνται οἱ παῖδες, ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς τούτων διδασκάλους φοιτῶσιν, καὶ ἐπὶ

[g] τοὺς προγόνους] τοῦ προγόνου A. Trinc. Mox καὶ om. A. Trinc.
[h] σαλαμῖνα] om. A. Trinc.
[i] ὤφλειν] ὄφλειν A. Trinc. ὀφλεῖν B.
[k] ὁ βασιλεὺς] ὁ om. A. Trinc.
[l] οὐκ om. A. B.
[m] τοῦ βασιλέως] τοῦ om. Trinc.
[n] πρεσβύτατος] ὁ πρεσβύτατος A. Trinc.
[o] πρῶτον μὲν] om. A. Trinc.
[p] εἶτα—Ἀλκιβιάδη om. A. Trinc.
[q] μέτα] καὶ μετὰ B.
[r] οὐχ] οὐχὶ B.
[s] ἐστὶ] ἔσται A. B.
[t] τε om. A. Trinc.

τὰς θήρας ἄρχονται ἰέναι. Δὶς δ' ἑπτὰ [u] γενόμενον ἐτῶν τὸν παῖδα παραλαμβάνουσιν, οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς [w] νομίζουσιν· εἰσὶ δὲ [x] ἐξειλεγμένοι Περσῶν οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ τέσσαρες, ὅ τε σοφώτατος, καὶ ὁ δικαιότατος, καὶ ὁ σωφρονέστατος, καὶ [y] ὁ ἀνδρειότατος· ὧν ὁ μὲν [z] σοφώτατος μαγείαν τε διδάσκει [a] τὴν Ζωροάστρου τοῦ Ὡρομάζου· ἔστι δὲ τοῦτο θεῶν θεραπεία· διδάσκει δὲ καὶ [b] τὰ βασιλικά. Ὁ δὲ δικαιότατος, ἀληθεύειν διὰ παντὸς τοῦ βίου. Ὁ δὲ σωφρονέστατος, μηδὲ ὑπὸ μιᾶς ἄρχεσθαι τῶν ἡδονῶν, ἵν' ἐλεύθερος εἶναι ἐθίζηται, καὶ ὄντως βασιλεύς· ἄρχων πρῶτον τῶν ἐν αὐτῷ, ἀλλὰ μὴ δουλεύων. Ὁ δὲ ἀνδρειότατος, ἄφοβον καὶ ἀδεᾶ παρασκευάζων, ὡς ὅτ' ἂν δείσῃ δοῦλον ὄντα.

## ΟΤΙ ΟΥΚ ΑΕΙ ΤΟΙΣ ΕΥΓΕΝΕΣΙ ΚΑΙ ΧΡΗΣΤΟΙΣ ΤΩΝ ΠΑΤΕΡΩΝ ΕΟΙΚΕ ΤΑ ΤΕΚΝΑ. ΠΖ.

1 [a] Εὐριπίδου Ἀντιγόνη.

Ἡ γὰρ δόκησις [b] πατράσι παῖδας [c] εἰκέναι
[d] τὰ πολλὰ [e] ταύτῃ γίγνεται [f] τέκνων πέρι.

2 [a] Φωκυλίδου.

Καὶ τόδε Φωκυλίδου· τὸ πλέον γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις, οὔτ' ἐνὶ βουλῇ.

3 [a] Σοφοκλῆς Τυρῷ.

Πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται,

[u] γενόμενον] γενόμενοι A. B.
[w] νομίζουσιν] ὀνομάζουσιν Gesn. marg.
[x] ἐξειλεγμένοι] ἐξελελεγμένοι B.
[y] ὁ om. B.
[z] σοφώτατος om. A. B.
[a] τὴν] τοῦ A.
[b] τὰ βασιλικὰ] τὰ om. Trinc.

1.

[a] Sic A. Scil. fr. 10. Deest locus Trinc.
[b] ἅπασι] Forte πατράσι. Gesn. Recepit Grotius.
[c] ἐοικέναι] εἰκέναι A.
[d] τὰ πολλὰ] Forte σύ. Gesn.
[e] ταύτῃ] φαύλη Grotius.
[f] τέκνων] τέκνα A. B.

2.

[a] Sic A. Trinc.

3.

[a] Sic A. Scil. fr. 11. Simpl. Σοφοκλ. Trinc.

οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς, οὔτ' [b] ἀχρείων
τὸ λίαν κακός· βροτῷ δὲ πιστὸν οὐδέν.

4 [a] Μενάνδρου.

Ἀπολεῖ με τὸ γένος· μὴ λέγ', εἰ φιλεῖς ἐμὲ,
μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος· οἷς ἂν [b] τῇ φύσει 497
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσὸν,
[c] ἐκεῖσε καταφεύγουσιν εἰς τὰ μνήματα,
καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους ὅσοι.
[d] οὐδὲν δ' ἔχουσι πλεῖον, οὐδ' ἐρεῖς ὅτῳ
οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ' ἄν ποτε;
εἰ μὴ λέγειν δ' ἔχουσι τούτους διά τινα
τόπου μεταβολὴν, ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;

5 [a] Εὐριπίδου Μελεάγρῳ.

Μόνον δ' ἂν αὐτὰ [b] χρημάτων οὐκ ἂν λάβοις,
γενναιότητα [c] κἀρετήν· καλὸς δέ τις
κἂν ἐκ πονηρῶν σωμάτων γένοιτο παῖς.

6 [a] Σοφοκλῆς Αἴαντι.

Οὐκ ἄν ποτ', ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ' ἁμαρτάνει·
ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.

[b] ἀχρείων τὸ] ἀχρείων ἄπο Jacobs. in Athen. p. 322.

4.

[a] Sic A. Voss. Trinc. Vide supra LXXXVI. 6. Cleric. p. 240.

[b] φύσει] τῇ φύσει A. Voss. Tr.

[c] ἐκεῖσε] εἰς τοῦτο A. Voss.

[d] οὐδ' ἕνα δ' ἔχοις ἰδεῖν ἄν, οὐδ' εἰπεῖν] οὐδὲν ἔχουσι πλεῖον· οὐδ' ἐρεῖ A. Voss. Trinc. unde eruit Valckenærius Diatr. p. 150. οὐδὲν δ' ἔχουσι πλεῖον, οὐδ' ἐρεῖς ὅτῳ—et sic B. supra.

5.

[a] Sic A. Scil. fr. 14. Simpl. Εὐριπίδου Trinc.

[b] χρημάτων] Forte σωμάτων. GESNER.

[c] κἀρετὴν] κἀρὴν A.

6.

[a] Sic A. Scil. v. 1093. Simpl. Σοφοκλέ. Trinc.

7 [a] Ἐπιχάρμου.

Οὐκ ἔστιν οὐδεὶς ἀποδεδειγμένος τόπος,
ὃς ἢ πονηροὺς πάντας ἢ χρηστοὺς [b] ποιεῖ.

8 [a] Εὐριπίδου.

Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς.

9 [a] Εὐριπίδου Ἠλέκτρας.

Ἀλλ' εὐγενεῖς μὲν, ἐν δὲ κιβδήλῳ τόδε·
πολλοὶ γὰρ ὄντες εὐγενεῖς εἰσὶν κακοί.

10 [a] Ἐν τῷ αὐτῷ.

Ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸ μηδὲν ὄντα, χρηστὰ δ' ἐκ κακῶν τέκνα.

11 [a] Ὁμήρου.

Οἱ [b] πλέονες, κακίους· παῦροι δέ τε πατρὸς ἀρείους.

12 [a] Αντιγόνου.

[b] Αντίγονος, ἐπεὶ νεανίσκος ἀνδρείου πατρὸς, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι στρατιώτης, ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἀποφορὰς, Ἀλλ' ἐγὼ, εἶπεν, ὦ μειράκιον, ἀνδραγαθίας οὐ πατραγαθίας μισθὸν καὶ δωρεὰς δίδωμι.

7.

[a] Sic A. Trinc.

[b] ποιεῖ] ποεῖ Voss. Trinc.

8.

[a] Sic Trinc. Scil. inc. 60. Cohæret cum præcedentibus A. Arsen. Gesn. marg.

9.

[a] Sic A. Scil. v. 553. Deest lemma Trinc.

10.

[a] Sic A. Scil. v. 372. Deest lemma Trinc.

11.

[a] Sic A. Trinc. Scil. Odyss.

[b] πλέονες] πλείονες Trinc.

12.

[a] Sic A. Deest lemma Trinc.

[b] Ἀντίγονος] Ἀντιγόνου Voss. Sumptus locus e Plutarchi Apophth. p. 183. D. ubi videatur Wyttenbachius.

## ΟΤΙ ΕΥΓΕΝΕΙΣ ΟΙ ΑΠΟ ΧΡΗΣΤΩΝ ΠΑΤΕΡΩΝ Η ΔΥΝΑΤΩΝ Η ΕΝΔΟΞΩΝ ΓΕΝΟΜΕΝΟΙ. ΠΗ.

1 [a] Εὐριπίδου.

[b] Εἰ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα,
ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.

2 [a] Τοῦ αὐτοῦ Τημενίσι.

Φεῦ φεῦ· τὸ [b] φῦναι πατρὸς εὐγενοῦς ἄπο
ὅσην ἔχει φρόνησιν ἀξίωμά τε.
κἂν γὰρ πένης ὢν τυγχάνῃ χρηστὸς γεγὼς,
τιμὴν ἔχει τίν', ἀναμετρούμενος δέ πως
τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.

3 [a] Εὐριπίδου Ἀρχελάῳ.

Ἡμῶν τὶ δῆτα τυγχάνεις χρείαν ἔχων;
πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.
[b] πένης γὰρ οὐκ ἐκεῖν' ἀπώλεσεν
τὸ τοῦ πατρὸς γενναῖον.

4 [a] Ἐν τῷ αὐτῷ.

Φέρει δὲ καὶ τοῦτ' [b] οὐ μικρὸν εὐγενὴς
ἀνὴρ στρατηγῶν, εὐκλεᾶ τ' ἔχων φάτιν.

5 [a] Τοῦ αὐτοῦ Ἀρχελάῳ.

Ἐν τοῖς τέκνοις γὰρ ἡ ἀρετὴ τῶν εὐγενῶν 498
[b] ἐν ἔλαβε· [c] κρείσσων τ' ἐστὶ πλουσίου γάμου.

1.

[a] Sic A. Trinc. Scil. inc. 61.

[b] εἰ] ἢ Voss. Trinc. ἦν A. B.

2.

[a] Sic A. Scil. Fr. 13. Deest lemma Trinc.

[b] φῦναι] φάναι Voss. Mox εὐγενοῦς τ' B.

3.

[a] Sic A. Scil. fr. 18. Deest lemma Trinc.

[b] πένης] Versus est primo pede defectus, quem sequitur pars versus altera. Confusa hæc antea. GROTIUS. γενναῖον pro γενναίων dedit Grotius, et sic B. ubi leguntur seqq. post n. 5. Desunt A. Tr.

4.

[a] Sic A. Scil. fr. 19. Deest lemma Trinc.

[b] οὐ μικρὸν] οὔ τι μικρὸν B. οὐχὶ μικρὸν Grotius in textu, οὐ μικρὸν χρῆμ' in notis.

5.

[a] Sic A. Scil. fr. 11. Deest lemma Trinc.

[b] ἐν ἔλαβε] ἐνέλαβε Grotius in textu, sed in notis, ἐνέβαλε. Ita emendavimus pro ἓν ἔβαλε." Valcken. Diatr. p. 162. ἐνέλαμψε. Om. ἓν A. B.

[c] κρείσσων] κρεῖσσον A. B.

6 [a] Εὐριπίδου Ἑκάβης.

Δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς
ἐσθλῶν γενέσθαι, κἀπὶ [b] πλεῖστον ἔρχεται
τῆς εὐγενείας [c] οὔνομα τοῖσιν ἀξίοις.

7 [a] Τοῦ αὐτοῦ Ἡρακλειδῶν.

Οὐκ ἔστι [b] τοῦδε παισὶ κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
γαμεῖν τ' [c] ἀπ' ἐσθλῶν· ὃς δὲ νικηθεὶς πόθῳ
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω
τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπεῖν.
τὸ δυστυχὲς γὰρ ἡ εὐγένει' ἀμύνεται,
τῆς [d] δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ κακῶν
εἰς τοὔσχατον [e] πεσόντες εὕρομεν φίλους.

8 [a] Εὐριπίδου.

[b] Τὸν σὸν δὲ παῖδα [c] σωφρονοῦντ' ἐπίσταμαι,
χρηστοῖς θ' ὁμιλοῦντ', εὐσεβεῖν τ' ἠσκηκότα.
πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
γένοιτ' ἄν; οὐδεὶς τοῦτό μ' ἂν πίθοι ποτέ.

9 [a] Τοῦ αὐτοῦ Ἰνοῖ.

Τό τ' εὐγενὲς
πολλὴν δίδωσιν ἐλπίδ' ὡς ἄρξουσι γῆς.

10 [a] Ἐν τῷ αὐτῷ.

Τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,

6.

[a] Sic A. Scil. v. 379. Deest lemma Trinc.

[b] μεῖζον] πλεῖστον A. B. Gesn. marg.

[c] τοὔνομα] οὔνομα A. B.

7.

[a] Sic A. Scil. v. 298. Deest lemma Trinc.

[b] τοῦδε] τούτου Voss. Mox πᾶσι Trinc.

[c] ἀπ' ἐσθλῶν] ἐπεσθλῶν Trinc.

[d] δυσγενείας] δυσμενείας A.

[e] πλέοντες] πεσόντες A. Gesn. marg.

8.

[a] Sic A. Scil. Inc. 62. Deest lemma Trinc.

[b] τοσόνδε παῖδας] τὸν σὸν δὲ παῖδα Pierson. Veris. p. 138. παῖδα habet A.

[c] σωφρονοῦν] σωφρονοῦντ' A. B. et Gesn. marg. Grotius edidit τούτου δὲ πατέρα σωφρονοῦντ' ἐ.

9.

[a] Sic A. Scil. fr. 12. Deest lemma Trinc.

10.

[a] Sic A. ibid. 13. Deest lemma Tr.

τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,
τό τ' ἀξίωμα μᾶλλον, ἢ τὰ χρήματα.

11 [a] Σοφοκλῆς Ἀλήτῃ.

Ἀλλ' εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις,
σήμαιν' ὅτου τ' [b] εἶ χὠπόθεν. Τὸ γὰρ καλῶς
πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος.

12 [a] Πλουτάρχου ὑπὲρ Εὐγενείας.

Ἄπιστος ἡ τῶν σοφιστῶν συκοφαντία κατὰ τῆς εὐγενείας, [b] εἰ μηδὲ τὰ ἐν μέσῳ καὶ πᾶσι γνώριμα σκοποῦσιν, ὅτι πρὸς τὰς ὀχείας τοὺς εὐγενεῖς ἵππους καὶ κύνας ὠνοῦνται, καὶ κιχρῶνται· καὶ ἀμπέλων εὐγενῆ σπέρματα, καὶ ἐλαιῶν, καὶ τῶν ἄλλων δένδρων· ἀνθρώπου δὲ οὐδὲν ὄφελος νομίζουσιν εὐγένειαν εἰς τὰς μελλούσας διαδοχάς· [c] ἀλλ' αὐτὸ πείθονται Βάρβαρον εἶναι καὶ Ἑλληνικὸν σπέρμα, καὶ οὐκ οἴονται λεληθυίας τινὰς ἀρχὰς καὶ σπέρματα ἀρετῆς συγκαταβάλλεσθαι τοῖς γεννωμένοις, ὥσπερ τῷ Τηλεμάχῳ τοῦ Ὀδυσσέως, ἐφ' οὗ καὶ πάνυ τῷ ὀνόματι [d] ὁ ποιητὴς εἴρηκεν,

ἐνέστακται μένος ἠΰ·

ὡς ἂν ἐν ταῖς σπερμάτων ὀλίγαις σταγόσι καὶ τῶν ἀρετῆς συρρεόντων ἀγαθῶν.

13 [a] Ἐκ τοῦ Ἀριστοτέλους Περὶ Εὐγενείας.

Φανερὸν τοίνυν, ἔφην ἐγὼ, περὶ ὧν πάλαι διηπορήσαμεν, διὰ

11.

[a] Sic fere A. ubi ἀλείτῃ. Scil. fr. 4. Deest lemma Trinc.

[b] εἶ καὶ πόθεν] εἶ ὁπόθεν A. Voss. εἶ χὠπόθεν B. et sic Porsonus Advers. p. 305. ὅταν τ' εἶ ὁ πόθεν Tr.

12.

[a] Sic A. Trinc. V. ed. Wyttenb. V. p. 613 = 915. Deest lemma Trinc.

[b] οἱ μηδὲ τὰ] εἰ μὴ καὶ τὰ Trinc. N. εἰ pro οἱ A.

[c] ἀλλ' αὐτὸ] ἀλλὰ ταυτὸ Wyttenbach.

[d] ποιητὴς] ὁ ποιητὴς A. Trinc.

13.

[a] Sic A. v. Plutarch. ed. Wyttenb. V. p. 643 = 959.

τί ποτε οἱ [b] ἔκπαλαι πλουσίων, ἢ οἱ ἔκπαλαι σπουδαίων, εὐγενέστεροι δοκοῦσιν εἶναι μᾶλλον τῶν σύνεγγυς τἀγαθὰ κεκτημένων. Αὐτὸς γὰρ ἐγγύτερος σπουδαῖος ὤν, ἢ πάππου σπουδαίου τετυχηκώς, ὥστ' εἴη ἂν εὐγενὴς ὁ ἀγαθὸς ἀνήρ. Καί τινες εἰρήκασιν οὕτως ἐκ τοῦ διελέγχειν προσποιούμενοι τὸν συλλογισμὸν τῆς εὐγενείας, ὥσπερ φησὶ καὶ Εὐριπίδης, οὐχὶ τῶν ἔκπαλαι σπουδαίων εὐγένειαν φάμενος εἶναι, ἀλλ' [c] ὅστις ἀνὴρ [d] ἀγαθὸς ἁπλῶς. Τὸ δ' οὐκ ἔστιν· ἀλλ' ὀρθῶς ζητοῦσιν οἱ τὴν ἀρχαίαν ἀρετὴν [e] προτιθέντες. Τὰ δ' αἴτια εἴπομεν, [f] τουτέστιν, ὅτι ἡ μὲν εὐγένειά ἐστιν ἀρετὴ γένους, ἡ δ' ἀρετὴ σπουδαῖον· σπουδαῖον δ' ἐστὶ 499 γένος, ἐν ᾧ πολλοὶ σπουδαῖοι πεφύκασιν ἐγγίνεσθαι. Συμβαίνει δὲ τὸ τοιοῦτον, ὅτ' ἂν ἐγγένηται ἀρχὴ σπουδαία ἐν τῷ γένει· ἡ γὰρ ἀρχὴ τοιαύτην ἔχει τὴν δύναμιν, πολλὰ παρασκευάζειν οἷά περ αὐτή. Τοῦτο γάρ ἐστιν [g] ἀρχῆς ἔργον, ποιῆσαι [h] οἷον αὐτὴ ἕτερα πολλά. Ὅτ' ἂν οὖν ἐγγένηται τοιοῦτος εἷς τις ἐν τῷ γένει, καὶ οὕτω σπουδαῖος, ὥστ' ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθὸν πολλὰς γενεάς, τοῦτο σπουδαῖον ἀνάγκη εἶναι τὸ γένος. Πολλοὶ γὰρ ἔσονται σπουδαῖοι ἄνθρωποι, ἄν τε ἀνθρώπων ᾖ τὸ γένος, ἄν τε ἵππων, ἵπποι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζώων. Ὥστ' εὐλόγως, οὐχ οἱ πλούσιοι, [i] οὐδ' οἱ ἀγαθοί, ἀλλ' οἱ ἔκπαλαι πλουσίων ἢ ἔκπαλαι ἀγαθῶν εὐγενεῖς εἶεν ἄν. Ζητεῖ γὰρ ὁ λόγος τἀληθῆ. Ἀρχὴ γὰρ ἄνωθεν πάντων. Οὐ [k] μὴν ἀλλ' οὐδ' οἱ ἐκ προγόνων ἀγαθῶν εὐγενεῖς πάντως, ἀλλ' ὅσοι τυγχά-

[b] ἔκπαλαι] Lego ἐκ πάλαι. Gesner. Male. Vide Lobeck. ad Phryn. p. 45.

[c] οἷς τὶς] Lego ὃς. Gesner. οἷς τισιν A. B.

[d] ἀγαθοὶ] Lego ἀγαθὸς. Gesner. Sic A.

[e] προτιθέντες] προστιθέντες Gesn. marg.

[f] τουτέστιν] τοῦτο ἐστιν A.

[g] ἀρχῆς] ἀρχὴ A. B.

[h] οἷον αὐτὴ] οἷον αὐτὴ ἅπερ αὐτῇ τοῦτο γὰρ ἐστὶν ἀρχὴ ἔργον ποιῆσαι οἷον αὐτὴ A.

[i] οὐδ' οἱ] οὐχὶ οἱ A.

[k] μὴν] μὴ A.

νουσι ἀρχηγοὶ τῶν προγόνων ὄντες. Ὅτ' ἂν μὲν οὖν αὐτὸς ἀγαθὸς, μὴ [l] ἔχει δὲ τοιαύτην δύναμιν τῆς φύσεως, ὡς τίκτειν πολλοὺς [m] ὁμοίους, οὐκ ἔχει [n] ἀρχὴν τοιαύτην δύναμιν ἐν τούτοις. Ἀρχὴ τοῦ γένους, καὶ εὐγενεῖς οἱ ἀπὸ τούτου τοῦ γένους ὄντες, οὐκ ἐὰν ὁ πατὴρ εὐγενὴς ᾖ, ἀλλ' ἐὰν ὁ ἀρχηγὸς τοῦ γένους. Οὐ γὰρ δι' αὐτὸν ὁ πατὴρ ἐγέννησεν ἀγαθὸν, ἀλλ' ὅτι ἐκ τοιούτου γένους ἦν.

14 [a] Ξενοφῶντος ἐκ τοῦ περὶ Θεόγνιδος.

Θεόγνιδός ἐστιν ἔπη τοῦ Μεγαρέως.] Οὗτος δὲ ὁ ποιητὴς περὶ οὐδενὸς ἄλλου λόγον πεποίηται, ἢ περὶ ἀρετῆς καὶ κακίας ἀνθρώπων, καὶ ἔστιν [b] ἡ ποίησις σύγγραμμα περὶ ἀνθρώπων· ὥσπερ εἴ τις ἱππικὸς ὢν συγγράψειεν περὶ ἱππικῆς. Ἡ οὖν ἀρχή μοι δοκεῖ τῆς ποιήσεως ὀρθῶς ἔχειν· ἄρχεται γὰρ πρῶτον ἀπὸ τοῦ εὖ γενέσθαι. Ὤετο γὰρ [c] οὔτε ἄνθρωπον οὔτε τῶν ἄλλων οὐδὲν ἂν ἀγαθὸν εἶναι, εἰ μὴ τὰ γεννήσοντα ἀγαθὰ εἴη. Ἔδοξεν οὖν αὐτῷ παραδείγμασι τοῖς ἄλλοις ζώοις χρήσασθαι, ὅσα μὴ εἰκῆ τρέφεται, ἀλλὰ μετὰ τέχνης ἕκαστα θεραπεύεται, ὅπως γενναιότατα [d] ἔσονται. Δηλοῖ δ' ἐν τοῖσδε τοῖς ἔπεσι·

[e] Κριοὺς μὲν καὶ ὄνους [f] διζήμεθα, Κύρνε, καὶ ἵππους
[g] εὐγενέας, καὶ [h] τις βούλεται ἐξ [i] ἀγαθῶν
κτήσασθαι, γῆμαι δὲ [k] κακὴν κακοῦ οὐ μελεδαίνει

[l] ἔχει] ἔχῃ A.
[m] ὁμοίως] ὁμοίους B.
[n] ἀρχὴν] Potius ἀρχῇ. GESNER. Credo hæc primum leviter corrupta, postea ab aliis deinceps correctoribus interpolata, ita resecando esse purganda — ὡς τίκτειν πολλοὺς ὁμοίους, οὐκ ἔχει ἀρετὴν τοῦ γένους. Καὶ εὐγενεῖς οἱ ἀπὸ τ. τ. γ. WYTTENBACH.

14.

[a] Sic A. Θεόγνιδος usque ad ἔπεσι om. Trinc. v. Plutarch. Wyttenb. T. V. p. 645=962.
[b] ὁ ποιήτης] ἡ ποίησις A. B.
[c] οὐδ'] οὔτε A.
[d] ἔσονται] ἔσῶνται A.
[e] Κριοὺς] Diversam lectionem vide in Sermone De Uxoris petitione supra. GESNER.
[f] διζήμεθα] διζοίμεθα A. B.
[g] εὐγενείας] εὐγενέας A. Trinc.
[h] τοι] τις A. Voss. Arsen. Tr.
[i] ἀγαθοῦ] ἀγαθῶν Arsen.
[k] κακὴν om. Voss.

ἐσθλὸς ἀνὴρ, ἤν τις χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου· ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε,
καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμιξε γένος.

[m] Ταῦτα τὰ ἔπη λέγει τοὺς ἀνθρώπους [n] οὐκ ἐπίστασθαι γεννᾶν ἐξ ἀλλήλων, κᾆτα γίγνεσθαι τὸ γένος τῶν ἀνθρώπων [o] κάκιον ἀεὶ μιγνύμενον τὸ χεῖρον τῷ βελτίονι. Οἱ δὲ πολλοὶ ἐκ τούτων τῶν ἐπῶν οἴονται τὸν ποιητὴν [p] πολυπραγμοσύνην τῶν ἀνθρώπων κατηγορεῖν, καὶ ἀντὶ χρημάτων ἀγένειαν καὶ κακίαν ἀντικαταλλάττεσθαι εἰδότας· ἐμοὶ δὲ δοκεῖ ἄγνοιαν κατηγορεῖν τῶν ἀνθρώπων περὶ τὸν αὐτῶν βίον.

## ΟΠΟΙΟΝ ΧΡΗ ΕΙΝΑΙ ΤΟΝ ΕΥΓΕΝΗ. ΠΘ.

1 [a] Μενάνδρου.

Τοὺς εὖ [b] γεγονότας καὶ τεθραμμένους καλῶς
κἀν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.

2 [a] Εὐριπίδου Ἑλένη.

Δός τὴν χάριν μοι τήνδε, καὶ μιμοῦ τρόπους
πατρὸς δικαίου. Παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς,
εἰς [b] ταυτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.

3 [a] Δημοσθένους.

Τοῖς εὐγενέσι καὶ [b] τοῖς καλοῖς μάλιστα κατεπείγει, κάλ-

[m] ταῦτα τὰ usque ad fin. om. Trinc.
[n] ἐπίστασθαι] οὐκ ἐπίστασθαι A. B.
[o] κακίον] κακίον' B.
[p] πολυχρημοσύνην] πολυπραγμοσύνην A. B.

1.
[a] Sic A. Trinc. Cleric. p. 240.
[b] γεγονότας] γεγῶτας A.

2.
[a] Sic A. Scil. v. 946. Simpl. Εὐριπίδου Trinc.
[b] ταὐτὸν] αὐτὸν A.

3.
[a] Sic A. Trinc. Scil. Erotic. p. 1403, 25.
[b] καλοῖς] τοῖς καλοῖς A. B.

λος μὲν ἐπὶ τῆς ὄψεως, σωφροσύνην δὲ ἐπὶ τῆς ψυχῆς, ἀνδρείαν δὲ ἐπ' ἀμφοτέρων τούτων, χάριν τε ἐπὶ τῶν λόγων διατελεῖν ἔχουσιν.

4 [a] Διογένους.

Διογένης, πυνθανομένου τινὸς, τίνες τῶν ἀνθρώπων εὐγενέστατοι, Οἱ καταφρονοῦντες, εἶπε, πλούτου, δόξης, ἡδονῆς, ζωῆς· τῶν δ' ἐναντίων ὑπεράνω ὄντες, πενίας, ἀδοξίας, πόνου, θανάτου.

5 [a] Μενάνδρου Ἐπιτρέποντος.

Ἐλευθέρῳ [b] τὸ καταγελᾶσθαι πολὺ
αἴσχιόν ἐστι· τὸ δ' ὀδυνᾶσθ', ἀνθρώπινον.

6 [a] Τοῦ αὐτοῦ.

Οὐκ ἐλευθέρου φέρειν
νενόμικα κοινωνοῦσαν ἡδονὴν ὕβρει.

7 [a] Μενάνδρου Ἥρωϊ.

Ἐχρῆν γὰρ εἶναι [b] τὸ καλὸν εὐγενέστατον,
[c] τὸν ἐλεύθερον δὲ πανταχοῦ φρονεῖν μέγα.

8 [a] Σοφοκλῆς Ἀλήτῃ.

Ἀλλ' ἀξίως ἔλεξας, [b] οὐδὲ μὲν πικρῶς,
γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν
εὔκλειαν ἂν κτήσαιτο μᾶλλον, ἢ [c] ψόγον.

4.

[a] Sic A. Deest locus Trinc. v. supra 86, 19.

5.

[a] Sic A. Cleric. p. 68. Simpl. Μενάνδρου Trinc.

[b] τὸ] τοῦ A. ἐλευθέρῳ γὰρ τὸ κ. Grotius. παραπολὺ in fine pro πολὺ Bentleius.

6.

[a] Sic A. Cleric. p. 240. Deest lemma Trinc.

7.

[a] Sic A. Cleric. p. 76. Deest lemma Trinc.

[b] τὸν καλὸν] τὸ καλὸν A. Voss. Tr.

[c] τὸν ἐλεύθερον δὲ δεῖ] δεῖ videtur abundare in versu. GESNER. τὸ δ' ἐλεύθερον δεῖ dedit Grotius. Malim τοὐλεύθερον δὲ cum Bentleio.

8.

[a] Sic fere A. ubi Ἀλείτῃ. Scil. fr. 5. Simpl. Σοφοκλ. Trinc.

[b] οὐδὲ] οὐδὲν B. οὐδ' ἐμοὶ Porson.

[c] ψόγον] ψόφον Gesn. marg. Tr.

9 [a] Εὐριπίδου Ἰνοῖ.

Ἐπίσταμαι δὲ πάνθ' ὅσ' εὐγενῆ χρεών,
[b] σιγᾶν θ' ὅπου δεῖ, καὶ λέγειν ἵν' ἀσφαλές·
[c] ὁρᾶν θ' ἃ δεῖ με, κοὐχ ὁρᾶν ἃ μὴ χρεών·
γαστρὸς κρατεῖν δέ· καὶ γὰρ ἐν κακοῖσιν ὤν,
ἐλευθέροισιν [d] ἐμπεπαίδευμαι τρόποις.

## ΠΕΡΙ ΔΥΣΓΕΝΕΙΑΣ. ϛ.

1 [a] Εὐριπίδου Ἀντιγόνῃ.

Τὸ μωρὸν [b] αὐτῷ τοῦ πατρὸς νόσημ' ἔνι.
φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς.

2 [a] Τοῦ αὐτοῦ Ἀλκμαιῶνι.

Ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα,
ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα·
κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.

3 [a] Τοῦ αὐτοῦ.

Οὐ γάρ τις οὕτω παῖδας εὖ [b] παιδεύσεται,
ὥστ' ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι.

4 [a] Εὐριπίδου.

Ὅτ' ἂν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς [b] ἐκγόνους.

9.

[a] Sic A. Scil. fr. 14. Simpl. Εὐριπίδου Trinc.

[b] σιγᾶν] σιγᾶν θ' B. Valcken. Diatr. p. 175.

[c] ὁρᾶν δ'] ὁρᾶν θ' A. B. Trinc. Valcken. ibid.

[d] ἐκπεπαίδευμαι] ἐμπεπαίδευμαι A. Gesn. marg.

1.

[a] Sic A. Scil. fr. 11. Simpl. Εὐριπίδου Trinc.

[b] αὐτὸ] αὐτῷ A. B.

2.

[a] Sic A. Scil. fr. 8. Deest lemma Trinc.

3.

[a] Sic A. Scil. inc. 63. Deest locus Trinc.

[b] παιδεύσεται] παιδεύεται ed. Grotius.

4.

[a] Sic A. Scil. Herc. Fur. 1264. Deest lemma Trinc.

[b] ἐκγόνους] ἐγγόνους A. Gesn. marg.

5 [a] Εὐριπίδου Δίκτυϊ.

Φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει,
οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.

6 [a] Εὐριπίδου Φοίνικι.

Μέγιστον ἄρ' ἦν ἡ φύσις. Τὸ γὰρ κακὸν
οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ.

7 [a] Εὐριπίδου Πηλεῖ.

Οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτο σκότος,
οὐ δῶμα γαίας κλειστὸν, ἔνθα τὴν φύσιν
ὁ δυσγενὴς [b] κρύψας ἂν εἴη σοφός. 501

8 [a] Ἐπιχάρμου.

Πνίγομ' ὅτ' ἂν εὐγένειαν, οὐδὲν ὢν, [b] καλῶς
λέγῃ τὶς, αὐτὸς δυσγενὴς ὢν τῷ τρόπῳ.
τίς γὰρ κατόπτρῳ καὶ τυφλῷ κοινωνία;

9 [a] Ἐκδώρου.

Μορφὰς ἀτερπεῖς ὄψεσιν κεκτημένος,
παρεμφερεῖς ταύταισι τοὺς τρόπους ἔχεις.
ἐκ τοῦ κακοῦ γὰρ ἡ φύσις τίκτει [b] κακόν·
ὡς ἐξ ἐχίδνης πάλιν ἔχιδνα γίγνεται.

10 [a] Εὐριπίδου Βελλεροφόντου.

Οὐκ ἂν γένοιτο [b] τραῦμα, εἴ τις ἐνζύσῃ

5.

[a] Sic A. Scil. fr. 11. Deest lemma Trinc.

6.

[a] Sic A. Scil. fr. 7. Deest lemma Trinc.

7.

[a] Sic A. Scil. fr. 2. Deest lemma Trinc.

[b] κρύψας ἂν] κρύψασαν Gesn. marg. κρύψεις κἂν ed. Grotius. Mihi latitare quid videtur in ἂν εἴη. An νομισθείη?

8.

[a] Sic A. Trinc.

[b] κακῶς] καλῶς A. κακὸς Gesn. marg.

9.

[a] Sic Trinc. Ἐκιδώρου A.

[b] κακὸν] καλὸν A.

10.

[a] Sic A. Scil. fr. 14. Simpl. Εὐριπίδου Trinc.

[b] τραῦμα—θάμνοις ἐλείοις] τραύματ' — θάμνους ἐλείους Grotius in mss.

θάμνοις ἐλείοις· οὐδ' ἂν ἐκ μητρὸς κακῆς
ἐσθλοὶ γένοιντο παῖδες εἰς ἀλκὴν δορός.

11 [a] Τοῦ αὐτοῦ Ἱππολύτου.

Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅτ' ἂν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά.
[b] μόνον δέ [c] φασι τοῦθ' ἁμιλλᾶσθαι βίῳ,
γνώμην δικαίαν κἀγαθὴν, [d] ὅτ' ἂν παρῇ.
κακοὺς [e] δὲ θνητῶν ἐξέφην', ὅτ' ἂν τύχῃ
[f] προσθεὶς κάτοπτρον, [g] ὥστε παρθένῳ νέᾳ,
χρόνος.

12 [a] Σωκράτους.

Σωκράτης ὀνειδιζόμενος ἐπὶ δυσγενείᾳ ὑπό τινος [b] εὐγενοῦς, μοχθηροῦ δὲ, Ἐμοὶ μὲν τὸ γένος ὄνειδος, ἔφη, σὺ δὲ τῷ γένει.

## ΕΠΑΙΝΟΣ ΠΛΟΥΤΟΥ. ϛΑ.

1 [a] Θεόγνιδος.

Οὐ σὲ μάτην, ὦ Πλοῦτε, [b] θεῶν τιμῶσι μάλιστα·
[c] σὺ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.

2 [a] Θεόγνιδος.

[b] Πᾶσιν δ' ἀνθρώποις ἀρετὴ μία γίγνεται ἥδε,
πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος·

11.

[a] Sic A. Scil. v. 425. Deest lemma Trinc.

[b] μόνον] μοῦνον A.

[c] τοῦτο φάσ'] φασὶ τοῦτ' A. φασι τοῦθ' Trinc.

[d] ὅταν] ὅτῳ Gesn. marg.

[e] δὲ] om. A. B.

[f] προσθεὶς] προθεὶς A. Gesn. marg.

[g] ὥστε παρθένος] ὥσπερ παρθένῳ A. ubi mox χρόνος om. ὥστε παρθένῳ Trinc. omisso χρόνος.

12.

[a] Sic A.

[b] εὐγενοῦς] εὐγενοῦς μὲν A. m. sec. B.

1.

[a] Sic A. Trinc. Scil. v. 523.

[b] θεῶν] θεοὶ A. B. Voss. Gesn. marg. Grotius dedit βροτοὶ e Theognide.

[c] σὺ] ἢ Gesn. marg. e Theognide. Et sic ed. Grotius.

2.

[a] Sic A. Scil. v. 899. Deest lemma Trinc.

[b] πᾶσιν] Hoc distichon cum sequenti non est apud Theognidem. Grotius. V. Theognid. v. 699. ubi πλήθει δ' ἀνθρώπων.

οὐδ' εἰ σωφροσύνην [c] μὲν [d] ἔχοι Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ' εἰδείη Σισύφου Αἰολίδεω.
καὶ γάρ [e] τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔδωκεν,
ἡ πενίη δὲ [f] σοφῷ σύμφορον ἀνδρὶ [g] φέρειν.

3 [a] Εὐριπίδου Φοινίσσαις.

Πάλαι μὲν οὖν ὑμνηθὲν, ἀλλ' ὅμως ἐρῶ.
τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
δύναμίν τε πλείστην [b] τῶν ἐν ἀνθρώποις ἔχει.

4 [a] Εὐριπίδου Δανάῃ.

[b] Ὦ χρυσὲ, δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὐδὲ μήτηρ ἡδονὰς [c] τοιάσδ' ἔχει,
οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ.
εἰ δ' ἡ Κύπρις τοιοῦτον [d] ὀφθαλμοῖς ὁρᾷ,
οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν.

5 [a] Μενάνδρου Ἁλιεῖ.

Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.

6 [a] Εὐριπίδου Ἠλέκτρᾳ.

Ἐν τοῖς [b] τοιούτοις ἡνίκ' ἂν γνώμης πέσω,
σκοπῶ τὰ χρήμαθ' ὡς ἔχει μέγα σθένος,

[c] μὲν] τις Gesn. marg.
[d] ἔχοι] ἔχει Voss.
[e] ζεὺς] τοι A. Trinc. et Theognis. vocem om. Voss. Mox Grotius dedit ἔοικεν ex Theognide pro ἔδωκεν.
[f] σοφῷ σύμφορον] κακῷ σύμφορος Theognis.
[g] φέρειν] φέρεσθαι A. B.

3.

[a] Sic A. Scil. v. 441. Simpl. Εὐριπίδου Trinc.
[b] τὴν] τῶν A. Voss. Gesn. marg.

4.

[a] Sic A. Deest lemma Trinc. v. Fragm. Bellerophont. 15.
[b] ὦ χρυσὲ] Horum versuum Euripidis ex Bellerophonte Latinam versionem a Seneca sumsimus apud quem exstat epistola CXV. Apud Athenæum post versum tertium hic versus inseritur, οἵας σὺ χοἰ σε δαιμόνων κεκτημένοι, quem subdititium puto. Grotius. Grotius in mss. pro "quem subditium puto," habet, "qui et apud Sextum Empiricum exstat."
[c] τοίας] τοιάσδ' A. B.
[d] ὀφθαλμοῖς] ὀφθαλμοῖσιν Trinc.

5.

[a] Sic A. Cleric. p. 8. Deest locus Trinc.

6.

[a] Sic A. Scil. v. 426. Deest lemma Trinc.
[b] τοιούτοις] τοσούτοις A. B.

φίλοις τε δοῦναι, σῶμά τ' εἰς νόσον πεσὸν
δαπάναισι σῶσαι· τῆς δ' ἐφημέρου βορᾶς
εἰς μικρὸν ἥκει· πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ 502
ὁ πλούσιός τε καὶ πένης ἴσον φέρει.

7 [a] Εὐριπίδου Κρήσσαις.

Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν,
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

8 [a] Τοῦ αὐτοῦ Πολυΐδου.

Οὐ γὰρ παρὰ κρητῆρα καὶ θοίνην μόνον
τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει·
ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.

9 [a] Μενάνδρου Ὑποβολιμαίῳ.

Τοῦτο μόνον ἐπισκοτεῖ
καὶ [b] δυσγενείᾳ καὶ τρόπου πονηρίᾳ,
καὶ πᾶσιν οἷς ἔσχηκεν ἄνθρωπος κακοῖς,
τὸ πολλὰ κεκτῆσθαι· τὰ δ' ἄλλ' ἐλέγχεται.

10 [a] Θεόγνιδος.

Ἀλλὰ χρὴ ταύτην γνώμην [b] πάντας καταθέσθαι,
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

11 [a] Χαιρήμονος.

Πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰὼν
οὐκ ἔσχεν ὄγκον ὥστε καὶ δόξης τυχεῖν.
ἀλλ' ἔστι σεμνὸς, [b] ἐν δὲ δόσει βροτῶν

7.

[a] Sic A. Scil. fr. 5. Deest lemma Trinc.

8.

[a] Sic A. Scil. fr. 4. Deest lemma Trinc.

9.

[a] Sic A. Cleric. p. 184. Simpl. Μενάνδρου Trinc.

[b] δυσγένειαν—πονηρίαν] Sic edd. et mss. δυσγενείᾳ—πονηρίᾳ Bentleius. δυσγενεία—πονηρία tanquam ex A. enotaverat Grotius. Iste tamen codex cum vulg. omnino consentit.

10.

[a] Sic A. Trinc. Scil. v. 717.

[b] πάντας] πάντως B.

11.

[a] Sic A. Trinc.

[b] ἐν δὲ δόσει] Addo τῇ vel lego μεταδόσει. Gesner. μεταδόσει edidit Grotius.

ἡδὺς συνοικεῖν, καί τιν' εἰληχὼς χάριν.

12 [a] Εὐριπίδου Φοίνικι.

Ὦ πλοῦτ', [b] ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν.

13 [a] Φιλήμονος Πτέρυγες.

Τὸ τῆς [b] Ἀμαλθαίας δοκεῖς εἶναι κέρας,
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι· τοῦτο δ' ἐὰν ἔχῃς, [c] λέγε
πρὸς [d] τοῦθ' ὃ βούλει, πάντα σοι γενήσεται,
φίλοι, βοηθοὶ, μάρτυρες, συνοικίαι.

14 [a] Ἀντιφάνους.

Ἆρ' ἔστι λῆρος πάντα πρὸς τὸ χρυσίον.
[b] μόνου γὰρ αὐτοῦ [c] διαμένειν εἴωθ' ἀεὶ
τὸ χρῶμα ταὐτό· τῶν φίλων δὲ τοὺς τρόπους
οὐδέποθ' ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι.
πλοῦτος δὲ βάσανός ἐστιν [d] ἀνθρώπου τρόπων.
ὅτ' ἂν εὐπορῶν γὰρ αἰσχρὰ [e] πράττῃ πράγματα,
τί [f] τοῦτον ἀπορήσαντ' ἂν οὐκ οἴει [g] ποιεῖν;

15 [a] Τιμοκλέους.

Τἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς.
ὅστις δὲ μὴ [b] ἔχει τοῦτο, μηδ' ἐκτήσατο,
οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ.

12.

[a] Sic A. v. Plisthen. fr. 6. Deest locus Trinc.

[b] ὅσῳ μὲν] ὅσον μὲν δὴ A. δὴ B.

13.

[a] Sic A. Cleric. p. 322. Simpl. Φιλήμονος Trinc.

[b] ἀμαλθαίας] ἀμαλθείας B. ἀμαθίας Trinc.

[c] λέγε] λέγ' εἰ A. Supra τοῦτ' ἐὰν Trinc. τοῦτο δ' Wakefield.

[d] τοῦτ' εἰ] τοῦθ' ὃ B. et sic Gesnerus e conjectura. An τοῦτό τι, vel τοῦθ' ὅ τι? Hoc Wakefield.

14.

[a] Sic A. Trinc.

[b] μόνον γὰρ ἀεὶ] μόνου γὰρ αὐτοῦ A.

[c] διαμένειν εἴωθ' ἀεὶ τὸ χ. δ' αὐτὸ] διαμένειν εἴωθε δὴ τὸ χ. ταὐτὸ. Valckenaer. ταῦτὸ B.

[d] ἀνθρώπου] ἀνθρώποις B.

[e] πράττῃ] τις πράττῃ A.

[f] τοῦτο] τοῦτον A. Trinc. τούτων Voss.

[g] ποιεῖν] ποεῖν Trinc.

15.

[a] Sic A. Trinc.

[b] ἔχει] ἔχῃ A.

16 [a] Εὐριπίδου Ἀρχελάου.

Τί δ' οὐκ ἂν [b] εἴη χρηστὸς ὄλβιος γεγώς;

17 [a] Διφίλου.

Ἰσχυρότερον κρίνω τὸ χρυσίον πολύ·
τὰ πάντα τούτῳ τέμνεται καὶ [b] πράττεται.

18 [a] Εὐριπίδου Ἀρχελάῳ.

Μὴ πλούσιον θῇς, ἐνδεέστερος γὰρ ὢν
ταπεινὸς ἔσται· κεῖνο δ' ἰσχύει μέγα
πλοῦτος, λαβών [b] τε τοῦτον εὐγενὴς ἀνήρ.

19 [a] Μενάνδρου Βοιωτίᾳ.

Πλοῦτος δὲ πολλῶν ἐπικάλυμμ' ἐστὶν κακῶν.

20 [a] Εὐριπίδου Ἀνδρομέδας.

Χρυσὸν μάλιστα [b] βούλομαι δόμοις ἔχειν.
καὶ δοῦλος [c] ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ·
ἐλεύθερος δὲ, [d] χρειὸς ὤν, οὐδὲν σθένει.
χρυσοῦ [e] νόμιζε σαυτὸν οὕνεκ' εὐτυχεῖν.

21 [a] Εὐριπίδου Αἰόλῳ.

Τὴν δ' εὐγένειαν [b] πρὸς θεῶν μή μοι λέγε·
ἐν χρήμασιν τόδ' ἐστὶ, μὴ γαυροῦ, πάτερ.
κύκλῳ γὰρ ἕρπει, τῷ μὲν ἔσθ', ὁ δ' οὐκ ἔχει·

16.

[a] Sic A. Scil. fr. 21. Deest locus Trinc.

[b] εἴη] ᾖ A. B.

17.

[a] Sic A. Trinc.

[b] πράττεται] Lege φράττεται, obturabant enim os oratorum auro. VALCKEN.

18.

[a] Sic A. Scil. fr. 22. Simpl. Εὐριπίδου Trinc.

[b] τε om. A. Trinc.

19.

[a] Sic A. Cleric. p. 30. Deest locus Trinc.

20.

[a] Sic A. Scil. fr. 16. Deest lemma Trinc.

[b] βούλομαι] βούλομ' ἐν Gesn. marg. Voss.

[c] ὢν γὰρ] γὰρ ὢν A.

[d] δὲ χρειὸς] δ' ἀχρεῖος A. B.

[e] νόμιζε σαυτὸν] νόμιζ' αὐτὸν Voss. Trinc. Hunc versum cum prioribus non jungendum putat Musgravius.

21.

[a] Sic A. Scil. fr. 13. Deest lemma Trinc.

[b] πρὸς θεῶν] τῶν θεῶν B.

κοινοῖσι δ' αὐτοῖς χρώμεθ'· ᾧ δ' ἂν ἐν δόμοις 503
χρόνον [c] συνοικῇ πλεῖστον, οὗτος [d] εὐτυχής.

22 [a] Εὐριπίδου Ἐρεχθέως.

Ἔχειν [b] τε πειρῶ· τοῦτο γὰρ [c] τό τ' εὐγενές,
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους [d] ἔχειν.
ἐν τῷ πένεσθαι δ' ἐστὶν [e] ἥ τ' ἀδοξία,
κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία [f] βίου.

23 [a] Εὐριπίδου Ἑκάβῃ.

Ἆρ' οἶσθ', ὅθ' οὕνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν,
πένητες ὄντες, οὐδὲν [b] ἐμφαίνουσ' ἔτι;
οἱ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν,
καὶ [c] συμπλέκοντες σπέρμα, καὶ γάμους τέκνων;
δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ
πρόθυμός ἐστιν, ἢ πένητι κἀγαθῷ.
κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι.

24 [a] Εὐριπίδου Παλαμήδῃ.

Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν [b] αἱ τύχαι
μορφὴν ἔχουσι, συντρέχει δ' εἰς [c] χρήματα·

[c] συνοικεῖ] συνοικῇ A.

[d] εὐγενής] Ita malo quam quod legitur εὐτυχής. Nobilitas nihil est aliud quam continuatæ in familia divitiæ. Hoc et apud Aristotelem videre est. Grotius.

22.

[a] Sic A. Scil. fr. 2, 14. Deest lemma Trinc.

[b] δὲ] τε A. Voss. Trinc.

[c] τό τ'] τοῦτ' Trinc.

[d] ἔχειν] ἀεὶ Gesn. marg.

[e] ἥτ' om. A.

[f] βίου] μένει Voss. Gesn. marg.

23.

[a] Sic A. Deest lemma Trinc. Vide fragm. falso citata 5. T. II. pag. 479. ed. Beck. Conf. infra 92, 6. ubi citatur hic locus ex Danae.

[b] ἐμφαίνουσ'] ἀναφαίνουσ' A. in collatione Grotii. Habet tamen iste codex ἐμφαίνουσ' ut vulg. h. l. sed ἀναφαίνουσ' tit. seq. n. 6.

[c] συμπλέκοντες] συμπλέκονται Voss. Gesn. marg. B. pro v. l. A. tit. seq.

24.

[a] Sic A. Scil. fr. 3. Deest lemma Trinc.

[b] αἱ τύχαι] χρήματα A. Gesn. marg. παντοῖαι τύχαι pro πᾶσιν αἱ Grotius, et mox μομφὴν pro μορφὴν.

[c] χρήματα] ἓν τόδε A. Gesn. marg.

[d] τούτων δὲ πάντες, [e] οἵ τε μουσικῆς φίλοι,
ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ
μοχθοῦσιν· ὃς δ' ἂν πλεῖστ' [f] ἔχῃ, σοφώτατος.

25 [a] Ἡσιόδου Ἔργων.

Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.

26 [a] Θεόγνιδος.

Πλοῦτος καὶ [b] σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις.
ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται· θυμὸν δ' οὐ δύναται κορέσαι.

27 [a] Σοφοκλέους Ἀλεάδαι.

Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,
αὖθις δὲ τιμάς, εἶτα τῆς ὑπερτάτης
τυραννίδος [b] θακοῦσιν [c] αἰσχίστην ἕδραν.
[d] ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται
πρὸς χρήμαθ', οἵ τε φύντες ἀρνοῦνται στυγεῖν.
[e] δεινὸς γὰρ [f] ἕρπειν πλοῦτος [g] ἔς τε τἄβατα,
καὶ πρὸς τὰ βατά, χὠπόθεν πένης ἀνήρ,

[d] τούτου] τούτων A. B. Gesn. marg. πάντων ἔπαινος Grotius pro τούτου δὲ πάντες, probante Valckenærio.

[e] οἵ τε] οὔτε A. ubi in v. seq. om. ζῶσι.

[f] ἔχει] ἔχῃ A.

25.

[a] Sic A. Scil. v. 684. Simpl. Ἡσιόδου Trinc.

26.

[a] Sic A. Trinc. Scil. v. 1153.

[b] σοφίη] πενίη A.

27.

[a] Sic A. Scil. Aload. r. 11. Simpl. Σοφοκλέ. Trinc.

[b] ἥκουσιν] τ' ἄγουσιν A. B. ἀκούσιν N. m. p. ἄκουσιν Voss. ubi ο calamo transverso delevit librarius. θακοῦσιν e Salmasii correctione recepit Grotius. ἄκουσιν Trinc.

[c] ἀγχίστην] αἰσχίστην A. ἡδίστην B. a correctore proculdubio. Malim ἐχθίστην. cf. Pierson. Moer. p. 135.

[d] ἔπειτα] κἄπειτα B.

[e] ξένος] γένος A.

[f] ἕρπει] ἕρπειν A. Voss. Trinc.

Ib. δεινὸς γὰρ ἕρπειν] Rectius ita apud Plutarchum quam quod heic erat ξένος γὰρ ἕρπει. At male apud eundem Plutarchum πρός τε τἄβατα pro ἔστε τἄβατα. Grotius.

[g] ἔστε τἄβατα] ἔσται τὰ βατὰ A. Voss. ἔστε τὰ βατὰ Trinc.

Ib. καὶ πρὸς τὰ βατὰ καὶ οὔποτ' ἂν πένης ἀνὴρ] Ita emendavi pro χὠπόθεν π. ἀ. simulque versui consului. Neque nescio posse illud ὁπόθεν habere negandi vim, sed ut

[h] μὴ δ' εὐτυχὼν, δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.
[i] καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
[k] γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν.
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία
πάρεστιν αὐτῷ, [l] κἀπικρύψασθαι κακά.

28 [a] Σοφοκλέους Κρεούσᾳ.

Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ,
ὧδ' ἀντέχεσθαι· καὶ γὰρ οἳ μακρὸν βίον
θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως
ἀπρὶξ ἔχονται, κἄστι πρὸς τὰ χρήματα
θνητοῖσι τἄλλα δεύτερ'· εἰσὶ δ' οἵ τινες
αἰνοῦσιν [b] ἄνοσον ἄνδρ', ἐμοὶ δ' οὐδεὶς δοκεῖ
εἶναι πένης [c] ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.

29 [a] Μενάνδρου.

Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει,
[b] ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας·
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεοὺς
[c] τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον μόνον.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν,

posui rectius mihi sequentia cohærere videntur. Grotius.

[h] μὴ δ' εὐτυχὼν] Rectum hoc puto. At apud Plutarchum οὐδ' ἐντυχών. Grotius.

[i] δυσειδὲς σῶμα καὶ] δ. καὶ σῶμα A. δ. ὄμμα B.

[k] γλώσσῃ σοφόν] Vulgo γλώσση casu recto. Ego vocabulum πλοῦτος puto ἀπὸ κοινοῦ intelligi, eo sensu quem Latine expressi. Neque aliter est apud Plutarchum. Grotius. γλώσσῃ Trinc.

[l] κἀπικρύψασθαι] κἀπικρύψεσθαι A. κἀποκρύψασθαι B.

28.

[a] Sic A. Scil. fr. 4. Deest lemma Trinc.

[b] ἄνοσον αὖ δ'] ἄνοσον ἄνδρ' A. ἄνουσον ἄνδρ' B. ἄνδρ' tanquam de suo dedit Grotius.

[c] ὢν om. B. ἄνουσος Trinc.

29.

[a] Sic A. Trinc. Cleric. p. 240.

[b] ἀνέμους ὕδωρ γῆν ἥλιον] Ita vocibus transpositis versum concinnavimus, cum legeretur, ἀνέμους, ἥλιον, γῆν, ὕδωρ. Grotius. Idem in mss: "Augustinus: *Epicharmus . . . dixit hos quidem deos, ventos, solem, terram, atque ignem, stellas, aquam.*"

[c] τἀργύριον ἡμῖν καὶ τ. χ. μόνον] Vulgo τὸ ἀργύριον et ἡμῶν. Tum illud μόνον deerat, quod ob versum addidimus. Grotius. μόνους in fine habet B. τὸ ante χρυσίον om. Trinc.

[d] εὖξαι τί βούλει, πάντα σοι γενήσεται,
ἀγρὸς, οἰκίαι, θεράποντες, ἀργυρώματα,
φίλοι, δικασταὶ, μάρτυρες, μόνον δίδου. 504
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

30 [a] Δημοσθένους Ὀλυνθιακῶν ᾱ.

[b] Ἔστι δὴ λοιπὸν, οἶμαι, πάντας εἰσφέρειν, ἂν πολλῶν δέῃ, πολλά· ἂν ὀλίγων, ὀλίγα. Δεῖ [c] δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι [d] τῶν δεόντων γενέσθαι.

31 [a] Σιμωνίδου.

Σιμωνίδης ἐρωτηθεὶς, πότερον αἱρετώτερον πλοῦτος, ἢ σοφία, Οὐκ οἶδα, ἔφη· ὁρῶ [b] μέντοι γε τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας.

32 [a] Βίωνος.

Βίων ἔλεγεν, ὥσπερ τὰ φαῦλα τῶν βαλαντίων, κἂν μηδενὸς ᾖ ἄξια, [b] τοσούτου ἐστὶν ἄξια, ὅσον ἐν ἑαυτοῖς τὸ νόμισμα ἔχουσιν· οὕτω καὶ τῶν πλουσίων τοὺς οὐδενὸς ἀξίους, καρποῦσθαι τὰς ἀξίας ὧν κέκτηνται.

33 [a] Ἐκ τοῦ Περὶ συγκρίσεως πλούτου καὶ ἀρετῆς.

Αὐτὸς μὲν οὖν ὁ πλοῦτος ἐσεμνύνετο χρείας ἀνθρώπων διορθοῦν, ἢ τελεῖν ἐπιθυμίας, ἢ βλάβαις ἀντέχειν, ἐπιμελεῖσθαι σώματος, ψυχῇ χαρίζεσθαι, [b] πρέπειν [c] μὲν εἰρήνῃ, πολέμοις δὲ παρέχειν, θεραπεύειν δ' ἐκ νόσων, παρέχειν δὲ ταῖς ὥραις βοηθήματα, ἀλέας μὲν ἐν τοῖς πάγοις, ἐκτρο-

[d] εὖξαι τί βούλει] εὖξαιτ' εἰ β. A. Voss. Tr. εὔξαιθ' ὃ B. Mox γενήσεσθαι pro γενήσεται B. γενέσθαι A.

30.

[a] Sic A. Scil. p. 15, 1. Simpl. Δημοσθ. Trinc.

[b] ἔστι—ὀλίγα om. Trinc.

[c] δὴ] δὲ A. δεῖ Trinc.

[d] τῶν δεόντων γενέσθαι] γενέσθαι τῶν δεόντων A.

31.

[a] Sic A. Deest lemma Trinc.

[b] μέντοι γε] γὰρ Voss. Trinc.

32.

[a] Sic A. Deest lemma Trinc.

[b] τοσούτου] τοσοῦτον Trinc.

33.

[a] Sic A. et Trinc. qui addit ἀνωνύμου. Auctoris nomen deest item Voss. *Teleti* tribuit Gesner.

[b] πρέπειν] πρέπει Trinc.

[c] μὲν om. A. B.

πὰς δ' ἀπὸ θέρους, αὔξάνειν δ' οἴκους, καὶ διαδοχὰς μεγάλων [d] φυλάττειν γενῶν, γάμους ποιεῖν μείζονας, παιδοποιΐᾳ βοηθεῖν. [e] Κοσμῶ δ', εἶπεν, ἱερὰ, καλλίονες δ' ἐξ ἐμοῦ καὶ πόλεις· [f] ἐμὰ δὲ ἔργα καὶ τείχη, καὶ λιμένες, καὶ στόλοι· ποταμοὺς δὲ ἀβάτους γεφύραις σκέπω, καὶ τὴν κεχωρισμένην ἥρμοσα· ἐμοῦ δ' ἐμπορίαι δέονται· καὶ γεωργία δ' αὐτὴ δαπάνας ἀπαιτεῖ ἐκ τῶν ἐμῶν ταμιείων. Γῆ γὰρ οὐδὲ αὐτὴ δίδωσιν αὐτόματον, [g] ἂν μὴ προλάβῃ· λαβεῖν δὲ ἐκ μόνων ἔχει τῶν ἐμῶν. Δίδωμι δὲ ἀφορμὰς καὶ τοῖς ἄλλοις ἅπασι. [h] Κάλλει μὲν ἐκ κόσμου πλεῖστα συλλαμβάνω· διακονοῦμαι [i] δέ τε ὅσα δαπανῶσιν εἰς σωμασκίαν· παιδείᾳ δ' ἁπάσῃ διδασκάλους ἐγὼ παρέχομαι. Πόθεν δοῦλαι γυναιξὶν εἰς ταλασίας; πόθεν δ' ὅπλα τοῖς ἀνδράσιν; ἐλέφας δὲ καὶ χρυσὸς ὁ τοῖς ἀγάλμασιν ἁρμόσας ἐμός ἐστι, [k] καὶ πάντα ἀναθήματα. Δι' ἐμοῦ μεγάλαι πόλεις, βασιλεῖαι δ' ἐξ ἐμοῦ δυνατώτεραι· ποιῶ δὲ ἑορτὰς ἐγώ· τράπεζα δέ μοι φιλόξενος· προχειρότεραι δ' εὐεργεσίαι· δι' ἐμοῦ μεγάλαι ἀμοιβαί. Δύναται δ' ὁ ἔχων ἐμὲ μὴ μόνος εὐτυχεῖν, [l] ἀλλὰ καὶ εὐτυχίας χαρίζεσθαι· τέχνας δὲ πάσας ποιῶ κρείττονας ἐκ τῆς ἐλπίδος, μισθὸς γὰρ αὐτὰς ὁ μέγας τρέφει· γίνεται δ' ἐξ ἐμοῦ. Καὶ σὺ δ' αὐτὸς, ὦ Ζεῦ, πλοῦτον ἀνθρώποις ἀναγκαῖον ἀπέφηνας, ὃς [m] σῶμα δέδωκας ἐσθήτων [n] δεόμενον, οὐ θριξὶν ὡς τὰ ἄλλα καὶ δοραῖς [o] σκεπόμενον· τροφὴν δὲ οὐ πόαν, οὐδὲ ταυτόματα, ἀλλ' ἀεὶ δεῖ τινα πρίασθαι [p] τὸ ζῆν·

[d] φυλάττειν om. Trinc.

[e] κοσμῶ] κόσμω A. κόσμῳ Trinc.

[f] ἐμὰ δὲ ἔργα] ἐμὰ δὲ ὄντα Voss. Mox γῆν κεχ. Wakefield.

[g] ἂν] ἐὰν A.

[h] κάλλει] κάλλ. A. κάλλους B.

[i] δὲ τόσα] δέ τε ὅσα A. B. δὲ τόσα—σωμασκίαν om. Voss. Trinc.

[k] καὶ πάντα ἀναθήματα om. Voss. τὰ ἀναθήματα A. B.

[l] ἀλλ'] ἀλλὰ καὶ A. B.

[m] σῶν] Lego σῶμα. Gesn. qui non vidit finale α in inceptivum δ migrasse, et mox legendum ἔδωκας.

[n] δεόμενον] δεομένων A. δεομένοις Trinc.

[o] σκεπόμενον] σοι ἑπόμενον A. B. σκεπομένοις Trinc.

[p] εἰς τὸ] εἰς om. A. Trinc.

οἴκου δὲ ἀνάγκην ἔδωκας, πόλεις δ' [q] ἥρμοσας· νόσοι δ' ἐν ἀνθρώποις εἰσὶν, ἐφ' ἃ πάντα δεῖ χρημάτων. Διὰ τί με μὴ [r] καλεῖς εὐδαίμονα, δι' οὗ τὰς ἐπὶ πάντα χρείας ἔχεις; Ταῦθ' ὁ Πλοῦτος εἰπὼν ἐδόκει νενικηκέναι, καὶ περιέβλεπεν 505 ὡς μακαριζόμενος. Ἐβοήθει [s] δὲ αὐτῷ κρατερῶς ἡ [t] Τύχη, κρίνεσθαι μετ' [v] αὐτοῦ δοκοῦσα· τὸ γὰρ μέγιστον αὐτῆς [w] ἀπώλλυτο, εἰ πλοῦτος οὐκ ἀγαθόν ἐστιν. Ἦγε δὲ καὶ θεὰς ἄλλας μετ' αὐτοῦ συνηγόρους τε καὶ μάρτυρας, ἡδονὰς, Ἐλπίδας, Εὐχὰς, [x] Ἐπιθυμίας. Ἔρως αὐτῷ συνέπραττεν, ὡς πολλαχοῦ [y] χρώμενος· Ὑγεία καὶ αὐτὴ χάριν εἶχεν, ὡς δι' αὐτοῦ νόσοις μαχομένη· δύο δ' ἦλθον ἐναντίαι μὲν ἀλλήλαις, Οἰκονομία καὶ Τρυφή· Πλούτου δὲ ἀμφότεραι· σὺν αὐτῷ δ' ἐδόκουν ἀπόλλυσθαι. Τοσοῦτος δὲ ὁ Πλοῦτος ἦν.

## ΟΣΑ ΠΛΟΥΤΟΣ ΠΟΙΕΙ, ΔΙΑ ΤΗΝ ΤΩΝ ΠΛΕΙΣΤΩΝ ΑΝΟΙΑΝ. ϞΒ.

1 [a] Εὐριπίδου Ἀλκμήνη.

Ἀλλ' οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα·
τὸν γὰρ κάκιστον [b] πλοῦτος εἰς πρώτους ἄγει.

2 [a] Εὐριπίδου Ἐρεχθεῖ.

Ἔχειν δὲ πειρῶ· τοῦτο γὰρ τό τ' εὐγενὲς,
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἀεί·
ἐν τῷ πενέσθαι δ' ἐστιν ἥ τ' ἀδοξία

[q] ἥρμοσας] ἡρήμοσας Trinc.
[r] καλεῖς] καλῇ A. B.
[s] μὲν] δὲ A. B.
[t] τύχη] τέχνη Voss. Gesn. marg.
[v] αὐτοῦ δοκοῦσα. τὸ γὰρ] αὐτοῦ. δοκοῦσα γὰρ A. Trinc.
[w] ἀπώλλυτο] ἀπόλλυτο A.
[x] εὐθυμίας] ἐπιθυμίας A. Voss.
[y] χρώμενος] Al. non habet χρώμενος. Gesner. Sic Voss.

1.

[a] Sic A. Scil. fr. 7. Simpl. Εὐριπίδου Trinc.
[b] πλοῦτος om. A.

2.

[a] Sic A. Scil. 2, 14. Deest locus Trinc. Priorem tantum versum exhibet Gesner.

κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία μένει.

3 [a] Εὐριπίδου Θυέστῃ.

[b] Πλούτου δ' ἀπορρυέντος, ἀσθενεῖς γάμοι.
τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοὶ,
μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.

4 [a] Εὐριπίδου Πελοπίσι.

Ὁρῶσι δ' οἱ διδόντες εἰς τὰ χρήματα.

5 [a] Εὐριπίδου Κρήσσαις.

[b] Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.
ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ
τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι χρεών.

6 [a] Εὐριπίδου Δανάης.

Ἆρ' οἶσθ' ὅθ' οὕνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν,
πένητες ὄντες οὐδὲν ἀναφαίνουσ' ἔτι;
οἳ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν,
καὶ συμπλέκονται σπέρμα καὶ γάμους τέκνων.
δοῦναί τε πᾶς τις μᾶλλον ὀλβίῳ κακῷ
πρόθυμός ἐστιν, ἢ πένητι κἀγαθῷ.
κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι.

7 [a] Εὐριπίδου Εὐρυσθέως.

Νῦν δ' ἄν τις [b] οἴκων πλουσίαν ἔχῃ φάτνην,

3.

[a] Sic A. Scil. fr. 1.

[b] Ex Theognide hos duos versos citat memoriter Aristoteles de Nobilitate. Grotius in mss. Vide supra LXXXVI. 25.

4.

[a] Sic A. v. fr. Peliad. 7. Deest locus Trinc.

5.

[a] Sic A. Scil. fr. 5. Deest versus Trinc. Qui sequuntur tres versus sunt ex Heraclidis 748.

[b] Vide supra XCI. 7.

6.

[a] Totus locus exhibetur ex A. v. supra 91, 23. Deest Trinc.

7.

[a] Sic A. Scil. fr. 6. Deest lemma Trinc.

[b] οἴκων] ὄκνων (sic non ὀκνῶν ut Grotius) A. B. οἶκοι ed. Grotius.

πρῶτος γέγραπται τῶν κακιόνων κράτει·
τὰ δ' ἔργ' ἐλάσσω χρημάτων νομίζομεν.

8 [a] Μενάνδρου.

[b] Πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν,
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους [c] ποιεῖ.

9 [a] Θεόγνιδος.

Πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες· οἱ δὲ τὰ καλὰ
ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται.
εἴργει τοὺς μὲν [b] δὴ χρήματα, τοὺς δὲ νόος.

10 [a] Ὑψαίου.

Ὥσπερ ἐπὶ χειρὸς τρεμούσης [b] χρυσίον ἐάν τις θῇ, τρέμει· οὕτω καὶ [c] ὁ πλοῦτος, εἰ φοβουμένῃ καὶ [d] συνεχομένῃ ἐπισωρεύοιτο ψυχῇ, συγκραδαίνεται καὶ συμπεριπίπτει.

11 [a] Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκας κακὰς παιδευτέον.

Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην [b] ἄν, μὴ παιδὶ πλοῦτον, μηδὲ ἀνδρὶ ἀπαιδευσίαν.

12 [a] Ἰσοκράτους πρὸς Δημόνικον.

Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ μὴ δυναμένων τοῖς ὑπάρχουσι. Παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν κακῶς ἱππεύειν ἐπιστάμενος.

Mox A. φάτνην ἔχῃ pro ἔχῃ φάτνην.

8.

[a] Sic A. Trinc. Cleric. p. 242.
[b] πλοῦτος] πλοῦτός τ' A. B.
[c] ποιεῖ] ποεῖ Trinc.

9.

[a] Sic A. Trinc. Scil. v. 683.
[b] δὴ om. Voss.

10.

[a] Sic A. Ηψαίου Trinc.
[b] χρυσίον] χρυσίων Trinc.
[c] ὁ πλοῦτος deest articulus A. B.
[d] συνεχομένῃ] Forte συγχειμένῃ. Gesner.

11.

[a] Sic A. Simpl. Πλουτάρχου Trinc. v. Ed. Wyttenb. T. V. p. 561=843. Delendum videtur κακάς.
[b] ἂν om. Voss.

12.

[a] Sic A. Simpl. Ἰσοκράτους Tr.

13 [a] Διογένους.

[b] Τοὺς δὲ πολλοὺς τῶν πλουσίων [c] ὠμοίου τοῖς ἐπὶ τῶν 506 δυσβάτων καὶ ἀποκρήμνων φυομένοις δένδροις καὶ ἀμπέλοις. Τόν τε γὰρ τούτων καρπὸν ἀνθρώπους μὴ λαμβάνειν, κόρακας δὲ καὶ παραπλήσια [d] τούτοις ζῶα καταναλίσκειν· ἐκείνους τε τὸν πλοῦτον εἰς μὲν τὰ ἐπιεικῆ τῶν πραγμάτων οὐ κατατίθεσθαι, κόλαξι δὲ, καὶ πόρναις, καὶ ταῖς αἰσχροτάταις ἡδοναῖς, καὶ κενοτάταις δόξαις χορηγεῖν.

14 [a] Δημοκρίτου.

Ὥσπερ [b] ἐν μὲν τοῖς ἕλκεσι [c] φαγέδαιναι κάκιστον νόσημα· οὕτως ἐν τοῖς χρήμασι, τὸ μὴ προσαρμόσαν καὶ [d] τὸ συνεχές.

15 [a] Τοῦ αὐτοῦ.

Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγιγνόμενος [b] σῆμα, οὕτως ἐν τοῖς τὸ ὄνειδος κέκτηται.

16 [a] Πλάτωνος Ἐρυξίου.

Ἐγὼ μὲν, ὥσπερ ἠρξάμην, Ἐρυξίαν τοῦτον ἡδέως ἐροίμην ἂν, εἰ δοκοῦσιν αὐτῷ εἶναι ἄνθρωποι ἄδικοι καὶ δίκαιοι. Νὴ Δία, ἔφη ἐκεῖνος, καὶ σφόδρα μέντοι. Τί δέ; τὸ ἀδικεῖν, πότερόν σοι κακὸν δοκεῖ εἶναι, ἢ ἀγαθόν; Κακὸν ἔμοιγε. [b] Δοκεῖ δ' ἄν σοι ἄνθρωπος, εἰ [c] μοιχεύοι τὰς τῶν πέλας γυναῖκας ἐπ' ἀργυρίῳ, ἀδικεῖν ἂν, ἢ οὔ; καὶ ταῦτα

13.

[a] Sic A. Trinc.

[b] τοὺς δὲ] Διογένης τοὺς B. Vide Diogenem Laert. VI. 60. Simile dictum Crateti tribuit Stobæus supra 15, 10. εἶναι

[c] ὠμοίου] ὁμοίους A. ὁμοίους B. ὁμοίου Trinc.

[d] τούτων] τούτοις B.

14.

[a] Sic A. Trinc.

[b] ἐν τοῖς] ἐν μὲν τοῖς Voss. A. Tr.

[c] φαγέδαιναι] φαγέδαινα B.

[d] τὸ] Lego μή. Gesner.

15.

[a] Sic A. Deest locus Trinc.

[b] σῆμα οὕτως ἐν τοῖς.] Pro τοῖς Gesnerus conjicit ἀνθρώποις: mihi corruptorum loco reddendum videtur ἀσχημονέστερον.

16.

[a] Sic A. Scil. p. 396. Simpl. Πλάτωνος Trinc.

[b] δοκεῖ δ'] δ' om. Trinc.

[c] μοιχεύοι] μοιχεύει A. Mox ἐπ' ἀργυρίῳ om. Trinc.

μέντοι καὶ τῆς πόλεως καὶ τῶν νόμων [d] κωλυόντων. Ἀδικεῖν ἂν ἔμοιγε δοκεῖ. Οὐκ οὖν, ἔφη, εἰ [[e] μὲν] πλούσιος ὢν [f] τυγχάνοι, καὶ ἀργύριον δυνατὸς ὢν ἀναλῶσαι, [g] ὁ ἄδικός τε ἄνθρωπος καὶ ὁ βουλόμενος, [h] ἐξαμαρτάνοι ἄν· εἰ δέ γε μὴ [i] ὑπάρχοι [k] πλουσίῳ εἶναι τῷ ἀνθρώπῳ οὐκ ἔχων ὁπόθεν ἀναλίσκοι, οὐδ᾽ ἂν διαπράττεσθαι δύναιτο ἃ [l] βούλεται, ὥστ᾽ οὐκ ἂν οὐδ᾽ ἐξαμαρτάνοι; διὸ καὶ λυσιτελοῖ ἂν τῷ ἀνθρώπῳ μᾶλλον μὴ εἶναι πλουσίῳ, εἴπερ ἧττον διαπράξεται ἃ βούλεται· βούλεται δὲ καὶ [m] μοχθηρά. Καὶ πάλιν [n] αὖ τὸ νοσεῖν, πότερον ἂν φαίης κακὸν ἢ ἀγαθὸν εἶναι; Κακὸν ἔγωγε. Τί δὲ, δοκοῦσί τινές σοι ἀκρατεῖς εἶναι ἄνθρωποι; Ἔμοιγε. Οὐκ οὖν εἰ βέλτιον εἴη πρὸς ὑγίειαν τούτῳ τῷ ἀνθρώπῳ [o] ἀπέχεσθαι σίτων καὶ ποτῶν, καὶ τῶν ἄλλων ἡδέων τῶν δοκούντων εἶναι, ὁ δὲ μὴ οἷός τ᾽ εἴη δι᾽ ἀκράτειαν, βέλτιον ἂν εἴη τούτῳ τῷ ἀνθρώπῳ μὴ ὑπάρχειν, ὁπόθεν ἂν ἐκποριεῖται ταῦτα, μᾶλλον ἢ πολλὴν περιουσίαν εἶναι τῶν ἐπιτηδείων; Οὕτω γὰρ ἂν αὐτῷ οὐκ ἐξουσία εἴη διαμαρτάνειν, οὐδ᾽ εἰ σφόδρα βούλοιτο.

17 Οὐκ οὖν, [b] ἔφη, κατὰ τὸν αὐτὸν λόγον, οὐδὲ φάρμακον παντὶ ἀνθρώπῳ χρήσιμον εἶναι, ἀλλὰ τούτῳ ὅστις τυγχάνει εἰδὼς, ὡς δεῖ χρῆσθαι αὐτῷ; Φημί. Οὐκ οὖν καὶ τἄλλα πάντα ὁμοίως; Ἔοικε. Χρυσίον [c] τοίνυν καὶ ἀργύριον καὶ τἄλλα τὰ δοκοῦντα χρήματα εἶναι τούτῳ ἂν μόνῳ χρήσιμα εἴη, ὅστις τυγχάνει ἐπιστάμενος ὡς χρηστέον τούτοις; Οὕτως. Οὐκ οὖν πρότερον ἐδόκει [d] τοῦ καλοῦ κἀγαθοῦ ἀνθρώ-

[d] κωλυόντων ἀδικεῖν. ἔμοιγε A. Tr.
[e] μὲν om. A. Trinc.
[f] τυγχάνει] τυγχάνοι A. Trinc.
[g] ὁ ἄδικός τε ἄνθρωπος] ἄδικος ὁ ἄνθρωπός τε B.
[h] ἐξαμαρτάνοι] ἐξαμαρτάνει A.
[i] ὑπάρχοι] ὑπάρχῃ A. ex em.
[k] πλουσίῳ] πλουσίων A.
[l] βούλεται om. B.
[m] μοχθηρὰ] μοχθηροὺς B.
[n] αὖ τὸ] αὐτὸ B.
[o] ἀπέχεσθαι om. A. Trinc.

17.

[b] ἔφη] ἔφην Trinc. p. 403.
[c] τοίνυν] ἄρα A. B.
[d] τοῦ om. A. Trinc.

που εἶναι εἰδέναι ὅπου γε καὶ ὅπως τούτων ἑκάστοις χρηστέον ἐστί; Φημί. Τοῖς ἄρα καλοῖς καὶ ἀγαθοῖς τῶν ἀνθρώπων τούτοις ἂν μόνοις καὶ χρήσιμα ταῦτ᾽ εἴη, [e] εἴπερ γε οὗτοι ἐπιστήμονες ὡς χρηστέον· εἰ δὲ τούτοις μόνον χρήσιμον, τούτοις ἂν μόνον καὶ χρήματ᾽ εἶναι ταῦτα φαίνοιτο. Ἀτὰρ, ὡς ἔοικε, καὶ τὸν ἀνεπιστήμονα ἱππικῆς, κεκτημένον δὲ ἵππους, οἳ τυγχάνουσιν αὐτῷ ἀχρεῖοι ὄντες, εἴ τις τοῦτον ἱππικὸν 507
ποιήσειεν, ἄρ᾽ [f] ἅμα καὶ πλουσιώτερον πεποιηκὼς εἴη, εἴπερ γε αὐτῷ ἃ ἐτύγχανε πρόσθεν ἀχρεῖα ὄντα χρήσιμα πεποίηκεν. Ἐπιστήμην γάρ τινα παραδιδοὺς τῷ ἀνθρώπῳ ἅμα καὶ πλούσιον αὐτὸν πεποίηκεν.

## ΨΟΓΟΣ ΠΛΟΥΤΟΥ. Γ.

1 [a] Ἀλέξιδος, οἱ δὲ Μενάνδρου.

Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ᾽ ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.

2 [a] Εὐριπίδου Φαέθοντι.

Δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο [b] δ᾽ ἔμφυτον
σκαιοῖσιν εἶναι· τί ποτε [c] τοῦδε ταἴτιον;
ἆρ᾽ ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρεφεῖ,
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης;

3 [a] Εὐριπίδου Ἱππολύτῳ.

Ὕβριν τε τίκτει πλοῦτος, ἡ φειδὼ βίου.

[e] εἴπερ γε οὗτοι ἐπιστήμονες ὡς χρηστέον] εἴπερ γε τούτοις ἐπιστημόνως χρηστέον. Gesn. marg.

[f] ἅμα] ἀλλὰ A.

1.

[a] Sic A. Ἀλέξιδος Trinc. *Alexidis, alias Antiphanis, alias Menandri.* Gesner. Cleric. p. 242.

2.

[a] Sic A. Scil. fr. 5. Simpl. Εὐριπίδου Trinc. in quo desunt lemmata usque ad n. 19. inclusive.

[b] δ᾽ ἔμφυτον] γ᾽ ἔμφυτον B.

[c] τούτου αἴτιον] τοῦτο τἄιτιον A. Voss. τούτου τἄιτιον B. τοῦτ᾽ αὔτιον Trinc. τούτῳ τ᾽ ex A. Grotius, perperam. Correxisse nescio quis videtur recte, τῷδε τἄιτιον.

3.

[a] Sic A. Scil. fr. 10.

4 [a] Τοῦ αὐτοῦ Ἴωνι.

Καὶ νῦν ἐφέλκετ' ὦ κακοὶ τιμὰς βροτοὶ,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,
[b] σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ,
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

5 [a] Τοῦ αὐτοῦ Μηδείας.

Μή [b] μοι γένοιτο [c] λυπρὸς εὐδαίμων βίος,
μὴ δ' ὄλβος, ὅστις τὴν ἐμὴν [d] κνίζοι φρένα.

6 [a] Εὐριπίδου Δίκτυϊ.

Μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ
κακῷ γενέσθαι, μὴ δ' ὁμιλοίην κακοῖς.

7 [a] Τοῦ αὐτοῦ.

[b] Σκαιὸν τὸ πλουτεῖν, κἄλλο μηδὲν εἰδέναι.

8 [a] Καρκίνου.

[b] Δεινόν ἐστ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.

9 [a] Εὐριπίδου Αἰόλῳ.

[b] Μὴ Πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεὸν,
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο.

10 [a] Τοῦ αὐτοῦ Πηλεῖ.

Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,

4.

[a] Sic A. Sed legendum Ἰνοῖ. Sc. v. supra 10, 23.

[b] σύμμικτ' ἅμ' ἢ δ. καὶ ἄδικα] σ. ἃ μὴ δ. κ. ἄ. A. N. B. ὅμα δ. Voss. δίκαι' ὁμοῦ suprasc. in A. literis fere evanidis.

5.

[a] Sic A. Scil. v. 603.

[b] μοι om. B.

[c] λυπρὸς] πικρὸς Voss. Gesn. marg.

[d] κνίζοι] κνίζει Voss. Trinc.

6.

[a] Sic A. Scil. fr. 12.

7.

[a] Sic A. Scil. fr. inc. 64.

[b] Huic versui e Plutarcho II. p. 20. D. præfixit Grotius, Χρυσοῦ σε πλήθει, τοῖσδε δ' οὐ χαίρειν χρεών. Videatur Valckenærius Diatr. p. 228.

8.

[a] Sic A. Deest locus Trinc.

[b] δεινὸν] Lego δειλόν. GESNER.

9.

[a] Sic A. Scil. fr. 14.

[b] Μὴ πλοῦτον] Qui heic apud Stobæum antecedebat versus, δεινὸν ἔσθ' ὁ πλ. κ. φ. κ. male erat repetitus ex eo qui de Phœnissis infra citatur. [n. 18.] GROTIUS.

10.

[a] Sic A. Scil. fr. 4.

[b]ὄν γ' ἐξαλείφει [c]ῥᾷον, ἢ γράφει θεός.

11 [a]Καρκίνου.

[b]Ὦ πολλὰ πλοῦτος δυστυχέστατος κυρῶν,
ὅμως μέγιστον ζῆλον ἐν βροτοῖς ἔχει.

12 [a]Εὐριπίδου Ἀρχελάῳ.

Πλουτεῖς; ὁ πλοῦτος δ' ἀμαθία, δειλόν θ' ἅμα.

13 [a]Τοῦ αὐτοῦ Ἀντιγόνης.

Ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα
[b]ἄχρηστος, εἰ μὴ κἀρετὴν ἔχων [c]τύχοι.

14 [a]Εὐριπίδου Ἀλεξάνδρου.

Ἄδικον δ' ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.

15 [a]Τοῦ αὐτοῦ Ἀλκμήνης.

Σκαιόν τι χρῆμα πλοῦτος ἥ τ' ἀπειρία.

16[a] Πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν.

17 [a]Εὐριπίδου Πλεισθένης.

Ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν,
πόνοι δὲ κἀν σοὶ, καὶ φθοραὶ πολλαὶ βίου
ἔνεισ'· ὁ γὰρ πᾶς ἀσθενὴς [b]αἰὼν βροτοῖς.

18 [a]Τοῦ αὐτοῦ Φοινίσσαις.

Εἰσορῶ· [b]δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.

19 [a]Εὐριπίδου Τηλέφῳ.

Σμικρὰν θέλοιμ' ἂν καὶ καθ' ἡμέραν ἔχων

[b] ὄν γ'] γ' om. A.
[c] ῥᾷον] μᾶλλον B.

11.
[a] Sic A. Deest locus Trinc.
[b] ὦ πολλὰ] ὁ πολλὰ Grotius, ὡς πολλὰ Valckenærius.

12.
[a] Sic A. Scil. fr. 23.

13.
[a] Sic A. Scil. fr. 12. Deest Tr.
[b] ἄχρηστος] ἀχρῆστοι A.
[c] τύχη] τύχοι A.

14.
[a] Sic A. Scil. fr. 14. δ' om. Trinc. qui mox ποιεῖ.

15.
[a] Sic A. Scil. fr. 8.

16.
[a] Deest A. B. v. Plisthen. fr. 2. Valcken. Diatr. p. 228.

17.
[a] Sic A. Scil. fr. 6.
[b] δίων] αἰὼν Grotius.

18.
[a] Sic A. Scil. v. 611.
[b] δειλόν θ'] δειλὸν δ' A. B. τύφλον θ' Gesn. marg. Voss.

19.
[a] Sic A. Scil. fr. 22.

τροφὴν ἐνοικεῖν μᾶλλον, ἢ πλουτῶν νοσεῖν.

20 [a] Ἀντιφάνους.

[b] Οὐ πώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον, ἀπολαύοντα μηδὲν ὧν ἔχει.
ὁ δὲ πλοῦτος ἡμᾶς, καθάπερ ἰατρὸς κακὸς, 508
τυφλοὺς, βλέποντας παραλαβὼν, πάντας ποιεῖ.

21 [a] Μενάνδρου Ἑαυτὸν Πενθοῦντος.

[b] Τυφλὸν ὁ πλοῦτος, καὶ τυφλοὺς
τοὺς ἐμβλέποντας εἰς ἑαυτὸν δεικνύει.

22 [a] Τοῦ αὐτοῦ.

Ὑπερήφανόν [b] που γίγνεθ' ἡ λίαν τρυφή·
ὅ τε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον
εἰς ἕτερον ἦθος, οὐκ ἐν ᾧ [c] τὸ πρόσθεν ἦν.

23 [a] Ναυμαχίου.

Χρυσός τοι κόνις ἐστὶ, καὶ ἄργυρος, [b] οἱ δὲ καὶ αὐτοὶ
λᾶες ἐπὶ ῥηγμῖνι πολυψηφῖδι θαλάσσης,
πολλοὶ δ' ἐρρίφαται ποταμῶν παρὰ χείλεσιν [c] αὔτως,
εἵματα δ' [d] εἰναλίης ἐρυθαίνεται αἵματι κόχλου,
τοῖς [e] ἐπιφυσιόωσιν ἀλίφρονες.

20.

[a] Sic A. Ἀριστοφάνους Trinc.

[b] Citat Clemens nomine Antiphanis, [Str. IV. p. 574.] ὁ πλοῦτος ἡμᾶς πλέον θατέρων βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ. Grotius mss.

21.

[a] Sic A. Cleric. p. 28. Simpl. Μενάνδρου Trinc.

[b] τυφλοὺς ἐμβλέποντας εἰς αὐτὸν δεικνύει] γε δεικνύει Εἰς αὐτὸν ἐμβλέποντας B. e manifesta correctione. Nos Bentleianam prætulimus. Grotius dedit, ὁ δὲ πλοῦτος τυφλὸν, Τυφλοὺς δ' ἐς αὐτὸν ἐμβλέποντας δεικνύει.

22.

[a] Sic A. Cleric. p. 242. Deest lemma Trinc.

[b] που om. Trinc.

[c] τὸ] om. A.

23.

[a] Sic A. Trinc.

[b] οἱ δὲ] ἡ δὲ Trinc.

[c] αὔτως] αὔτας A.

[d] εἰναλίης] εἰν ἁλίης A.

[e] ἐπιφυσίωσι δ' ἀλίφρονες ἀσπαλιῆες] ἐπιφυσιόωσιν ἀλίφρονες A. B. sine ἀσπαλιῆες in fine versus. δαλίφρονες Gesn. marg.

Ib. Hunc versum inducendum censeo. Nam illud τοῖς ἔπι φυσιόωσι δαλίφρονες supra habuimus in alio ejusdem Naumachii fragmento tit. LXXIV. quod cum heic notasset aliquis aliam vocem supplendo versui addidit, sed sensui non congruentem. Neque e-

24 [a] Ἰσοκράτους πρὸς Δημόνικον.

Πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν· [b] ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν.

25 [a] Ἀνακρέοντος.

Ἀνακρέων δωρεὰν παρὰ Πολυκράτους λαβὼν πέντε τάλαντα, ὡς ἐφρόντισεν ἐπ' αὐτοῖς δυοῖν νυκτοῖν, ἀπέδωκεν αὐτά, εἰπών, οὐ τιμᾶσθαι αὐτὰ τῆς ἐπ' αὐτοῖς φροντίδος.

26 [a] Πλάτωνος.

Ἀγαθὸν δὲ ὄντα διαφόρως, καὶ [b] πλούσιον εἶναι διαφερόντως, ἀδύνατον.—Εὐδαίμονας μὲν ἅμα καὶ ἀγαθοὺς ἀνάγκη γίγνεσθαι· πλουσίους δ' αὖ σφόδρα καὶ ἀγαθούς, ἀδύνατον, οὕς γε δὴ πλουσίους οἱ πολλοὶ καταλέγουσιν.

27 Ὁ λόγος ἡμῖν ὀρθός, ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί· εἰ δὲ μὴ [b] ἀγαθοί, οὐδ' εὐδαίμονες.—[c] Ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λόγος, αὐτός τε ἄθλιος, γυναικῶν καὶ παίδων ὢν λόγος· καὶ ἀνθρώπους τοὺς [d] πειθομένους ἀπεργάζεται τοιούτους.

28 [a] Πλάτωνος ἐκ τῆς Πρὸς Διονύσιον ἐπιστολῆς.

Ἑώρων γὰρ καὶ τότε, καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τ' ἰδιωτῶν καὶ τῶν μονάρχων, σχεδὸν ὅσῳ περ ἂν μείζους ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς ἡδονὴν μετ' αἰσχρᾶς βλάβης ὁμι-

nim nautæ aut piscatores purpuram gestant. Grotius.

24.

[a] Sic A. Simpl. Ἰσοκράτους Tr.

[b] ἐξουσίαν] ἐξουσία Trinc.

25.

[a] Sic A. Deest lemma Trinc.

26.

[a] Sic A. Trinc. Vide Legg. V. p. 742. 743.

[b] πλούσιον] πλούσιον μὲν A. B.

27.

[b] ἀγαθοὶ—εὐδαίμονες] ἀγαθοὺς—εὐδαίμονας B. εἰ—εὐδαίμονες om. A.

[c] ὁ δὲ τοὺς—εὐδαίμονας om. Trinc. Sequentium sedes mihi hodie non in promptu est.

[d] πειθομένους] πειθομένους γε B.

28.

[a] Sic A. Scil. p. 317. C. Deest lemma Trinc.

λοῦντας τρεφούσας· [b] οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις.

29 [a] Τοῦ αὐτοῦ Πολιτείας η̄.

[b] Τοὐντεῦθεν τοίνυν, εἶπον, προϊόντες εἰς τὸ πρόσθεν τοῦ χρηματίζεσθαι, [c] ὅσον ἂν τοῦτο τιμιώτερον ἡγῶνται, τοσούτῳ [d] τὴν ἀρετὴν ἀτιμοτέραν. Ἢ οὐχ οὕτω πλούτῳ ἀρετὴ διέστηκεν, ὥσπερ ἐν πλάστιγγι ζυγοῦ κειμένου ἑκατέρου, ἀεὶ [e] τοὐναντίον ῥέποντος; Καὶ μάλα, ἔφη. [f] Τιμωμένου δὲ πλούτου ἐν πόλει, καὶ τῶν πλουσίων, ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί; Δῆλον. Ἀσκεῖται δὴ τὸ ἀεὶ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. Οὕτω.

30 [a] Σωκράτους.

Αἱ μὲν ποδήρεις ἐσθῆτες, τὰ σώματα· αἱ δὲ ὑπέρμετροι περιουσίαι τὰς ψυχὰς ἐμποδίζουσι.

31 [a] Ἐκ τοῦ Περὶ συγκρίσεως πλούτου καὶ ἀρετῆς.

Καθ' αὑτοὺς μὲν ἄνθρωποι πρὸς ἀρετὴν γεγόνασιν, οὗτος δὲ ἐπ' αὐτὸν τρέπει· φάρμακα δὲ εἰς κακίαν ἔχει μυρία. Καὶ δόξαν ἀγαθοῦ προθεὶς, [b] οὐκ ἔχοντας ἀπάγει τῶν ἀληθεστάτων. Οὐκ ἐᾷ δὲ ἐπ' αὐτῷ φρονεῖν τὸν ἄνθρωπον, ἀλλ' εἰς τὰ ἔξω φέρει, κἀκ τῶν τυχαίων [c] καὶ αὐτομάτων ἀναρτᾷ. 509
Θρασύτατος δέ ἐστιν ὁμοῦ καὶ δειλότατος, ἐπαιρόμενος μὲν ὡς ἐπὶ μεγίστοις, φοβούμενος δὲ ὡς ἐπὶ ἀσθενεῖ πράγματι. Ὑπερήφανος ἅμα ἐξ ἀλαζονείας, ταπεινὸς ἐκ φροντίδος. Χρώμενος μὲν, ἄσωτός ἐστι· μὴ χρώμενος δὲ, ἄθλιος. Δυστυχεῖ μέν τις δι' αὐτὸν, [d] ταῖς εἰς τὸ πορίζειν ταλαιπωρίαις·

[b] οὗ] ὁ A.

29.

[a] Sic A. Scil. p. 550. Deest lemma Trinc.

[b] τοὐντεῦθεν] τοῦτ' ἔνθεν B.

[c] ὅσον] ὅσω B.

[d] ἀρετὴν] τὴν ἀρετὴν A. B. Trinc.

[e] τοὐναντίου] τοὐναντίον A. Trinc.

[f] τιμωμένου] τιμώμενος A.

30.

[a] Sic A. Δημοκράτους Trinc.

31.

[a] Sic A. Trinc. *Teleti* tribuit Gesnerus.

[b] οὐκ ἔχοντας] οὐκ ἔχων τε B.

[c] καὶ αὐτομάτων] καὶ τῶν αὐτομάτων A.

[d] ἐν ταῖς] ἐν om. A. B.

φθείρεται δὲ ἄλλος εἰς ἡδονὰς ἀπὸ τῶν [e] περιττῶν πόνων. Κόρον δὲ οὐκ ἔχει τοῖς κτησαμένοις. Ἀεὶ δ᾽ ἀνία τὶς αὐτῷ πάρεστιν, ὅπως ἂν [f] γένηται· καὶ ὥσπερ ἡ τῶν ὑδεριώντων νόσος αὔξεται, πρὸς τὸ μᾶλλον ποθεῖν ἀφ᾽ ὧν πίμπλανται. Κακὸς μέν ἐστι τῷ φιλοπόνῳ πλοῦτος, ἀναλίσκει γὰρ αὐτοῦ τὴν φιλοπονίαν εἰς κέρματα, ἀλλαχοῦ [g] δυναμένην· [h] κακὸς δὲ ῥαθύμῳ, διδοὺς ἀφορμὰς ἁμαρτημάτων· ἀμφοτέροις δ᾽ ὀλέθριος· τὸν μὲν γὰρ εἰδότα κάμνειν, ἀσχολεῖ· τὸν δ᾽ εἰς τρυφὴν νοσοῦντα, καὶ [i] προτρέπειν ποιεῖ. Ποιεῖ δὲ ἅμα μὲν κόλακας ἀνθρώπους εἰς ἐλπίδα χρημάτων, ἅμα δ᾽ ὑπὸ πολλῶν κολακευομένους διὰ [k] χρήματα. Ὁμοῦ δ᾽ ἀγαθὸν μὲν οὐκ ἔστιν ὁ πλοῦτος· [l] φθόνον δὲ ἀγαθῶν μεγίστων ἔχει· μυρίαι δ᾽ ἐπιβουλαὶ δι᾽ αὐτὸν, ἐκ βασιλέων, [m] ἐξ ὁμόρων, ἀπ᾽ οἰκείων. Οὐκ ἔχει δέ τις πλουτῶν ἀσυλίαν ἰδίου βίου, πάρεργον δέ που χρημάτων καὐτὸς συναπόλλυται. Πρῶτον μὲν ἀμελεῖ τῶν ἐκ διανοίας ἀγαθῶν, ὡς καὶ χωρὶς ἐκείνων εὐτυχῶν· εἶτα τὸ σῶμα λυμαίνεται ταῖς τρυφαῖς· ἐθίζει μὲν εἰς πλησμονὰς ἀπὸ τῶν ἀφορμῶν, καὶ πλείστας νόσους συλλέγει· τὴν δὲ αὐτουργίαν [n] τῶν ἀνθρώπων ἀφαιρεῖται, τὸ πάντων ὑγιεινότατον· γυμνάσιον γάρ ἐστιν οὐχ ὡρισμένον, ὡς παλαίστρα καὶ κυνηγεσία. [o] Ἀλλ᾽ οὐ τοῦ βίου διακονούμενός τις ἑαυτῷ πολὺ κρείττων ἐστὶ τοῦ ζῶντος δι᾽ ἄλλων; Θρύπτει δ᾽ ὁ πλοῦτος καὶ μαλάττει λαβὼν [p] πολλὰ πολλάκις καὶ τὰς ὑγιεινὰς φύσεις, καὶ περιήγαγεν εἰς ἀσθένειαν ἐξ ἐθῶν πολυτελῶν. Πάντα μὲν

[e] περιττῶν] περιττῶν πόνων A. B.
[f] γένηται] γενῆται B.
[g] δυναμένην] Aliquid deest. GESNER. F. l. δυνάμενος.
[h] κακῶς] Malim κακός. GESN.
[i] προτρέπειν ποιεῖ] προτρέπει sine ποιεῖ Jacobsius in Athen. p. 283.
[k] χρήματα] τὰ χρήματα B.
[l] φθόνων] φθόνον A. Trinc.
[m] ἐξ ὁμόρων, ἀπ᾽ οἰκείων] ἐκ τῶν ὁμόρων, ἀπὸ τῶν οἰκείων A.
[n] τῶν ἀνθρώπων] Deest articulus A.
[o] ἀλλ᾽ οὖν τὸν βίον] ἀλλ᾽ οὐ τοῦ βίου A. B. ἀλλ᾽ οὖν τοῦ βίου Trinc.
[p] πολλὰ] πολλὰ videtur expungendum. GESNER.

ἐφ' ὕπνῳ παρασκευαζόμενος, δυσκολωτέρους ἔχει διὰ τοῦτο τοὺς ὕπνους· [q] ἑτοιμότεροι δ' εἰσὶν οἱ κατὰ φύσιν. Οὐ γὰρ ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατεσκευασμέναι κλίναι, καὶ πορφυροῖ τάπητες, οὐδὲ ὑπόβαθρα καὶ παστάδες ὕπνους ποιοῦσιν, ἀλλ' ἔργα, καὶ νόμιμοι πόνοι, καὶ τὸ τῆς φύσεως αὐτῆς ἀναγκαῖον. Οὐκ ἐᾷ δ' ὁ πλοῦτος αὐτομάτων μετασχεῖν καλῶν· λυμαίνεται δὲ τοῖς ἰδίοις ἔθεσι, καὶ φαρμακεύει τὰ πεφυκότα. Ταῖς δὲ ὥραις οὐκ ἀφίησι χρῆσθαι καὶ μελετᾶν πρὸς τὰ γιγνόμενα· ποιεῖ δὲ καὶ πρὸς θάλπος ἀσθενέστερον τὸν εὐτυχοῦντα καὶ πρὸς κρύος, καὶ δι' ὧν ἐπιτηδεύει μὴ παθεῖν ταῦτα, εὐπαθέστερος αὐτοῖς γίγνεται· κατισχύει δὲ μᾶλλον αὐτῶν ὁ κεχρημένος· μένει γὰρ ἐν τῇ τοῦ βίου τάξει, καὶ πρὸς ἀέρα ζῆν ἐπίσταται, καὶ οὐκ ἀγανακτεῖ τοῖς τοῦ θεοῦ πράγμασιν, ἀλλὰ δι' αὐτῶν ἄπεισιν [r] ἐρρωμένως. Οὕτω μὲν ὁ πλοῦτος καὶ τὰ σώματα βλάπτει. Τὰ δὲ ἄλλα μείζω πάθη στασιάζει μὲν οἴκους, καὶ κακὸν ἆθλον [s] ἀδελφοῖς πρόκειται· τέκνα δὲ [t] χείρω ποιεῖ πατράσιν, ἐπιθυμοῦντα τῆς περὶ τὸν πλοῦτον ἐξουσίας· αὐτοῖς δὲ τοῖς τέκνοις, τοὺς γονεῖς βαρυτέρους. [u] Οἱ φίλοι δὲ ὕποπτοι διὰ πλοῦτον· ὁ μὲν ἀληθὴς ἀπιστεῖται διὰ τὸν κόλακα· νικᾷ δὲ ὁ κόλαξ τὸν ἀληθεύοντα μιμούμενος. [w] Λαφύρῳ δ' ὅμοιόν ἐστιν ἐλπιζομένων νόσων πλουσίοις. Καὶ [x] τοῖς μὲν ἐλευθεριωτέροις, ὅτι μὴ κολακεύουσιν, ὀργίζεται· τοὺς δὲ κολακεύοντας ὑφορᾶται, καὶ ἐφ' ἁρπαγὴν παρεῖναι δοκεῖ. Τελευτήσαντι δὲ οὐ [y] γίγνεται πλουσίῳ πένθος, οὐδὲ παρὰ τῶν διαδεξαμένων, ἐπεὶ [z] χαίρουσιν

[q] ἑτοιμότεροι] ἑτοιμότερον A. B.
[r] ἐρρωμένως] ἐρρωμένος A.
[s] ἀδελφοῖς] ἀδελφοῦ B.
[t] χείρω ποιεῖ] ἐχθροποιεῖ Jacobsius in Anthol. T. X. p. 253. Schæferus Pr. Julian. p. VI.
[u] φίλοι] οἱ φίλοι A.
[w] (λαφύρῳ—πλουσίοις)] Notata parenthesi non esse videntur hujus periodi, sed ad proxime sequentis finem pertinere. Gesn.
[x] τοῖς μὲν] μὲν om. Trinc.
[y] γίνεται πλουσίῳ πένθος] γ. πλουσιώτερος ἢ πένθος πλουσίῳ A. B.
[z] ἐπιχαίρουσι γὰρ] ἐπιχαίρουσιν sine γὰρ A. Trinc. Leviter mutavi.

εἰληφότες· [a] οὔτε μὴν παρὰ τῶν μὴ λαβόντων, ἐπεὶ μισοῦσιν, ὡς ἐκ τοσούτων ἄτιμοι. [b] Ἔτι πρὸς τούτοις, ὃ μάλιστα [c] τῇ πόλει προσιέναι δοκεῖ, τὸ δοῦναι χάριν, οὐχ ἁπλοῦν ἐστιν, ἀλλ' ἔχει [d] συμφορὰς πλείονας. Ἔστι μὲν οὐδὲ εὐπρεπὴς ἡ χάρις, ἡ δι' ἀργυρίου δοθέντος, ἐράνῳ δ' ἔοικεν· οἱ δ' ἄνευ χρημάτων ἀπ' εὐνοίας ἐπιδεικνύμενοι καὶ βοηθοῦντες, ἐλευθέριον τὴν εὐεργεσίαν ἔχουσι καὶ τοῖς τυγχάνουσι [e] καὶ τοῖς κεχαρισμένοις. Εἶτα ὁ μὲν λαβὼν παρὰ [f] τοῦ πλουσίου πάλιν ἀπαιτεῖ, καὶ [g] τὰ πρῶτον ἀπόλωλεν, ἂν μὴ γένηται· πάλιν [h] ὁ τυχὼν ἐγκαλεῖ, κἂν ἄλλοι τυγχάνωσι· καὶ πλείονας οὕτως ὁ χαριζόμενος τισὶ τοὺς μεμφομένους ἔχει, πᾶσι γὰρ οὐκ [i] ἀρκέσει, πάντες δ' ὡς ἐκ περιττῶν ἀπαιτοῦσι. [k] Ταῦτα ἐν τῷ πλούτῳ πρόσεστι, καὶ ἐκ τῶν δοκούντων καλῶν· τἄλλα δ' ἀφόρητα, ἀλαζονεία, θρασύτης, ὑπεροψία, φροντίδες αἰσχραὶ, κακαὶ μὲν ὀρέξεις, κακαὶ δ' ἡδοναὶ, πόθος δ' ἀκόρεστος αὐτῷ πρόσεστιν. Ἐξ αὐτοῦ δὲ αἱ [l] πλεῖσται τῷ ὄντι πονηρίαι, καὶ μυρία τῶν κακῶν οὐκ ἂν ἦν, εἰ μὴ πλοῦτος [m] ἦν, δι' ὃν γίγνεται φόνος, διὰ κέρδος ἱερὰ συλᾶται, [n] ἡ φιλία παραβαίνεται, πίστις ἀμελεῖται, φερούσης ἐπὶ κέρδος ἀπιστίας, προδίδονται πατρίδες, οὐδὲ ἓν ὀκνεῖται κακόν.

32 [a] Πλουτάρχου Κατὰ Πλούτου.

Φύσει μὲν γὰρ δυσχαλίνωτον ὄρεξις· προσλαβοῦσα δὲ καὶ πλούτου χορηγίαν, ἀχαλίνωτον.

[a] οὔτε] οὔτε μὴν A. B.
[b] ἔτι] τι A. Trinc.
[c] τῇ πόλει] Malim τῷ πλούτῳ. Gesner. τῇ πολυτελείᾳ Jacobsius in Athen. p. 368.
[d] συμφορὰς] Lego διαφορὰς. Gesn.
[e] καὶ τοῖς κεχαρισμένοις] Lego, κεχαρισμένην. Gesner.
[f] τοῦ om. A.
[g] τὸ] τὰ A.
[h] ὁ τυχὼν] Malim ὁ μὴ τυχὼν. Gesner.
[i] ἀρέσκει] ἀρκέσει A.
[k] ταῦτα ἐν τῷ] ταῦτα οὖν ἐν τῷ Jacobs. in Athen. p. 352.
[l] πλεῖσται] πλεῖσται τῷ ὄντι A. B.
[m] ἤδιον] Lego κακὸν Gesner. ἴδιον B. m. sec. ἦν· δι' ὃν Jacobs. in Antholog. X. p. 253. quem vide VI. p. 274. in Athen. p. 143. F. del. διὰ κέρδος.
[n] φιλία] ἡ φιλία A. B.

32.

[a] Sic A. v. ed. Wyttenb. T.V. p.

33 [a] Ἐν τῷ αὐτῷ.

Ἀλλ' [b] ἡ ἀπληστία, καὶ ἄπιστός ἐστιν ἐν αὐτοῖς μανία, τοιούτῳ μὲν ἐνθουσιασμῷ χρῆσθαι περὶ τὴν κτῆσιν, ὡς εἰ κτήσαιντο, μηκέτι [c] κακουμένους· [d] τοσαύτη δὲ ἀμέλεια περὶ τὰ ληφθέντα, ὡς μὴ γενόμενα. Δυσερωτιῶσι δὲ τῶν ἀπόντων, ὑπερορῶντες ὧν ἔχουσιν· οὐδὲν γὰρ οὕτως ἀγαπῶσιν, [e] ὡς δὲ ἐλπίζουσιν. Οὐκ οἶδα πότερον αὐτοῖς ἄμεινόν ἐστιν, ἔχειν, ἢ προσδοκᾶν· ἔχοντες γὰρ, οὐ χρῶνται· προσδοκῶντες δὲ, κάμνουσι. Τί οὖν ἐπαινοῦμεν τοιοῦτον ἀγαθὸν, οὗ πέρας ἐστὶν οὐδὲν, [f] ἀλλὰ τὸ ληφθὲν, ἑτέρων ἀρχή;

34 [a] Βίωνος.

Βίων ἔλεγε, καταγελάστους εἶναι τοὺς σπουδάζοντας περὶ 511
πλοῦτον, ὃν τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖται.

35 [a] Διογένης.

Διογένης ἔλεγε, μήτε ἐν πόλει πλουσίᾳ μήτε ἐν οἰκίᾳ ἀρετὴν οἰκεῖν δύνασθαι.

36 [a] Μονίμου.

Τὸν πλοῦτον εἶπε τύχης ἔμετον εἶναι.

37 [a] Σωκράτους.

Σωκράτης εἶπε, Πολλοῦ ἂν ἄξιον ἦν τὸ πλουτεῖν, εἰ καὶ τὸ χαίρειν αὐτῷ συνῆν· νῦν δὲ ἄμφω ταῦτα κεχώρισται. [b] Ἐάν τε γὰρ θέλωσι χρῆσθαι τῷ πλούτῳ, [c] τῇ ἡδυπαθείᾳ διαφθείρονται· ἐάν τε [d] τὸ πλουτεῖν [e] φυλάττειν, τῇ φροντίδι· ἐάν τε κτήσασθαι, τῇ ἐπιθυμίᾳ.

559=840. Simpl. Πλουτάρχου Tr.

33.

[a] Sic A. Deest lemma Trinc.

[b] ἀπληστία] ἡ ἀπληστία A. B.

[c] κακουμένους] κακουμέναις A. B.

[d] τοσαύτη δὲ ἀμελεία] Lego, τοσαύτῃ δὲ ἀμελείᾳ. GESNER.

[e] ὡς δὲ ἐ.] Forte, ὡς ἃ ἐ.

[f] ἀλλὰ τὸ] ἀλλ' ὃ τὸ A. Trinc.

34.

[a] Sic A. Deest lemma Trinc.

35.

[a] Sic A. Deest lemma Trinc.

36.

[a] Sic A. Deest lemma Trinc.

37.

[a] Sic A. Deest lemma Trinc.

[b] ἐὰν γὰρ] ἐάν τε γὰρ A.

[c] τῇ] ἐν τῇ A.

[d] πλουτεῖν] τὸ πλ. A. τῷ πλ. Tr.

[e] φυλάττειν] φυλάττειν θέλωσι A. B.

38 [a] Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν.

Ἀνακρέων ὁ μελοποιὸς λαβὼν τάλαντον χρυσίου παρὰ Πολυκράτους τοῦ τυράννου, ἀπέδωκεν εἰπὼν, Μισῶ δωρεὰν, [b] ἥ τις ἀναγκάζει ἀγρυπνεῖν.

39 [a] Ἱέρακος ἐκ τοῦ Περὶ Δικαιοσύνης.

Ἢ πῶς ἂν ἡ τοῦ πλούτου κτῆσις ἐπὶ δικαιοσύνην καὶ τὰς [b] ἄλλας ἀρετὰς τινὸς ἡγήσαιτο; Τὰ γὰρ ὑπηρετοῦντα πρὸς τὰ χείρω [c] ἐναντία εἰσὶ πρὸς τὴν τῶν βελτίστων κτῆσιν. Τὰ χρήματα δὲ παρακαλεῖ μὲν ἐπὶ ῥαθυμίαν, [d] ζωπυρεῖ δὲ τὰς ἡδονὰς, ἐπιβουλὰς δὲ διχῇ συντίθησι· κατὰ μὲν τῶν εὐπόρων, διὰ τῶν φθονούντων· κατὰ δὲ τῶν πενήτων, διὰ τῶν δυνατωτέρων. Ἃ τοίνυν ἄλλους μὲν [e] τοῖς κεκτημένοις ἐπιβουλεύειν ποιεῖ, τοὺς δὲ ἔχοντας ἰσχυροὺς πρὸς ἀδικίαν παρασκευάζει, πῶς ἂν εἰς δικαιοσύνην συντελέσειεν;

## ΟΤΙ ΤΑ ΧΡΗΜΑΤΑ ΑΒΛΑΒΗ, ΣΥΜΜΕΤΡΩΣ ΚΑΙ ΔΙΚΑΙΩΣ ΠΟΡΙΣΘΕΝΤΑ, ΚΑΙ ΟΤΙ ΤΩΝ ΜΕΣΩΝ Ο ΠΛΟΥΤΟΣ. Δ.

1 [a] Εὐριπίδου Μελανίππη.

Ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος
ὁ μικρὸς [b] εὔκρας [c] ἐγένεθ', οἷς δ' ὄγκος κακόν.

2 [a] Τοῦ αὐτοῦ Φρίξῳ.

Κρείσσων δὲ [b] βαιὸς ὄλβος ἀβλαβὴς βροτοῖς,
ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον.

38.

[a] Sic A. Deest locus Trinc.

[b] ἥ τις ἂν ἀναγκάζῃ] ἥ τις ἀναγκάζει A. V. 93, 25.

39.

[a] Sic A. Simpl. Ἱέρακος Trinc.

[b] ἄλλας] λοιπὰς A. B. Mox τινὸς om. B.

[c] ἐναντία] ἐναντία εἰσὶ A. B.

[d] ζωπυρεῖ] ζωπυροῦσι A.

[e] τοῖς κεκτημένοις] τοὺς κεκτημένους A. B.

1.

[a] Sic A. Scil. fr. 15. Simpl. Εὐριπίδου Trinc.

[b] εὔκρατος] l. εὔκρας. VALCKEN.

[c] ἐγένετο δ' ὄγκος] ἐγένεθ', οἷς τ' ὄγκος Musgravius. ὄγδοος A. pro ὄγκος.

2.

[a] Sic A. Scil. fr. 14. Deest lemma Trinc. et in seqq. 4, 5, 6.

[b] βίος] Forte βίου. GESNER. βαιὸς Grotius e Scaligeri emendatione.

3 [a] Εὐριπίδου Κρεσφόντῃ.

Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν,
ἐφ' οἷσι μέλλει μή ποθ' ὕστερον στένειν.
μή μοι πότ' εἴη χρημάτων νικωμένῳ
[b] κακὸν γενέσθαι, [c] μὴ δ' ὁμιλοίην κακοῖς.

4 [a] Τοῦ αὐτοῦ Ἐρεχθεῖ.

Ἀδίκως δὲ μὴ [b] κτῶ χρήματ', ἂν βούλῃ πολὺν
χρόνον μελάθροις ἐμμένειν. Τὰ γὰρ κακῶς
[c] οἴκους [d] ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν.

5 [a] Εὐριπίδου Φοινίσσαις.

Ὁ δ' ὄλβος ἀδίκως καὶ μετὰ σκαιῶν συνὼν,
[b] ἐξέπτατ' οἴκων βραχὺν ὁμιλήσας χρόνον.

6 [a] Εὐριπίδου Ἰνοῖ.

Κέκτησο δ' ὀρθῶς, [b] ἃ ἂν ἔχῃς, ἄνευ ψόγου,
[c] καὶ σμικρὰ σώζων [d] τοὔνεχ' ὃν σέβειν πρέπει.
μὴ δ' ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ,
ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπώλεσεν.

3.

[a] Sic A. Scil. fr. 5. De vv. 3, 4. V. supra 93, 6. ubi locus tamquam ex Dictye citatur.

[b] κακὸν] Supra κακῷ.

[c] μήθ'] μὴ δ' A. Mox κακῷ B.

4.

[a] Sic A. Scil. 2, 11.

[b] κτῶ] om. A. Trinc. mox A. βούλει habet pro βούλῃ.

[c] οἴκους] οἴκοις A.

[d] εἰσελθόντ'] ἐσελθόντ' Trinc.

5.

[a] Sic A. Ex Electra v. 943.

[b] ἐξέπτατ'] ἐξέπτητ' A. Trinc. Hinc forte reponendum ἐξέπτετ'. Sed alteram formam præbent Euripidis libri, probante Porsono ad Med. 1. Vide etiam Elmsleium ad Sophocl. Œd. Tyr. 17.

6.

[a] Sic A. Scil. fr. 15.

[b] ἃ ἂν] ἃ om. A. B. ὀρθῶσαν ἔχῃς Trinc.

[c] καὶ] κἂν A. B.

[d] τοὔνεχ' ὃν σέβειν πρέπει] Supra IX. 5. τῇ δίκῃ ξυνοῦσ' ἀεί. probante Valckenærio Diatr. p. 177. τοὔνεχ' ὃν σέβειν πρέπει ed. Grotius. Anonymus penes me conjecit νοῦν ἔχ' ὃν σ' ἔχειν πρέπει. In fine πάντα γ' ἀπολέσῃς pessime correxit Valckenærius, cui vis particulæ εἶτα Dawesio Misc. Crit. illustrata p. 284. non ignota esse debuerat. Plura exempla congessit Porson. in Advers. p. 275.

7 [a] Μενάνδρου Μηναγύρτῃ. 512
Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει·
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.
οὕτω μαθεῖν δεῖ πάντα καὶ πλοῦτον φέρειν·
ἀσχημοσύνης γὰρ γίγνετ' ἐνίοις αἴτιος.

8 [a] Σοφοκλέους.
Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.

9 [a] Οὔ τοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί·
τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα.
ὅτ' ἂν δὲ χρῄζωσ', [b] αὔτ' ἀφαιροῦνται πάλιν.

10 [a] Εὐριπίδου Ἐρεχθέως.
Τὰς οὐσίας γὰρ μᾶλλον, ἢ τὰς ἁρπαγὰς,
τιμᾶν δίκαιον. Οὔτε γὰρ πλοῦτος ποτὲ
βέβαιος ἄδικος.

11 [a] Μενάνδρου.
Κρεῖττον ὀλίγ' ἐστὶ χρήματ' ἀνυπόπτως ἔχειν,
ἢ πολλὰ φανερῶς [b] ἀλλὰ μετ' ὀνείδους λαβεῖν.

12 [a] Σωκράτους.
Ὁ μὲν οἶνος [b] συμμεταβάλλει τοῖς ἀγγείοις· ὁ δὲ πλοῦτος τοῖς τῶν [c] κτησαμένων τρόποις.

7.

[a] Sic A. Cleric. p. 120. Simpl. Μενάνδρου Trinc.

8.

[a] Sic A. V. Aload. fr. 11.

9.

[a] Deest lemma A. Trinc. Ex Euripid. Phœn. 569.

[b] αὔτ'] αὐτῶν A. B. Trinc.

10.

[a] Sic A. Scil. fr. 9. Deest locus Trinc.

11.

[a] Sic A. Cleric. p. 242. Deest Tr.

[b] ἃ δὲ] ἃ δεῖ A. B. ἀλλὰ Grotius.

12.

[a] Sic A. Trinc. Sed locus iteratur in A. post n. 15. cum lemmate Ἐκ τῶν Ἀριστωνύμου τομαρίων.

[b] συμμεταβάλλει] συμμεταβάλλεται A. ex em. B. συμμεταβάλλει A. loco altero.

[c] κεκτημένων] κτησαμένων A. loco altero.

13 [a] Τοῦ αὐτοῦ.

Οὔτε τὸν ἄρρωστον ἡ χρυσῆ ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

14 [a] Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριοι.

Τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθαι μὴ πλοῦτον ἀλλὰ κίνδυνον ποιήσειν. Μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δὲ ἀναλῶσαι ζημίαν· οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν· ἀλλ᾽ ὁπότερον ἂν [b] ἐν καιρῷ καὶ μετ᾽ ἀρετῆς γίγνηται, τοῦτ᾽ ὠφελεῖ τοὺς ποιοῦντας.

15 [a] Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.

Ὡς τὸν αὐτὸν οἶνον πίνοντες, οἱ μὲν παροινοῦσιν, οἱ δὲ πραΰνονται· οὕτω καὶ πλοῦτον.

16 [a] Ἀριστοτέλους.

Κρείττω πρὸς εὐδαιμονίαν [b] ἐλάττω κεκτῆσθαι, ἢ πολλὰ μετὰ φθόνου. Καὶ γὰρ καλλίων καὶ ἡδίων [c] οὗτος ὁ βίος.

17 [a] Λυκούργου.

Οὐ τὸ πλουτεῖν καλὸν, ἀλλὰ τὸ ἐκ καλῶν πλουτεῖν.

18 [a] Ἰσοκράτους πρὸς Δημόνικον.

Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

19 [a] Τοῦ αὐτοῦ πρὸς αὐτόν.

Πειρῶ τὸν πλοῦτον . . . χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ τοῖς κεκτῆσθαι δυναμένοις.

13.
[a] Sic A. Deest lemma Trinc.

14.
[a] Sic A. Simpl. Ἰσοκράτους Tr.
[b] ἐν καιρῷ] κλήρῳ εἰ (ἢ B.) ἐν καιρῷ A. B.

15.
[a] Sic A. Deest locus Trinc.

16.
[a] Sic A. Trinc.
[b] ἐλάττω] ἂν ἐλάττω A.
[c] οὗτος ὁ βίος] ὁ βίος οὗτος A.

17.
[a] Sic A. Deest lemma Trinc.

18.
[a] Sic A. Deest lemma Trinc.

19.
[a] Accedit hic locus ex A. ubi lacuna post πλοῦτον. In extr. l. χρῆσθαι.

20 [a] Τοῦ αὐτοῦ.

Τίμα τὴν ὑπάρχουσαν οὐσίαν, [b] δυοῖν ἕνεκεν, τοῦ τε ζημίαν μεγάλην ῥᾳδίως ἐκτίσαι, καὶ τῷ [c] φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. Πρὸς δὲ τὸν ἄδηλον βίον, μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα. Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.

21 [a] Πλάτωνος ἐκ τοῦ Ἐρυξίου.

Ἠρώτα γὰρ αὐτὸν τὸ μειράκιον, πῶς οἴεται κακὸν εἶναι τὸ πλουτεῖν, καὶ ὅπως ἀγαθόν. Ὁ δ' ὑπολαβὼν, ὥσπερ καὶ σὺ νῦν δὴ, ἔφη, τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων, ἀγαθόν· καὶ τοῖς ἐπισταμένοις ὅπου δεῖ [b] χρῆσθαι τοῖς χρήμασι, τούτοις μὲν ἀγαθὸν, τοῖς δὲ μοχθηροῖς καὶ ἀνεπιστήμοσι, κακόν. Ἔχει δ', ἔφη, καὶ τἄλλα πράγματα οὕτω πάντα· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι. Καλῶς δ', ἔφη, δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι,

καὶ φρονεῦσι [c] τοῖ' ὁκοίοις ἐγκυρέωσιν [d] ἔργμασιν.

22 [a] Πλάτωνος ἐκ τοῦ πρώτου τῆς Πολιτείας.

[b] Τούτου ἕνεκα ἠρόμην, ἦν δ' ἐγὼ, ὅτι μοι ἔδοξας οὐ σφόδρα ἀγαπᾶν τὰ χρήματα· τοῦτο δὲ ποιοῦσιν [c] ὡς τὸ πολὺ,
[d] οἳ ἂν μὴ αὐτοὶ κτήσωνται· οἱ δὲ κτησάμενοι διπλῇ ἢ [e] οἱ 513
ἄλλοι ἀσπάζονται αὐτά. Ὥσπερ γὰρ οἱ ποιηταὶ τὰ αὑτῶν ποιήματα, καὶ οἱ πατέρες τοὺς παῖδας ἀγαπῶσι, [f] ταύτῃ δὴ καὶ οἱ χρηματισάμενοι τὰ χρήματα σπουδά-

20.

[a] Sic A. Deest lemma Trinc.

[b] δυεῖν] δυοῖν A. B.

[c] φίλῳ σπουδαίῳ] φιλοσπουδαίῳ Tr.

21.

[a] Sic A. Scil. p. 397. E. Simpl. Πλάτωνος Trinc.

[b] χρῆσθαι] χρῆσαι A.

[c] τοι ἄοικοι οἷς] τοῖα ὁκοίοις Gesn. marg.

[d] ἔργμασιν] ἐρύμασι Gesn. marg.

22.

[a] Sic A. Scil. p. 330. τῶν πολιτειῶν Trinc.

[b] τούτου] οὔ τοι A. Trinc.

[c] ὡς τὸ] ὡς A.

[d] οἳ] ἢ A. B.

[e] οἱ ἄλλοι] Deest οἱ Trinc.

[f] ταύτῃ δὴ] ταύτῃ δὲ δὴ A. B.

ζουσι, ὡς ἔργον ἑαυτῶν· [g] καὶ κατὰ τὴν χρείαν, [h] ᾗπερ οἱ ἄλλοι. Χαλεποὶ οὖν καὶ συγγενέσθαι εἰσὶν, οὐδὲν ἐθέλοντες ἐπαινεῖν ἄλλο ἢ τὸν πλοῦτον. Ἀληθῆ, ἔφη, λέγεις. Πάνυ μὲν οὖν, ἦν δ' ἐγώ. Ἀλλά μοι ἔτι τοσόνδε εἰπέ· τί μέγιστον οἴει ἀγαθὸν ἀπολελαυκέναι τοῦ πολλὴν οὐσίαν κεκτῆσθαι; [i] Ὃ, ἦ δ' ὃς, ἴσως οὐκ ἂν [k] ἄλλους καὶ πολλοὺς πείσαιμι λέγων. Εὖ γὰρ ἴσθι, ἔφη, ὦ Σώκρατες, ὅτι ἐπειδ' ἄν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς, περὶ ὧν ἐν τῷ πρόσθεν οὐκ εἰσῄει. Οἵτε γὰρ λεγόμενοι μῦθοι [l] περὶ τῶν ἐν ᾅδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, καταγελώμενοι τέως, τότε δὴ στρέφουσιν αὐτῶν τὴν ψυχὴν, μὴ ἀληθεῖς ὦσι· καὶ αὐτὸς, ἤτοι ὑπὸ τῆς τοῦ γήρως ἀσθενείας, ἢ καὶ ὥσπερ ἤδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ, μᾶλλόν τι καθορᾷ αὐτά. [m] Ὑποψίας οὖν καὶ δείματος μεστὸς γίγνεται, καὶ ἀναλογίζεται [[n] ἤδη] καὶ σκοπεῖ, εἴ τινά τι ἠδίκηκεν. Ὁ μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα, καὶ ἐκ τῶν ὕπνων ὥσπερ οἱ παῖδες θαμὰ ἐγειρόμενος, δειμαίνει, καὶ ζῇ μετὰ κακῆς ἐλπίδος· τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι, ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι, καὶ ἀγαθὴ γηροτρόφος, ὥσπερ καὶ Πίνδαρος λέγει. Χαριέντως γάρ [[o] τοι,] ὦ Σώκρατες, τοῦτ' ἐκεῖνος εἶπεν, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον [p] διαγάγῃ,

γλυκεῖά [q] οἱ καρδίαν
[r] ἀτάλλοισα γηροτρόφος [s] ξυναορεῖ
ἐλπὶς, ἃ μάλιστα θνατῶν
πολύστροφον γνώμαν κυβερνᾷ.

[g] οὐ Gesn. marg.
[h] ὥσπερ Gesn. marg.
[i] ὃ ἦδ' ὃς] ὃ om. Trinc.
[k] ἄλλους] ἄλλους γὰρ A. B.
[l] περὶ τῶν] παρὰ τοῖς Trinc.
[m] ὑποψίας] ὑποψίας δὲ A. B.
[n] ἤδη om. A. Trinc. et mox τε pro τι.
[o] τοι om. A. Trinc.
[p] διαγάγει] διαγάγη A. Trinc.
[q] οἱ καρδίαν] οἷ καρδία B.
[r] ἀτάλλοισα] ἀνατάλλοισα A. B.
[s] ξυναορεῖ] ξυναωρεῖ A. B. ξυναωρὶ Trinc.

Εὖ οὖν λέγει, θαυμαστῶς ὡς σφόδρα. Πρὸς δὴ τοῦτο ἔγωγε τίθημι τὴν τῶν χρημάτων κτῆσιν πλείστου ἀξίαν εἶναι, [t] οὔ τι που παντὶ ἀνδρὶ, ἀλλὰ τῷ [u] ἐπιεικεῖ καὶ κοσμίῳ. Τὸ γὰρ μηδὲ ἄκοντά τινα ἐξαπατῆσαι, ἢ ψεύσασθαι, μηδ᾽ αὖ ὀφείλοντα ἢ θεῷ θυσίας τινὰς ἢ ἀνθρώπῳ χρήματα, ἔπειτα ἐκεῖσε ἀπιέναι δεδιότα, μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται. Ἔχει δὲ καὶ ἄλλας χρείας πολλάς. Ἀλλὰ ἕν γε ἀνθ᾽ ἑνὸς οὐκ ἐλάχιστον ἔγωγε θείην ἂν εἰς τοῦτο, ἀνδρὶ νοῦν ἔχοντι, ὦ Σώκρατες, πλοῦτον χρησιμώτατον εἶναι. Παγκάλως, ἦν δ᾽ ἐγὼ, λέγεις, ὦ Κέφαλε.

23 [a] Μουσωνίου.

Τῶν μὲν Κροίσου καὶ [b] Κύρου θησαυρῶν πενίαν ἐσχάτην καταψηφιούμεθα· ἕνα δὲ καὶ μόνον πιστεύομεν εἶναι πλούσιον [c] καὶ σοφὸν, τὸν δυνάμενον κτήσασθαι τὸ ἀνενδεὲς πανταχοῦ.

24 [a] Δημοκρίτου.

Χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ [b] δημωφελέα· ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή.

25 [a] Τοῦ αὐτοῦ.

Χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον· ἐξ ἀδικίης δὲ, [b] πάντως κάκιον.

26 [a] Πυθαγόρου.

Οὔτε [b] ἵππον χωρὶς χαλινοῦ, οὔτε πλοῦτον δίχα φρονήσεως δυνατὸν κρατεῖσθαι.

[t] ὅτι που] οὔτι που Trinc.
[u] ἐπιεικεῖ] ἐπιεικεῖ καὶ κοσμίῳ A. B.

23.

[a] Sic A. Trinc.
[b] Κύρου] Κινύρου restituit Valckenærius in Callimach. p. 118. et in mss. citans Diogen. VIII. 53. Vatic. Append. III. 90. Dio. Chrysost. p. 135. D.
[c] καὶ] ἢ Trinc.

24.

[a] Sic A. Trinc.
[b] δημωφελέα] δημωφελὲς Trinc. Mox ξὺν ἀνοίῃ A. Trinc.

25.

[a] Sic A. Deest lemma Trinc.
[b] πάντως] πάντων B.

26.

[a] Sic A. Deest lemma Trinc.
[b] ἵππων] ἵππον A.

27 [a] Πλάτωνος.

Πλάτων ἐρωτηθεὶς πόσην δεῖ οὐσίαν ἔχειν, εἶπεν, Ὅσην ἔχων, οὔτ' ἐπιβουλευθήσῃ, οὔτε τῶν ἀναγκαίων ἀπορήσεις.

28 [a] Κλεάνθους.

Κλεάνθης ἐρωτώμενος, Πῶς ἄν τις εἴη πλούσιος, εἶπεν, Εἰ τῶν ἐπιθυμιῶν [b] εἴη πένης.

29 [a] Φαβωρίνου.

Οὐδεὶς γοῦν οὕτω πλουτεῖ, ὅστις οὐκ ἐλάττω ἔχει [b] ὧν περ 514
βούλεται. Τὸν δὲ εὐθυμεῖσθαι θέλοντα χρὴ ἐν μὲν τοῖς ἀγαθοῖς ἀφορᾶν εἰς τοὺς ἐλάττω ἀγαθὰ κεκτημένους, ἐν δὲ τοῖς κακοῖς εἰς τοὺς μᾶλλον δυστυχοῦντας. Ἐὰν δέ γε ἢ ἐν τοῖς ἀγαθοῖς εἰς τὸ ὑπερέχον, ἢ ἐν τοῖς κακοῖς εἰς τὸ ἐνδεέστερον ἀποβλέπῃς, ἀεὶ λυπήσῃ. Ἔστι δὲ λύπη, ἀνία ἐπὶ τοῖς οἰκείοις κακοῖς.

30 [a] Ἐκ τῆς Ἐπιστολῆς τῆς Περὶ φιλίας.

Πλούτῳ μὲν [b] δὴ χρηστέον ὡς ὕλῃ τινὸς, οὐκ ἐπὶ παντὸς ὁμοίως.

31 [a] Ἐν τῷ αὐτῷ.

Ἀρετὴν οὖν τοῖς πᾶσι μᾶλλον εὐκταῖον, ἢ πλοῦτον ἀνοήτοις σφαλερόν. Ὑπὸ γὰρ χρημάτων αὔξεται κακία· καὶ ὅσῳ τὶς ἂν ἄφρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων.

32 [a] Ἀριστίππου.

Οὐχ ὥσπερ ὑπόδημα τὸ μεῖζον δύσχρηστον, οὕτω καὶ ἡ

27.
[a] Sic A. Deest lemma Trinc.

28.
[a] Sic A. Deest lemma Trinc.
[b] εἴη] εἶναι Trinc.

29.
[a] Sic Trinc. Φαβουρίνου A.
[b] ὧν] ὧν περ A. B.

30.
[a] Sic A. Deest locus Trinc. v. Plutarch. ed. Wyttenb. T. V. p. 553=832.
[b] δὴ] τοι A.

31.
[a] Sic A. Deest lemma Trinc. v. Plutarch. ibid.

32.
[a] Sic A. Trinc.

πλείων κτῆσις· τοῦ μὲν γὰρ ἐν τῇ χρήσει τὸ περιττὸν ἐμποδίζει, [b]τῇ δὲ καὶ ὅλῃ χρῆσθαι κατὰ καιρὸν ἔξεστι καὶ μέρει.

33 [a]Σωκράτους.

Ἱδρὼς μὲν ὁ [b]ἐκ τῶν γυμνασίων, εὐσχημονέστερος· πλοῦτος δὲ [c]ἐκ τῶν ἰδίων πόνων.

34 [a]Τοῦ αὐτοῦ.

Τὸν πλοῦτον ὥσπερ φίλον ἐκτενῆ καὶ ἀπροφάσιστον, εἰς τὰς καλὰς δεῖ παραλαμβάνειν πράξεις.

## ΠΕΝΙΑΣ ΕΠΑΙΝΟΣ. ϟΕ.

1 [a]Ἀντιφάνους.

Ἅπανθ' ὁ λιμὸς [b]γλυκέα πλὴν αὑτοῦ ποιεῖ.
Πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος.

2 [a]Μενάνδρου Κιθαριστῇ.

[b]Τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει,
πενία. Τί γὰρ τοῦτ' ἐστὶν, ἧς γένοιτ' ἂν εἷς
φίλος βοηθήσας ἰατρὸς ῥᾳδίως;

3 [a]Διφίλου.

Πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον.
[b]τὴν γὰρ ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.

4 [a]Μενάνδρου Λευκαδίᾳ.

Ἀεὶ [b]νομίζονθ' οἱ πένητες τῶν θεῶν.

[b] τῇ δὲ] τοῦ δὲ Trinc.

33.

[a] Sic A. Trinc.

[b] ἐκ τῶν] τῶν om. Trinc.

[c] ἐκ] ὁ ἐκ B.

34.

[a] Deest lemma Trinc.

1.

[a] Sic A. Trinc. Secundum versum a priore separavit Grotius, et *Incerto* tribuit.

[b] γλυκέα] ἡδέα Gesn. marg.

2.

[a] Sic A. Cleric. p. 102.

[b] Citat sensum Plutarch. περὶ φιλοπλουτίας. GROTIUS mss.

3.

[a] Sic A. Trinc.

[b] τὴν γὰρ] γὰρ delet Porsonus Advers. p. 289. Forte leg. τὴν δ'.

4.

[a] Sic A. Cleric. p. 112. Simpl. Μενάνδρου Trinc.

[b] νομίζονθ'] νομίζεθ' B.

5 [a] Εὐριπίδου Φοινίσσαις.

Ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ [b] τοῖς γε σώφροσι.

6 [a] Μενάνδρου.

Αἰσχυνόμενος αἴσχιστα [b] πενίαν ἂν [c] φέροις.

7 [a] Εὐριπίδου Πολυείδῳ.

Πλουτεῖς· τὰ δ' ἄλλα μὴ [b] δοκεῖς ξυνιέναι·
ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις.
πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές.

8 [a] Ἀλέξιδος.

Τῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει·
ἀβεβαιότατον γάρ ἐστιν ὧν κεκτήμεθα.
τὰ δ' ἄλλ' ἐπιεικῶς τοῖς ἔχουσι παραμένει.

9 [a] Ἀπολλώνιος Λύκῳ.

Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρόν· ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι, ὄνειδος.

10 [a] Αἰλιανοῦ ἐκ τῆς Συμμίκτου Ἱστορίας.

Πενέστατοι ἐγένοντο οἱ ἄριστοι τῶν Ἑλλήνων· Ἀριστείδης ὁ Νικομάχου, καὶ Φωκίων ὁ Φώκου, καὶ Ἐπαμινώνδας ὁ Πολύμωδος, καὶ Πελοπίδας ὁ Θηβαῖος, καὶ Λάμαχος ὁ Ἀθηναῖος, καὶ Σωκράτης ὁ Σωφρονίσκου, καὶ [b] Ἐφιάλτης ὁ Σοφωνίδου.

5.

[a] Sic A. Scil. v. 557. Deest lemma Trinc.

[b] τοῖς γε] Illud γε postremum male in Stobæi codicibus deest. At habet MS. A. et Euripidis libri. Grotius.

6.

[a] Sic A. Cleric. p. 242.

[b] πενίαν] τὴν πενίαν Grotius.

[c] φέρεις] φέροις A. πενίαν ἂν φέροις e Plutarcho II. p. 128. A. restituit Porsonus Advers. p. 278.

7.

[a] Sic A. Scil. fr. 5. Simpl. Πολυΐδου Trinc.

[b] δοκεῖς ξυνιέναι] ξυ[β]νιέναι δο[α]κεῖ Voss. δόκει Trinc.

8.

[a] Sic A. Trinc.

9.

[a] Sic A. Ἀπολλω. λύκου Trinc.

10.

[a] Sic A. Trinc. Scil. II. 43.

[b] ἐφιάλτης] ἐφιάλτης δὲ B. Supra pro Πολύμωδος l. Πολύμνιδος.

11 [a] Διογένους.

Διογένης τὴν πενίαν αὐτοδίδακτον ἔφη εἶναι ἐπικούρημα πρὸς φιλοσοφίαν· ἃ γὰρ [b] ἐκείνην πείθειν τοῖς λόγοις πειρᾶσθαι, ταῦτ᾽ ἐν ἔργοις τὴν πενίαν ἀναγκάζειν.

12 [a] Τοῦ αὐτοῦ.

Διογένης, ὀνειδίσαντος αὐτῷ τινος πενίαν μοχθηροῦ, ἔφη, Διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλούμενον εἶδον, διὰ δὲ κακίαν, πολλούς.

13 [a] Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου.

Μέτρον κτήσεως, τὸ σῶμα [[b] ἑκάστῳ,] ὡς ὁ ποὺς ὑποδήματος. Ἐὰν μὲν [[c] οὖν] ἐπὶ τούτου στῇς, ἔχεις τὸ μέτρον καὶ τὴν ἐπιβάθραν· ἐὰν δὲ ὑπερβῇς, ἀφῆκας ὡς κατὰ κρημνοῦ σεαυτόν. Οὕτω [d] γίγνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν· ὑπερέβη γὰρ τὴν χρείαν τοῦ ποδός. Τὸ αὐτὸ καὶ ἐπὶ τῆς κτήσεως, ἐὰν ὑπερβῇ σῶμα, ὅρος οὐδείς ἐστι.

14 [a] Φαβωρίνου.

Πενίας διττὸν εἶδος· ἢ γὰρ διὰ τὴν γνώμην ἄνθρωποι πένονται, ἢ διὰ τὴν τύχην. Ἀλλὰ τὴν μὲν τύχην ἔστι θεραπεῦσαι, καὶ δόσει, καὶ εὑρέσει, καὶ ἐργασίᾳ, καὶ αὐταρκείᾳ· τὴν δὲ γνώμην, οὐκ ἔστιν· οὐ γὰρ ὁμοίων δέονται οὗτός [b] τε κἀκεῖνος· ἀλλ᾽ ὁ μὲν περιέρχεται αἰτίζων ἀκόλους· ὁ δὲ, οὐκ ἀκόλους, οὐδὲ ψωμόν.

15 [a] Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον.

Ἀρχύτας ἀναγνοὺς τὸν Ἐρατοσθένους Ἑρμῆν, τοῦτον ἐπήνεγκε τὸν στίχον,

11.
[a] Sic A. Deest lemma Trinc.
[b] ἐκείνη πείθει] ἐκείνην πείθειν Tr.
12.
[a] Sic A. Deest lemma Trinc.
13.
[a] Sic A. Trinc. Scil. c. 39.
[b] ἑκάστῳ om. A. Trinc.
[c] οὖν om. A. Trinc.
[d] γίνεσθαι] γίγνεται A. B.
14.
[a] Sic Trinc. Φαβουρίνου A.
[b] τε] τοι Voss. Trinc. In fine hujus fr. deesse quid suspicatur Gesnerus. Vide Homer. Odyss. P. 222.
15.
[a] Sic A. v. ed. Wyttenb. T. V.

χρειὼ πάντ' ἐδίδαξε. τί δ' οὐ χρειώ κεν ἀνεύροι;

καὶ τοῦτο,

[b] ὀρθοῦ· καὶ γὰρ μᾶλλον ἐπωδίνουσι μέριμναι.

16 [a] Τοῦ αὐτοῦ Κατὰ Πλούτου.

Οὐδέποτε λιμὸς ἐγέννησε μοιχείαν· οὐδέποτε ἀπορία χρημάτων, ἀσωτίαν. Βραχεῖά τίς ἐστι σωφροσύνη τὸ [b] πενιτεύειν· ὀλίγη τὶς εὐνομία, τὸ ἀπορεῖσθαι.

17 [a] Ἀρκεσιλάου.

Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι, ὥσπερ καὶ τὴν Ἰθάκην, ἀγαθὴν δὲ [b] κουροτρόφον, ἐθίζουσαν συνεῖναι λιτότητι, καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον.

18 [a] Σωκράτους.

Σωκράτης τὴν πενίαν ἔλεγεν μικρὰν εἶναι σωφροσύνην.

19 [a] Διογένους.

Διογένης τὴν πενίαν ἔλεγεν αὐτοδίδακτον εἶναι ἀρετήν.

20 [a] Ὑψαίου.

Θεράπευε τὸ φοβεῖσθαι, καὶ οὐ φοβήσῃ πενίαν.

21 [a] Ἐκ τῶν Τέλητος ἐπιτομή.

Ἡ πενία κωλύει πρὸς τὸ φιλοσοφεῖν, ὁ δὲ πλοῦτος [b] εἰς ταῦτα χρήσιμον. Οὐκ εὖ. Πόσους γὰρ οἴει δι' εὐπορίαν [c] ἢ δι' ἔνδειαν κωλυθῆναι σχολάζειν; ἢ οὐχ ὁρᾷς ὅτι ὡς ἐπὶ τὸ

p. 561=843. Simpl. Πλουτάρχου Trinc.
[b] ὀρθοῦσι καὶ] ὀρθοῦ καὶ γὰρ A. B. ὀρθοῦσι γὰρ καὶ Trinc.

16.
[a] A. Vide ed. Wyttenb. T. V. p. 559=841. Deest lemma Tr.
[b] πενιτεύειν] πενητεύειν A.

17.
[a] Sic A. Deest lemma Trinc. Plutarcho tribuit Wyttenbachius ibid.
[b] κουροτρόφον] Homer. Odyss. Z. 27. καὶ pro δὲ Trinc.

18.
[a] Sic A. Deest locus Trinc.

19.
[a] Sic A. Deest lemma Trinc. V. supra 11.

20.
[a] Sic A. Trinc.

21.
[a] Sic A. Simpl. Τέλητος Trinc.
[b] εἰς ταῦτα χρήσιμον] πρὸς ταῦτα χρήσιμος Jacobsius in Athen. p. 85.
[c] ἢ] Addo μᾶλλον. Gesner. Sine caussa addidisse Gesnerum docet Jacobsius in Athen. p. 80.

πολὺ οἱ πτωχότατοι φιλοσοφοῦσιν, οἱ δὲ πλούσιοι διὰ ταῦτ' αὐτὰ ἐν [d] πάσῃ ἀσχολίᾳ εἰσίν; οὐ κακῶς δὲ καὶ Θέογνις λέγει,

πολλῷ τοι πλείους λιμοῦ κόρος ὤλεσεν ἄνδρας.

Ἐπεὶ ποῦ ἂν [e] δείξειας δι' ἔνδειαν κεκωλυμένους φιλοσοφεῖν, ὥσπερ διὰ πλοῦτον; ἢ οὐχ ὁρᾷς ὅτι διὰ μὲν ἔνδειαν καρτε- 516
ρεῖν βιάζονται, διὰ δὲ πλοῦτον τὰ ἐναντία; Ὅτ' ἂν γὰρ, οἶμαι, τῷ ἀνθρώπῳ προσγένηται [f] εὐχερῶς πορίζεσθαι ὧν ἂν ἐπιθυμῇ, οὐκέτι οὗτος πρὸς τὸ πονεῖν ἢ ζητεῖν ἔτι ἐστὶν, ἀλλ' ἔχων συνεργὸν τὸν πλοῦτον τῇ αὐτοῦ κακίᾳ, οὐδεμιᾶς ἡδονῆς ἀπέχεται. Ἢ πάλιν οὐχ ὁρᾷς, διότι οἱ μὲν πλούσιοι πλείω πράττοντες κωλύονται τοῦ σχολάζειν, ὁ δὲ πένης οὐκ ἔχων τὶ [g] ἂν πράττῃ, πρὸς τὸ φιλοσοφεῖν γίνεται; Ζήνων ἔφη Κράτητα ἀναγινώσκειν ἐν [h] σκυτίῳ καθήμενον τὸν Ἀριστοτέλους προτρεπτικὸν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κυπρίων βασιλέα, λέγων, ὅτι [i] οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι· πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν, ὥστε δαπανᾶν εἰς ταῦτα· ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ. Ἀναγινώσκοντος δὲ αὐτοῦ, τὸν σκυτέα, ἔφη, προσέχειν ἅμα ῥάπτοντα, καὶ τὸν Κράτητα εἰπεῖν· Ἐγώ μοι δοκῶ, ὦ Φιλίσκε, γράφειν εἰς σὲ προτρεπτικόν· πλείω γὰρ [k] ὁρῶ σοὶ ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι, ὧν ἔγραψεν Ἀριστοτέλης. Ἢ πάλιν, οἰκέται μὲν οἱ τυχόντες [l] αὐτοὺς τρέφουσι, καὶ μισθὸν τελοῦσι τοῖς κυρίοις· ἐλεύθερος δὲ ἀνὴρ αὑτὸν τρέφειν οὐ δυνήσεται; Ἐπεὶ καὶ τῶν τοιούτων φροντίδων μοι δοκεῖ [m] ὁ Ἄσιος λελυμένος, πολὺ εὐσχολώτερος

[d] πάσῃ] τῇ πάσῃ A. B.
[e] δείξας] δείξειας A. Trinc.
[f] εὐκαίρως] εὐχερῶς A. Gesner. marg. εὐχαιρῶς Trinc.
[g] πράττῃ] ἂν πράττῃ A. B.
[h] σκυτίῳ] σκοτίῳ A. σκοτείῳ B.
[i] οὐδενὶ πλείω] οὐδὲν εἰ πλείω A.
[k] ὁρῶσι] ὁρῶ σε A. σοι recte Jacobsius, etsi frustra, nam sic Tr. Gesn. I. 3.
[l] αὐτοὺς] Malim αὑτοὺς. GESNER.
[m] ἄσιος] Ἄσιος videtur nomen proprium alicujus pauperis. GES-

εἶναι τῷ μηδὲν [n] ὑπάρχειν. Οἷον δήπου ἐν τῷ νῦν πολέμῳ περὶ οὐδενὸς φροντίζει, ἢ περὶ αὑτοῦ· ὁ δὲ πλούσιος, καὶ περὶ ἑτέρων. Οὐ κακῶς οὖν οὐδὲ Σοφοκλῆς πεποίηκε λέγοντα τὸν Οἰδίπουν,

τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἓν ἔρχεται·
ἐγὼ δ' ἐμαυτὸν, καὶ πόλιν, καὶ σὲ στένω.

Ἀλλ' ὅμως ταῦθ' ὁρῶντες γινόμενα οὐδὲν ἧττον κακοδαιμονεῖν οἴονται, κἂν πένητες ὦσι. Φασὶ δὲ καὶ ἐν ταῖς πόλεσιν ἐντιμοτέρους εἶναι μᾶλλον τοὺς πλουσίους τῶν πενήτων. Οἱ τοιοῦτοι δέ μοι δοκοῦσιν οὐκ ἀκούειν, διότι Ἀριστείδης πτωχότατος ὢν πάντων Ἀθηναίων [o] ἐντιμότατος ἦν, καὶ ὅτε τοὺς φόρους ταῖς πόλεσιν ἤθελον τάξαι Ἀθηναῖοι, ἐκεῖνον κατέστησαν, οὐδένα οἰόμενοι [p] δικαιότατ' ἂν τάξαι· καὶ ὅτι Καλλίας πλουσιώτατος ὢν Ἀθηναίων, μᾶλλον προσεποιεῖτο Ἀριστείδου οἰκεῖος εἶναι, ἢ Ἀριστείδης Καλλίου· καὶ πολὺ μᾶλλον ᾐσχύνετο Ἀριστείδης ἐπὶ τῷ πλούτῳ Καλλίου, ἢ Καλλίας ἐπὶ [q] τῇ Ἀριστείδου πενίᾳ. Ἢ πάλιν, Λυσάνδρου τοῦ [r] Σπαρτιάτου τίς ἐντιμότερος γέγονεν, ἢ τιμῶν πλειόνων ἠξιώθη; καὶ οὗτος τὰς θυγατέρας οὐκ ἐδύνατο [s] ἐκδόσθαι προῖκα δούς. Ἄλλους δὲ ὁπόσους [t] θέλεις ἄν τις εἴποι, [v] οἱ πένητες ὄντες ἐν μείζονι τιμῇ ἐγένοντο τῶν πλουσίων. Οὐκ ἀπὸ τρόπου δέ μοι δοκεῖ οὐδ' ὁ Εὐριπίδης ἐγκωμιάζων λέγειν τὸν Ἐτεοκλέα, διότι νεανίας μὲν ἐνδεὴς ἦν,

πλείστας δὲ τιμὰς ἔσχ' ἐν Ἀργείων πόλει.

NER. ἄοικος conjicit Jacobsius in Athen. p. 80.

[n] ὑπάρχειν] Addo αὐτῷ. GESN.

[o] ἐντιμότατος] ἐντιμότερος Trinc.

[p] δικαιότατ' ἂν τ.] Malim δικαιότερον τ. GESNER. Post τάξαι spatium vacuum est in Trinc.

[q] τῇ Α. πενίᾳ] πενίᾳ τῇ τοῦ Α.

[r] σπαρτιάτου] σπαρτίτου A.

[s] ἐκδόσθαι et δοὺς om. Trinc. cum lacuna post προῖκα.

[t] θέλεις] θέλει A. B.

[v] οἱ] ὅτι A. B.

22 [a] Ξενοφῶντος ἐκ τοῦ Συμποσίου.

Τί γὰρ [b] σὺ, ἔφη, ὦ Χαρμίδη, ἐπὶ τίνι μέγα φρονεῖς; 517
Ἐγὼ αὖ, ἔφη, ἐπὶ πενίᾳ [c] μέγα φρονῶ. Νὴ Δί', ἔφη ὁ Σωκράτης, ἐπ' εὐχαρίστῳ γε πράγματι. Τοῦτο [d] γὰρ δὴ ἥκιστα μὲν ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον, καὶ ἀφύλακτον ὂν σώζεται, καὶ ἀμελούμενον, ἰσχυρότερον γίγνεται.

## ΠΕΝΙΑΣ ΨΟΓΟΣ. Ϛϛ.

1 [a] Εὐριπίδου Βελλεροφόντῃ.

Ὅστις δὲ [b] γαῦρον σπέρμα γενναῖόν τ' ἔχων
βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ,
πενίᾳ δ' ἐλάσσων ἐστὶν, ἐν δ' ἀλγύνεται,
[c] φρονῶν δ' ὑπ' αἰδοῦς ἔργ' ἀπωθεῖται χερῶν.

2 [a] Εὐριπίδου Ἠλέκτρας.

Πενία διδάσκει δ' ἄνδρα τῇ χρείᾳ [b] κακόν.

3 [a] Εὐριπίδου Ἀρχελάου.

Οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν
[b] δυνάμεσθ'· ἔτι γὰρ θάλλει πενία,
κακὸν ἔχθιστον, φεύγει δ' ὄλβος.

4 [a] Εὐριπίδου Ἀρχελάου.

Οὐκ ἔστι πενίας ἱερὸν, αἰσχίστης θεοῦ.
μισῶ γὰρ ὄντως, οἵ τινες φρονοῦσι μὲν,
φρονοῦσι δ' οὐδενός [b] γε χρημάτων ὕπερ.

22.

[a] Sic A. Trinc. Scil. 3, 9.
[b] σὺ] σου A.
[c] μέγα φρονῶ] μεγαλοφρονῶ A. B.
[d] γὰρ om. A.

1.

[a] Sic A. Scil. fr. 16. Simpl. Εὐριπίδου Trinc.
[b] γαῦρον] ταύρων A. Trinc.
[c] φρενῶν] φρονῶν A. et in fine vs. φρενῶν χερῶν. Vide Tit. seq. n. 17. φρονῶν Trinc.

2.

[a] Sic A. Scil. v. 376. Deest lemma Trinc.
[b] κακὸν] καλὸν B.

3.

[a] Sic A. Scil. fr. 24. Deest lemma Trinc.
[b] δυνάμεθ'] δυνάμεσθ' B.

4.

[a] Sic A. Scil. fr. 25. Deest lemma Trinc. ubi in pr. οὐκέτι.
[b] τε] γε A. Gesn. marg. οὐδενὸς ἤ γε Grotius. Anonymus penes me

5 [a] Μενάνδρου Γεωργῷ.

Εὐκαταφρόνητόν ἐστι, Γοργία, πένης,
κἂν πάνυ λέγῃ δίκαια· τούτου γὰρ λέγειν
ἕνεκα μόνου νομίζεθ' οὗτος τοῦ λαβεῖν.
καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον
ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχῃ.

6 [a] Φιλήμονος.

Ὅστις πένης ὢν [b] ζῇ παρ' ὃ ζῆν βούλεται.

7 [c] Ἡ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.

8 [a] Ἔρημός ἐστ' ἄνθρωπος ἠπορημένος.

9 [a] Διφίλου.

Πενία δὲ [b] συγκραθεῖσα δυσσεβεῖ τρόπῳ
ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον.

10 [a] Σοφοκλέους.

Πενία δὲ τοῖς ἔχουσιν οὐ σμικρὰ νόσος.
[b] πενίας γὰρ οὐδείς ἐστι μείζων πολέμιος.

11 [a] Μενάνδρου.

Πρὸς ἅπαντα δειλὸν [b] ὁ πένης ἐστὶ γάρ,

conjicit, φρονοῦσι δ' οὐδὲν, ὥστε χ. ὑ. Et sic (vel ὥς γε) Wakefieldus.

5.

[a] Sic A. Cleric. p. 32. Deest lemma Trinc.

6.

[a] Sic A. Cleric. p. 350.

[b] ζῆν παρὸ ζῆν] Lego ζῇ παραζῆν βούλ. Gesner. ζῇ παραζῆν] Indecore vult vivere, qui pauper vivere durat. At Salmasius malebat, Ὅστις πένης ὢν ζῆν παρ' ὃ ζῇ βούλεται. Grotius. πᾶς τις—ζῇ, παρ' ὃ ζῆν β. *vivit aliter quam vivere cupit.* Bentleius. παρ' ὃ A. B. παραζῆν defendit L. Bos Animadv. p. 17. probante Wyttenbachio ad Plutarch. II. p. 13. A. Idem fere vs. legitur infra n. 20. ubi ἐν ἄστει pro παρὸ ζῆν.

7.

[c] Connexui cum versu superiore. Est enim ratio ejus, quod præcedit. Grotius.

8.

[a] Cohæret præcedentibus A. Trinc.

9.

[a] Sic A. Trinc. Sophocli fr. 26. tribuit Brunckius.

[b] συγκραθεῖσα] δυσκραθεῖσα A. Trinc.

10.

[a] Sic A. Trinc. Diphilo tribuit Brunckius.

[b] πενίας οὐδεὶς] πενίας δὲ οὐδεὶς B. πενίας γὰρ οὐδεὶς Grotius.

11.

[a] Sic A. Trinc. Cleric. p. 6.

[b] ὁ πένης ἐστι γὰρ] ὁ πένης ἐστι

καὶ πάντας αὐτοῦ καταφρονεῖν ὑπολαμβάνει.
ὁ γὰρ μετρίως πράττων [c] περισκελέστερον
ἅπαντα τἀνιαρὰ, Λαμπρία, φέρει.

12 [a] Καλλιμάχου.

Ἀεὶ τοῖς μικροῖς μικρὰ διδοῦσι θεοί.

13 [a] Κράντωνος.

Οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον
ἐν τῷ βίῳ σύμπτωμα· καὶ γὰρ ἂν φύσει
σπουδαῖος ᾖς, [b] πένης δὲ, [c] κατάγελως ἔσῃ.

14 [a] Θεόγνιδος.

[b] Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις
σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ κακὰ πολλὰ διδάσκεις,
ἐσθλὰ μετ' ἀνθρώπων καὶ κάλ' ἐπιστάμενον.
πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν
οὔθ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται. 518

15 [a] Θεόγνιδος.

Μήποτέ μοι πενίην θυμοφθόρον ἀνδρὶ [b] χαλεφθεὶς,
μηδ' ἀχρημοσύνην, [c] Κύρνε, κακὴν πρόφερε.
Ζεὺς [d] γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε [e] ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

πράγματα Grotius, ἔστιν ὁ πένης πράγματα Bentleius.

[c] περισκελέστερον] Id est, *durius, ægrius.* GESNER.

12.

[a] Sic A. Trinc. fr. 179.

13.

[a] Sic A. Trinc.

[b] πένης δὲ om. A.

[c] καταγέλαστος εἶ] καταγέλαστος ἔσῃ Tr. κατάγελως ἔσῃ A. B. Voss. Gesn. marg. Vide Porsonum ad Aristoph. Eq. 276. Grotius in mss. citat ex Juvenale, *Nil habet infelix paupertas durius in se Quam quod ridiculos homines facit.*

14.

[a] Sic A. Trinc. Scil. v. 649.

[b] Ἆ] ὦ A. B.

15.

[a] Sic A. Scil. v. 155. Deest lemma Trinc.

[b] χαλεφθεὶς] χολωθεὶς Gesner. marg.

[c] κύρνε κακὴν] κυκακὴν Voss. Κύρνε om. Trinc.

[d] μὲν γὰρ] γάρ τοι A. B. Gesn. marg. μὲν om. Voss. Trinc.

[e] ἄλλως] ἄλλῳ Gesner. marg. τ' ἄλλως Voss. ἄλλος Trinc.

[f] χρὴ δ' ἀεὶ κατὰ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίζεσθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης.

16 [a] Θεόγνιδος.

Χρὴ πενίην φεύγοντα, καὶ ἐς [b] μεγακήτεα πόντον
ῥιπτεῖν, καὶ [c] πετρέων, Κύρνε, κατ' ἠλιβάτων.

17 [a] Ἀλκαίου Ποιητοῦ.

Ἀργαλέον πενία, κακὸν ἄσχετον,
ἃ [b] μέγαν δάμνησι
λαὸν ἀμηχανίᾳ σὺν ἀδελφεᾷ.

18 [a] Ἡσιόδου.

Μηδέποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.

19 [a] Ἀριστοφῶντος Βαβίου.

[b] Σαφὴς ὁ χειμών ἐστι. Τῆς πενίας ὁ λύχνος
ἅπαντα φαίνει τὰ κακὰ καὶ τὰ δυσχερῆ.

20 [a] Μενάνδρου Πλοκίῳ.

Ὅστις πένης ὢν [b] ζῆν ἐν ἄστει βούλεται,
ἀθυμότερον [c] ἑαυτὸν ἐπιθυμεῖ [d] ποιεῖν.
ὅτ' ἂν γὰρ εἰς τρυφῶντα καὶ σχολὴν ἄγειν
δυνάμενον [e] ἐμβλέψῃ, τότ' [f] αὐτόν ἐστ' ἰδεῖν
ὡς ἄθλιον [g] ζῇ καὶ ταλαίπωρον βίον.

[f] χρὴ δ' ἀεὶ] χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε Gesn. marg.

16.

[a] Sic A. Scil. v. 175. Deest lemma Trinc.

[b] μεγακήτεα] βαθυκήτεα A. B. Gesn. marg.

[c] πετρῶν] πετρέων A. B.

17.

[a] Sic A. Ἀλκέου Trinc.

[b] μέγαν] μέγα A.

18.

[a] Sic A. Trinc. v. Opp. 155.

19.

[a] Sic A. Simpl. Ἀριστοφῶντος Trinc.

[b] A. Σαφὴς ὁ χειμών ἐστι. B. τῆς πενίας λυχνος.] Vulgo ὁ λύχνος contra versum. Notavimus autem heic ut et alibi personarum discrimina. Grotius. F. ὁ τῆς π. λ.

20.

[a] Sic A. Cleric. p. 156. Simpl. Μενάνδρου Trinc.

[b] ζῆν] ζῇ B.

[c] ἑαυτὸν] αὑτὸν A. Trinc.

[d] ποιεῖν] ποεῖν Voss. Trinc.

[e] ἐμβλέψῃ] ἀμβλέψῃ A.

[f] αὐτόν τ' ἐστ'] αὐτόν ἐστιν A. τ' item om. Voss. Trinc.

[g] ζῆν] Forte ζῇ. Gesner. Sic edidit Grotius.

[h] Κακῶς ὁ δεσπότης βεβούλευται πάνυ.
ἐν ἀγρῷ γὰρ οἰκῶν, οὐ σφόδρ' ἐξελέγχετο
τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένης,
εἶχεν δὲ παραπέτασμα τὴν [i] ἐρημίαν.

21 [a] Τοῦ αὐτοῦ Παρακαταθήκης.

Αἰσχρὸν γενέσθαι πτωχὸν, ἀσθενῆ θ' ἅμα.

22 [a] Τιμοκλέους Ποντικοῦ.

Πολλοὺς γὰρ ἐνίοτ' ἡ πενία βιάζεται
ἀνάξι' αὐτῶν ἔργα παρὰ φύσιν ποιεῖν.

23 [a] Ἀριστοφῶντος.

Τὸ τέλος ἅπασιν ἐστὶ τοῖς πτωχοῖσι νύξ·
ἐπισκοτεῖ γὰρ τοῖς κακοῖσι πανταχοῦ.

## ΣΥΓΚΡΙΣΙΣ ΠΕΝΙΑΣ ΚΑΙ ΠΛΟΥΤΟΥ. ϛΖ.

1 [a] Ἀντιφάνους.

Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς·
τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν φέρει.

2 [a] Μενάνδρου.

Κρεῖττον γάρ ἐστιν, ἂν σκοπῇ τις κατὰ λόγον,
μὴ πόλλ' ἀηδῶς, ὀλίγα δ' ἡδέως ἔχειν,
[b] πενίαν τ' ἄλυπον μᾶλλον, ἢ πλοῦτον πικρόν.

3 [a] Εὐριπίδου Ἀλεξάνδρῳ.

Κακόν [b] τι βούλευμ' ἦν ἄρ' εἰς εὐανδρίαν
ὁ πλοῦτος ἀνθρώποισιν, αἵ τ' ἄγαν τρυφαί.

[h] κακῶς. Novum hic fragmentum auspicatur Grotius.

[i] ἐρημίαν] ῥαθυμίαν Gesn. marg. Voss.

21.

[a] Sic A. Cleric. p. 144. Ἀριστοφῶντος Trinc.

22.

[a] Sic A. Deest locus Trinc.

23.

[a] Sic A. Deest lemma Trinc. ubi πᾶσιν.

1.

[a] Sic A. Trinc.

2.

[a] Sic A. Trinc. Cleric. pag. 244.

[b] πενίαν τ'] τ' om. A. Trinc.

3.

[a] Sic A. Scil. fr. 15. Simpl. Εὐριπίδου Trinc.

[b] τι om. A.

πενία δὲ δύστηνον μὲν, ἀλλ' ὅμως τρέφει
μοχθοῦντ' ἀμείνω τέκνα καὶ δραστήρια.

4 [a] Εὐριπίδου Ἠλέκτρα.

Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους. 519

5 [a] Λαμπροὶ γὰρ εἰς γένος γε, χρημάτων γε μὴν
πένητες, ἔνθεν ἡ εὐγένει' ἀπόλλυται.

6 [a] Κράντορος.

Τὸ γὰρ [b] διάφορον καὶ φρονίμους πάντας ποιεῖ,
τὸ σωφρονεῖν δ' ἔνεστιν ἐν τούτῳ μόνῳ.

7 [a] Θεόγνιδος.

Ἶσον τοι πλουτοῦσιν, ὅσοις πολὺς ἄργυρός ἐστι,
καὶ χρυσὸς, καὶ γῆς πυροφόρου πεδία,
ἵπποι θ', ἡμίονοί τε, καὶ ᾧ [b] τάδε πάντα πάρεστι,
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν
[c] παιδός τ' ἠδὲ γυναικός· ὅτ' ἂν δέ κε τῶνδ' [d] ἀφίκηται
ὥρη, σὺν δ' ἥβη γίγνεται [e] ἁρμοδία,
ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς ἀΐδην.
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρείας
[f] νούσους, οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

8 [a] Ἀντιφάνους ἐκ Νεανίσκων.

Ὁ πλοῦτός ἐστι παρακάλυμμα τῶν κακῶν,
ὦ μῆτερ, ἡ πενία (δὲ) περιφανές [b] τε καὶ
ταπεινόν.

4.

[a] Sic A. Scil. v. 1138. Deest lemma Trinc.

5.

[a] Ibid. v. 37.

6.

[a] Sic A. Deest locus Trinc.

[b] διάφθορον] Lego διάφορον. Gesner. marg. Sic B.

7.

[a] Sic A. Trinc. Scil. 719.

[b] τάδε πάντα] τὰ δέοντα Gesn. marg. μόνα ταῦτα dedit Grotius e Theognide.

[c] παῖδές τ' ἠδὲ γυναῖκες] Omnino ita legi sensus postulat. Vulgo et apud Theognidem παιδός τ' ἠδὲ γυναικός. Grotius.

[d] ἀφίκηται] ἐφίκηται B.

[e] ἁρμοδία] ἁρμονία A. B.

[f] νούσους] νούσας A.

8.

[a] Sic A. Simpl. Ἀντιφάνους Tr.

9 [a] Θεόγνιδος.

[b] Οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι
πλούτῳ· τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

10 [a] Κριτίου.

Σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν
κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν.

11 [a] Εὐριπίδου Τηλέφῳ.

[b] Μίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων
ἄλυπος οἰκεῖν μᾶλλον, ἢ πλουτῶν νοσεῖν.

12 [a] Ἱππώνακτος.

Εἴ τις καθείρξει χρυσὸν ἐν δόμοις [b] πουλὺν,
καὶ σῦκα βαιὰ, [c] καὶ δύ' ἢ τρεῖς ἀνθρώπους,
[d] γνῴη [e] χ' ὅσον τὰ σῦκα τοῦ χρυσοῦ [f] κρέσσω.

13 [a] Μενάνδρου.

Ὤιμην ἐγὼ τοὺς πλουσίους, ὦ Φανία,

[b] τε καὶ ταπεινὸν] καὶ σαπρὸν B.
Ib. ὦ μῆτερ, ἡ πενία δὲ περιφανές τι καὶ Ταπεινόν] Hæc in versus digessimus; addidimus vero δὲ quod deerat, et περιφανές τι cum Scaligero maluimus, quam περιφανές τε. Grotius.

9.

[a] Sic A. Trinc. Scil. v. 1057.
[b] τοὶ] οἱ B. Sequuntur in A. sex senarii c. lemmate Εὐριπίδ. Βελλεροφόντ. qui infra leguntur n. 17. etiam in Trinc. Inc. ὁ δ' οὐδεὶς—des. εὐτύχουν ποτε.

10.

[a] Sic A. Trinc.

11.

[a] Sic A. Scil. fr. 22. Deest lemma Trinc.
[b] σμικρὰν θέλοιμ' ἂν] Rescripsimus hos versus quomodo supra eos habuimus tit. XCIII. [19] Alioqui heic edebatur, μίκρ' ἂν θέλοιμι κ. κ. ἔ. ἄλυπος οἰκεῖν μ. ἢ π. ν. Grotius.

12.

[a] Sic A. Trinc. *Ananio* tribuit Grotius.
[b] πολὺν] πουλὺν pro πολὺν postulat scazon, nec aliter in ms. A. exstabat. Apud Athenæum πολλὸν legitur. Grotius. Ms. A. cum vulg. habet πολὺν, et sic ms. optimus Athenæi p. 78. F.
[c] δύο] Addo καὶ. Gesner.
[d] γνῴη γ' ὅσον τὰ σῦκα τοῦ χρυσοῦ κρέσσον] κρέσσον malui quam κρείσσω, suffragante etiam MS. A. Tum vero illud γνῴη γ' ὅσον τὰ pro γνώῃ σχάσοντας a Salmasio. Apud Athenæum γνοίη χ' ὅσῳ legitur sensu eodem. Sciendum autem Græcorum scazontes liberiores esse et quinta etiam sede spondeum admittere. Grotius.
[e] σχάσοντας] χ' ὅσῳ τὰ B. γνῴης χ' ὅσον Jacobsius in Athen. p. 105.
[f] κρείσσω] κρεῖσσον A. κρέσσω B.

13.

[a] Sic A. Trinc. Cleric. p. 104.

οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν
τὰς νύκτας, οὐδὲ στρεφομένους [b] ἄνω κάτω
οἴμοι [c] λέγειν, ἡδὺν δὲ καὶ πρᾷόν τινα
ὕπνον καθεύδειν· ἀλλὰ τῶν πτωχῶν τινά.
νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους
ὑμᾶς ὁρῶ ποιοῦντας ἡμῖν [d] ἐμφερῆ.

14 [a] Εὐριπίδου Δανάη.

Φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ
[b] σοφοὺς τίθεσθαι τοὺς λόγους, ὅτ᾽ ἂν δέ τις
λεπτῶν ἀπ᾽ οἴκων εὖ λέγῃ πένης ἀνὴρ,
γελᾶν. Ἐγὼ δὲ πολλάκις σοφωτέρους
πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων·
[c] καὶ θεοῖσι μικρὰ χειρὶ θύοντας τέλη,
τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους.

15 [a] Θεόγνιδος.

Πόλλ᾽ ἐν [b] ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ·
ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν.

---

[b] ἄνω κάτω] Illud ἄνω κάτω posueram pro eo quod pessime legitur ἂν νύκτα. Accessit MS. A. qui habet ἀνώκτω. Grotius. et ἄνω κάτω citat Plutarchus. (II. p. 466.) Grotius in mss. ἄνω κάτω B. ἀνύκτω A.

[c] λέγειν] λέγων A.

[d] ἐμφερῆ] Sequebatur, ἄρ᾽ ἐστὶ συγγενές τι λύπη καὶ βίος infr. XCVIII. Grotius mss. ἐκφερῆ Trinc.

14.

[a] Sic A. Scil. fr. 12. Τοῦ αὐτοῦ i. e. Μενάνδρου Trinc.

[b] σοφοὺς καλῆσαι] Quia Euripidi asscribuntur hi versus, putavi καλῆσαι a Poëta scriptum: quod autem heic legitur ἡγεῖσθαι est ex glossemate. Grotius. Sine cunctatione corrigendum arbitror: σοφοὺς τίθεσθαι τ. λ. Hic velut interpretamentum scribi potuit ad τίθεσθαι] ἡγεῖσθαι, νομίζειν. Potuit etiam genuina vox in illam depravari, ut sæpe TI et H inter se male transmutata varia nobis loca corrupere. Valckenær. Diatr. Eurip. p. 8.

[c] καὶ θεοῖς μικρᾷ] Malim θεοῖς τε μικρᾷ. Gesner. καὶ θεοῖσι μικρᾷ] Ita versus exigit. Vulgo θεοῖς. Dubitem tamen an non legendum, Καὶ τοῖς θεοῖσι μικρὰ θύοντες τέλη. Nam ita demtis duabus vocibus primis citat Athenæus Lib. II. (p. 40. D.) Grotius.

Ib. μικρᾷ] μικρὰ A.

15.

[a] Sic A. Trinc. Scil. v. 619.

[b] ἀμηχανίῃ] ἀμηχανίῃσι Trinc.

πᾶς τις πλούσιον ἄνδρα τίει, [c] ἀτίει δὲ πενιχρόν·
πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

16 [a] Εὐριπίδου.

Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλλούμενον
κράτιστον εἶναί φημι μὴ φῦναι [b] βροτῷ.
τρισσῶν δὲ [c] μοιρῶν ἐν κρίνω [d] νίκαν μίαν·
πλούτου τε, καὶ ὅτῳ σπέρμα γενναῖον προσῇ,
πενίας τ'· ἀριθμὸν γὰρ τοσόνδε προὐθέμην. 520
ὁ μὲν ζάπλουτος, εἰς γένος δ' οὐκ εὐτυχὴς,
ἀλγεῖ μὲν, ἀλγεῖ, παγκάλως δ' ἀλγύνεται,
ὄλβου διοίγων θάλαμον ἥδιστον χερί·
ἔξω δὲ βαίνων τοῦδε, τὸν πάρος χρόνον
πλουτῶν, ὑπ' ἄτης [e] ζεῦγμ' ἂν ἀσχάλλῃ πεσών.
ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων
βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ,
πενίᾳ δ' ἐλάσσων ἐστὶν, ἐν δ' ἀλγύνεται,
[f] φρενῶν δ' [g] ὑπ' αἰδοῦς ἔργ' ἀπωθεῖται χερῶν.
ὁ δ' οὐδὲν οὐδεὶς, διὰ τέλους δὲ δυστυχῶν,
τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ [h] τητώμενος,
οὐκ [i] οἶδεν ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων.

[c] ἀτίει] οὐτίει A. non ut ex eo citat Grotius οὔ τις.

16.

[a] Sic A. Trinc. v. Bellerophont. fr. 16.

[b] βροτῷ] βροτόν A. B. m. sec.

[c] βροτῶν ἐνὶ] μοιρῶν ἐν A. μοιρῶν B. Gesn. marg. ἐν κρίνω Trinc.

[d] νίκαν] νικᾶν B. An ἐγκρινῶ ν. μιᾷ?

Ib. τρισσῶν δὲ μοιρῶν τινι κρίνω νίκην μιᾷ] Ita hunc versum restituimus. Vulgo erat, Τρισσῶν δὲ βροτῶν ἐνὶ κρίνω νίκαν μίαν, nisi quod libri quidam pro βροτῶν habebant μοιρῶν. Et MS. A. pro ἐνὶ ἐν. Est autem interrogantis, et pendet sensus, ut in Latina versione videre est. Grotius.

[e] ζεύς τ' ἀνασχάλλει] ζεύς τ' ἂν ἀσχάλλῃ A. ζῶν (m. s.) τ' ἂν ἀσχάλλοι B. ἂν ἀσχάλλει conj. Gesner. εὐθὺς ἀσχάλλει Grotius, ζεύγλαν ἀσχάλλει collato Iphig. Aul. 444. Musgravius.

[f] φρενῶν] φρονεῖν suprasc. B.

[g] δ' ὑπ' αἰδοῦς] ὑπ' αἰδοῦς δ' A. Trinc.

[h] τητώμενος] ἡττώμενος Gesner. marg. et sic A. Trinc. alio loco.

[i] οἶδεν] εἶδεν A.

οὕτως [k] ἄριστον μὴ πεπειρᾶσθαι καλῶν.
[l] ἐκεῖνο γὰρ μεμνήμεθ', οἷος ἦν ποτε,
κἀγὼ μετ' ἀνδρῶν ἡνίκ' εὐτύχουν ποτέ.

17 [a] Ἐγὼ γάρ, εἰ νοῦν [b] εἶχ' ἔμ' ὁ σπείρας πατὴρ,
ἠπιστάμην ἂν μουσικὴν [c] παρεὶς πονεῖν,
ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ.
πρῶτον μὲν, ἐξ ὧν πάντα γίγνεται βροτοῖς,
εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένῃ,
στέργειν θ' ὑδρηροῖς ὥστε θὴρ ἀεὶ ποτοῖς,
χειμῶνί τ' ἀσκεῖν σῶμα, θερμά θ' ἡλίου
τοξεύματ' αἰνεῖν μὴ [d] σκιατραφούμενος.
νῦν δ' οὐκ ἐθισθεὶς ταῦτ' ἐπίσταμαι [e] μὲν οὐ,
φέρειν δ' ἀνάγκη· τὸν γὰρ Ὀρφέα λαβὼν
ἅπαν τε Μουσῶν ἐννεάφθογγον μέλος,
οὐκ ἂν πίθοιμι γαστέρ', ἀλλὰ δεῖ βίου.

18 [a] Φιλήμονος.

[b] Νὴ τὸν Δία τὸν μέγιστον ᾤμην, Σωσία,
ἐγὼ πρότερον [c] τοὺς μὲν πένητας ζῆν [d] μόνον
ὀδυνωμένους, τῶν πλουσίων δὲ τὸν βίον
ἱλαρόν τιν' εἶναι, καὶ φέρειν εὐθυμίαν.
[e] νυνὶ δὲ διαφέροντα τοῖς καθ' ἡμέραν
δαπανήμασιν δὴ τὸν βίον [f] ὁρῶ μόνον·
λύπας δ' ἔχοντας μείζονας, τοὺς μείζονας.

[h] ἄριστον] ἄμεινον A. Gesn. marg. Trinc. loco priore.
[l] ἔκεινο — εὐτύχουν ποτε om. A. Trinc. h. l.

17.

[a] Præcedenti adjungunt A. Tr.
[b] εἶχ' ἔμ'] εἶχέ μ' B.
[c] παρεισπονεῖν] παρεὶς πονεῖν B. ut Heathius.
[d] σκιατραφούμενος] σκιατροφούμενος A.
[e] μὲν οὐ] μὲν οὖν Trinc.

18.

[a] Sic A. Cleric. p. 352. Deest lemma Trinc.
[b] νὴ τὸν] τὸν om. Trinc.
[c] τοὺς] τοὺς μὲν A. ἔγωγε dedit Grotius pro ἐγὼ ob versum, ἐγὼ τὸ πρότερον Bentleius.
[d] μόνον] μόνους B.
[e] νῦν δὲ] νῦν δ' αὐτῶν Grotius, pessime. νυνὶ δὲ Bentleius.
[f] ὁρῶ] γ' ὁρῶ B. ὁράω Grotius. δαπανήμασιν, νὴ τὸν Δία, διορῶ Bentl.

19 [a] Φιλήτου.

Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει
[b] φθόνον τ', ἐπήρειάν τε, καὶ μῖσος πολὺ,
πράγματά τε πολλὰ, [c] κἀνοχλήσεις μυρίας,
πράξεις τε πολλὰς, συλλογάς τε τοῦ βίου.
[d] ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανὼν,
ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν. 521
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια, κἀμέριμνον ζῆν βίον,
καὶ μήτ' ἔχειν [e] πλοῦτόν με, μήτε πράγματα.
[f] πᾶς γὰρ, πένης ὢν, μεγάλα κερδαίνει κακά.

20 [a] Ἐκ τῆς ἐπιστολῆς τῆς Περὶ Φιλίας.

Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων, [b] ὃς ἥκιστα δὲ πλουτῶν, καὶ ἀρχαῖς· τοσοῦτον ὑπεραίρει πενίας ἀγαθὸν, ὥστ' αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ [[c] οὐδεὶς] ἀλλάξαιτ' ἂν πενίαν· εἴ γε μὴ τῶν ποτὲ Ἀθηναίων ὁ πλουσιώτατος ἀμείνων ἦν Ἀριστείδου καὶ Σωκράτους [d] Θεμιστοκλῆς ὁ Νεοκλέους ἐν πενίᾳ τῆς ἀρετῆς· ὁ δὲ πλοῦτος ἐκείνου αὐτοῦ καὶ αὐτὸς ἐξίτηλός τε καὶ ἀνώνυμος. Φαύλῳ γὰρ ἅμα τῷ θανάτῳ πάντα [e] συνοίχεται· τὸ δὲ καλὸν αἰώνιον.

19.

[a] Sic A. Deest lemma Trinc. Philemoni tribuit Grotius. Cleric. p. 352.

[b] φθόνον τε κἀπήρειαν] φθόνον τ' ἐπήρειάν τε legi malebat Salmasius ob versum. GROTIUS.

[c] καὶ ὀχλήσεις] κἀνοχλήσεις Bentleius.

[d] εἶτα] ἔπειτα Bentleius.

[e] με πλοῦτον] πλοῦτόν με Bentleius.

[f] Citat Clemens ut Epicharmi. GROTIUS in mss.

20.

[a] Sic A. Ἐκ τῆς ἐπιτομῆς τῆς π. φ. Trinc. v. Plutarch. ed. Wyttenb. T. V. p. 553=832.

[b] ὡς — πλούτῳ] ὃς — πλουτῶν A. B. ὃς—πλούτων Trinc.

[c] οὐδεὶς om. A. Trinc. Εἴ γε μὴ usque ad fin. om. Trinc.

[d] Θεμιστοκλῆς ὁ Νεοκλέους] Scioli videtur adsumentum Θεμιστοκλῆς ὁ Νεοκλέους, et non nominatus Callias Hipponici filius fuisse designatus: conf. Aristides Soph. T. I. p. 340. Lucian. II. p. 638. et 696. Themist. II. pag. 36. D. VALCKENÆR. Herodot. VI. 121. Vide supra 95, 21. p. 516, 44.

[e] συνοίχεται] συνέχεται A.

21 [a] Ἀναξιμένους.

Οὐ γὰρ οὕτως οἱ πλουτοῦντες, ὡς οἱ πένητες, τοὺς ἀτυχοῦντας οἰκτείρειν εἰώθασι· δεδιότες γὰρ περὶ [b] αὐτῶν τὰς τῶν ἄλλων συμφορὰς ἐλεοῦσιν.

22[a] Ἡ γὰρ πενία καὶ πρὸς τὰς τέχνας δεινοτέρους, καὶ πρὸς τὸν βίον τεχνικωτέρους τοὺς ἀνθρώπους καθίστησι· χαλεπὴ γὰρ διδάσκαλος ἡ πενία τοῦ [b] μικρὸν φρονεῖν.

23 [a] Δημοκρίτου.

Πενίη, πλοῦτος, ὀνόματα ἐνδείης καὶ κόρου. Οὔτε οὖν πλούσιος ἐνδέων, οὔτε πένης ὁ μὴ ἐνδέων.

24 [a] Τοῦ αὐτοῦ.

Ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει.

25 [a] Δημοκρίτου.

Σμικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθένεα πλούτῳ ποιέει.

26 [a] Διογένους.

Διογένης ὀνειδίζοντος αὐτῷ τινὸς πενίαν, Κακόδαιμον, εἶπεν, [b] οὐδένα ποτὲ τυραννοῦντα διὰ πενίαν ἑώρακα· διὰ δὲ πλοῦτον, τοὺς [c] πάντας.

27 [a] Κράτητος Κυνικοῦ.

Κράτης οὐ τῷ πλούτῳ, εἶπεν, ἑαυτὸν ηὐδοξηκέναι μεγάλα, ἀλλὰ τῇ πενίᾳ.

28 [a] Ἐκ τῶν Ἀρριανοῦ Προτρεπτικῶν Ὁμιλιῶν.

Ἀλλὰ δὴ [b] Σωκράτης Ἀρχελάου μεταπεμπομένου αὐτὸν

21.

[a] Sic A. Trinc.

[b] αὐτῶν] αὑτῶν B.

22.

[a] Præcedentibus adjungunt A. Trinc.

[b] μικρὸν expungendum videtur. GESNER. τοῦ μετριοφρονεῖν conjicit Jacobsius in Athen. p. 361.

23.

[a] Sic A. Trinc.

24.

[a] Sic A. Deest lemma Trinc.

25.

[a] Sic A. Deest locus Trinc.

26.

[a] Sic A. Deest lemma Trinc.

[b] οὐδένα] οὐδένα ποτε A. et mox add. τὴν ante πενίαν.

[c] πάντας] ἅπαντας A.

27.

[a] Sic A. Deest locus Trinc.

28.

[a] Sic A. Ἐκ τῶν Ἀρριανοῦ Trinc.

ὡς ποιήσοντος πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ διότι [c] Ἀθήνησι τέσσαρές εἰσι χοίνικες τῶν ἀλφίτων ὀβολοῦ ὤνιοι, καὶ κρῆναι ὕδατος ῥέουσιν. Εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοὶ, ἀλλ' ἐγὼ τούτοις ἱκανὸς, καὶ οὕτω κἀκεῖνα ἐμοί. Ἦ οὐχ ὁρᾷς ὅτι οὐκ εὐφωνότερον οὐδὲν [d] δι' ὧν ὁ Πῶλος τὸν τύραννον Οἰδίποδα [e] ὑπεκρίνετο, ἢ τὸν ἐπὶ Κολωνῷ [f] ἀλήτην καὶ πτωχόν; Εἶτα χείρων [g] Πώλου ὁ γενναῖος ἀνὴρ φανεῖται, ὡς μὴ πᾶν τὸ περιτεθὲν ἐκ τοῦ δαιμονίου πρόσωπον ὑποκρίνασθαι καλῶς; [h] οὐδέ γε τὸν Ὀδυσσέα μιμήσεται, ὃς καὶ ἐν τοῖς ῥάκεσιν οὐδὲν μεῖον διέπρεπεν, ἢ ἐν τῇ οὔλῃ χλαίνῃ τῇ πορφυρᾷ;

29 [a] Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.

[b] Ὅτι πλῷ ἔοικε τῷ παρὰ [c] γῆν ὁ τῶν πενήτων βίος· ὁ δὲ τῶν πλουσίων, τῷ διὰ πελάγους. Τοῖς μὲν γὰρ ῥᾴδιόν ἐστι καὶ πεῖσμα βαλεῖν, καὶ προσχεῖν, καὶ νεωλκῆσαι· τοῖς δ' οὔ.

30 [a] Ὑψαίου.

Μὴ φεῦγε πενίην, ἀλλ' ἀδικίην. Οὐδεὶς γὰρ ὅτι πένης 522
μετήλλαξεν, ἀλλ' ὅτι ἄδικος. Οὐκ οὖν οὐδὲ πλούσιος ὢν βιοῖ [b] ἐπαινετῶς, ἀλλ' ὅτι δίκαιος.

31 [a] Ἐκ τῶν Τέλητος ἐν ἐπιτομῇ.

Δοκεῖ μοι ἡ τῶν χρημάτων κτῆσις [b] σπάνεως καὶ ἐνδείας

v. Wyttenbach. ad Plutarch. T. V. p. 553.=833.

[b] Σωκράτης] Σωκράτην Trinc.

[c] Ἀθήνησι] διατὶ ἐν Ἀθήνησι A. διὰ τι Ἀθ. Trinc.

[d] δι' ὧν] δι' ὃν A. B. Utrumque delet Wyttenbachius. Mihi in mentem venit οὐδὲ ἥδιον.

[e] ὑπεκρίνατο] ὑπεκρίνετο A. B. ὑποκρίνατο Trinc.

[f] ἀλείτην] ἀλήτην Wyttenbach.

[g] Πώλου] Πάλῳ A.

[h] οὐδὲ] οὐδέ γε A. B. Mox ἔστις A.

29.

[a] Sic A. Ἐκ τῶν Ἀριστωνύμου Trinc.

[b] ὅτι πλῷ] ὅτι ἁπλῶς A.

[c] γῆν] τὴν γῆν B.

30.

[a] Sic A. Trinc.

[b] ἐπαινετῶς] ἐπαινετὸς A.

31.

[a] Sic A. et Trinc. nisi quod om. ἐν.

[b] σπάνεως] σπανίως A. B.

παραλύειν. Καὶ πῶς; Οὐχ ὁρᾷς ἐνίους κεκτημένους μὲν πολλὰ ὡς δοκοῦσιν, οὐ χρωμένους δὲ τούτοις δι' ἀνελευθερίαν, καὶ ῥυπαρίαν; Ἀλλ' ὥσπερ ὁ Πρίαμος οὐδ' ἔτλη ἕζεσθαι ἐπὶ θρόνου, πολλῶν κατὰ οἶκον ἐόντων,

ἀλλὰ χαμαὶ ἐκάθητο κυλινδόμενος κατὰ κόπρον·

οὕτως ἔνιοι πολλῶν ὑπαρχόντων αὐτοῖς, δι' ἀνελευθερίαν οὐδενὸς γεύονται, οὐδὲ ἅπτονται· ἀλλὰ πλείω οἱ μῦς κατεσθίουσι καὶ οἱ μύρμηκες, ἢ αὐτοί. [c]Ὥσπερ καὶ ὁ Λαέρτης,

ἀγροῦ ἐπ' [d] ἐσχατιῆς
γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτίθει,

εἰς ἀγρὸν ἀπελθὼν μόνος μετὰ γραϊδίου, κακουχεῖ αὐτὸν καὶ ξηρανεῖ· οἱ δὲ μνηστῆρες, τὰ ἐκείνου. Καὶ ὥσπερ ὁ Τάνταλος ἐν λίμνῃ ἕστηκεν, [e] ὥς φησιν ὁ ποιητὴς, κατὰ κρατὸς δὲ καρποὶ,

ἀλλ' ὁπότ' [f]ἰθύσει' ὁ γέρων

πιεῖν, ἢ τῶν καρπῶν ἅψασθαι, ἡ μὲν λίμνη ξηρὰ ἐγίνετο,

τοὺς δ' ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα.

οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία, καὶ τὸν οἶνον, καὶ τὸν σῖτον, καὶ τὴν ὀπώραν ῥίπτασκεν, οὐ ποτὶ νέφεα, ἀλλ' ἃ μὲν εἰς τὴν ἀγορὰν, ἃ δὲ εἰς τὸ καπηλεῖον· [g] καὶ ἐπιθυμοῦντες, οὐδενὸς γεύονται· καὶ ἐὰν μὲν πρὸς ἑτέρων [h] κληθῇ, ἐκπαθῶς [i] ἀπολαύει· αὐτὸς δὲ ἔχων, οὐθενὶ ἂν [k] παρέχοι, ἀλλ' [l] ἐπιθυμῶν [m] στραγγεύεται· καὶ εἰ μέν τις [n] αὐτὸν [o] ἐξοικίζοι, τὸν τοιοῦτον πολέμιον ἂν ἡγοῖτο· [p] ἑαυτὸν

[c] ὥσπερ] ὥσπερ καὶ A. B.
[d] ἐσχατιῇ] ἐσχατιῆς A. B. γρηῒ om. Trinc.
[e] ὡς φησὶν ὁ ποιητὴς om. Trinc.
[f] ἰθύει] ἰθύσει A. B. Frustra Jacobsius in Athen. p. 22. ἰθύοι.
[g] καὶ ἐπιθυμοῦντες] καὶ οἱ πλούσιοι ἐπιθυμοῦντες A. B.
[h] κληθῇ] κληθῶσι A. B.
[i] ἀπολαύει· αὐτὸς δὲ ἔχων] ἀπολαύουσι· αὐτοὶ δὲ ἔχοντες A. B.
[k] παρέχοι] παρέχοιεν A. B.
[l] ἐπιθυμῶν] ἐπιθυμοῦντες A. B.
[m] στρατεύεται] Lego στραγγεύεται. Gesner. στραγγεύονται A. ex em. στρατεύονται p. m.
[n] αὐτὸν] τὸν πλούσιον A. B.
[o] ὀξίζοι] Forte ἐξορίζοι: et paulo post ἐξορίζων Gesner. Leg. ἐξοικίζοι et ἐξοικίζων non ἐξορίζων cum

δὲ ἐξοικίζων, οὐ δοκεῖ εἶναι πολέμιος. Οὐκ ἀηδῶς δ' ἔμοιγε δοκοῦσι καὶ οἱ ἀρχαῖοι πρὸς ταῦτα ἐρωτᾶν· ὃ μὴ ἀπολύει ἀπληστίας καὶ ἀνελευθερίας καὶ ἀλαζονείας [q] ἄνθρωπον, οὐδὲ ἐνδείας, οὐδὲ σπάνεως ἀπολύει· οὐθὲν δὲ τῶν τοιούτων ἀπληστίας καὶ ἀλαζονείας καὶ ἀνελευθερίας ἀπολύει· τὸν γὰρ τρόπον οὐ μετατίθησιν· ὥσπερ οὐδὲ τῶν σωφρονούντων ἡ πενία, ἐὰν ἐκ πλουσίων πένητες γένωνται. Θᾶττον γὰρ ἂν ἔμοιγε δοκεῖ τις εἰπεῖν, ὡς τὴν χρόαν, [r] τὸ μέγεθος, ἢ τὴν ὄψιν μετατίθησιν ἡ τῶν χρημάτων κτῆσις, ἤπερ τὸν τρόπον· ἕως δ' ἂν ᾖ οὗτος [s] ἄπληστος, ἀνελεύθερος, ἀλαζὼν, δειλὸς, ἐν ἐνδείᾳ καὶ σπάνει ἔσται. Καὶ πῶς σπανίζουσιν οὗτοι τούτων ἃ ἔχουσι; Πῶς δὲ οἱ τραπεζῖται, φησὶν ὁ Βίων, χρημάτων, ἔχοντες αὐτά; Οὐ γὰρ αὐτῶν ὄντα ἔχουσιν· οὐδὲ γὰρ αὐτοὶ αὐτῶν. Εἰ δὲ καὶ τοῦτό τίς σοι δῴη ἐπὶ τοῦ παρόντος, ἀλλ' ὅμοιόν ἐστι τὸ οὕτως [t] ἔχειν, ὅτ' ἂν ἀδυνατῇς αὐτοῖς χρῆσθαι. Ἢ τί διαφέρει μὴ ἔχειν, ἢ οὕτως ἔχειν ὡς αἱ Φορκίδες τὸν ὀφθαλμὸν [u] ἀποκείμενον, αὐτὰς δὲ εἰς φραγμοὺς καὶ βόθρους καὶ βόρβορον ἐμπίπτειν, μηθὲν προορωμένας, ἀλλ' ἐώσας [w] ἀποκεῖσθαι, [x] ἕως ὅτου καὶ αὐτὸν τὸν ὀφθαλμὸν ὁ Περσεὺς ὑφείλετο. Ἢ τί διαφέρει μὴ ἔχειν [y] τροφὴν, ἢ τοιαύτην ἔχειν, ἧς οὐ μὴ γεύσηται, . . ἰχθῦς καὶ πε- 523

Gesnero. Quæ sequuntur argumentationem vel syllogismum exhibent, non interrogationem. Lego: πρὸς ταῦτα ἃ ἐρωτᾷς. Colloquentem secum fingit Teles v. l. 4. l. 43. καὶ πῶς σπανίζουσιν οὗτοι et 246. p. 353, 33. VALCKEN.

[p] ἑαυτὸν] ἐὰν τὸν A.

[q] ἄνθρωπον ὀ. ἐ. ὀ. σ, ἀπολύει om. A. B. ἀνθρώπων Trinc. Mox καὶ ἀλαζονείας om. Trinc.

[r] ἢ μέγεθος] τὸ μέγεθος A. Trinc.

[s] ἄπληστος] ὁ ἄπληστος A. B.

[t] ἔχειν] Addo καὶ μὴ ἔχειν. GESNER. οὔ πως ἔχειν Jacobs.

[u] ἀποκείμενον] ἀποκείμεναι Trinc.

[w] ἀπολεῖσθαι] ἀποκεῖσθαι A. B. Gesn. marg.

[x] ἕως ὅτου] ἕως ὅτε Trinc.

[y] τροφὴν, ἢ τοιαύτην ἔχειν, ἰχθῦς καὶ περιστέρια, ἧς οὐ μή γεύσηται] Hunc locum trajectione laborare vidit Gesnerus, qui verba sic disponit: τροφὴν, ἢ τοιαύτην ἔχειν, ἧς οὐ μὴ γεύσηται, ἰχθῦς καὶ περιστέρια. Quædam præterea deesse perspexerunt Porsonus et Wakefieldus; quorum ille reponit, γεύσηται, ὥσπερ ἂν εἴ τις Σύρῳ διδοίη ἰχθ. κ. π. Hic ὡς Σύρῳ, laudatis Menand. fr. p. 40.

ριστέρια, ἢ [z] Αἰγυπτίῳ κύνα, ἢ Ἕλληνι κρανίον ἀνθρώπου; Ὁμοίως γὰρ σπανιεῖ τροφῆς, καὶ ἔχων ταύτην, καὶ μὴ ἔχων. Τί οὖν ὄφελος τὸ οὕτως ἔχειν; Ἐπεὶ καὶ σὺ ἀργύριον ἔχεις, ἀλλ' οὐ μὴ χρήσῃ διὰ ῥυπαρίαν καὶ [a] δειλίαν. Διὸ καὶ οἱ ἀρχαῖοι ἔλεγον οὐκ ἀηδῶς· [b] ἔφασαν γὰρ τῶν ἀνθρώπων οὓς μὲν χρήματα ἔχειν, οὓς δὲ κτήματα. Οὓς μὲν γὰρ [c] χρῆσθαι τοῖς ὑπάρχουσιν, οὓς δὲ μόνον κεκτῆσθαι, οὔτε ἑαυτοῖς, οὔτε [d] ἄλλοις μεταδιδόντας καὶ προϊεμένους. [e] Καὶ ὃν τρόπον ὅτ' ἂν βασιλεὺς ἢ δυνάστης τὰ [f] ὑπάρχοντα παρασφραγίσηται, οὐκ [g] ἔστιν ἅψασθαι· οὕτως [h] ἐνίων ἡ ἀνελευθερία, καὶ δυσελπιστία, τὰ ὑπάρχοντα παρεσφράγισται, οὐκ ἐῶσα ἅψασθαι, ἀλλὰ [i] σπανίζουσι καὶ ἐν ἐνδείᾳ εἰσίν· ἐπιθυμοῦντες μὲν πολλῶν, χρῆσθαι δὲ οὐ δυνάμενοι. Διὸ καὶ ὁ Κράτης πρὸς τὸν ἐπιζητοῦντα, Τί οὖν μοι [k] ἔσται φιλοσοφήσαντι; Δυνήσῃ, φησὶ, τὸ [l] φασκώλιον ῥᾳδίως λῦσαι, καὶ τῇ χειρὶ ἐξελὼν εὐλύτως δοῦναι, καὶ [m] οὐχ ὥσπερ νῦν στρέφων καὶ μέλλων καὶ τρέμων, ὥσπερ οἱ παραλελυμένοι τὰς χεῖρας· ἀλλὰ καὶ πλῆρες ὂν αὐτὸ οὕτως ὄψει· καὶ κενούμενον ἰδὼν, οὐκ ὀδυνήσῃ· καὶ [n] χρῆσθαι προελόμενος, ῥᾳδίως δυνήσῃ· καὶ μὴ ἔχων, οὐκ ἐπιποθήσεις, ἀλλὰ [o] βιώσῃ ἀρκούμενος τοῖς παροῦσι, τῶν ἀπόντων οὐκ ἐπιθυμῶν, τοῖς συμβεβηκόσιν οὐ δυσαρεστῶν. Καὶ εἴ τις βούλεται ἢ αὐτὸς ἐνδείας καὶ σπάνεως ἀπολυθῆναι, ἢ ἄλλον παραλῦσαι, μὴ χρήματα

Artemidoro p. 14. Selden. de D. S. 274. Clement. Alex. [Cohort. p. 12. ed. Sylb.]

[z] αἰγυπτίῳ] Αἰγύπτιον A. B.

[a] δειλίαν] διὰ δειλίαν A. B.

[b] ἔφασαν γὰρ] ἔφασαν γὰρ ἐκεῖνοι A. B.

[c] χρῆσθαι] χρᾶσθαι A.

[d] ἄλλοις] τοῖς ἄλλοις A. Mox καὶ ante προιεμ. om. A. Trinc.

[e] καὶ ὃν] καὶ om. A.

[f] ὑπάρχοντα] ὑπάρχοντα αὐτῷ A. B.

[g] ἔστιν] ἔστιν δυνατὸν A. B.

[h] ἐνίων] καὶ ἐνίων A. B.

[i] σπανίζουσι] σπανίζουσιν οἱ τοιοῦτοι A. B.

[k] ἔσται] ἐστὶ Trinc.

[l] φασκόλιον] σφακιώλιον A. φασκιώλιον B. φασκώλιον Trinc. v. Du Cangii Gl. Græc. c. 1667.

[m] οὐχ] οὐχὶ A.

[n] χρῆσθαι] χρᾶσθαι A.

[o] βιώσῃ] βιώσης A. βιώσεις B.

αὐτῷ ζητείτω. Ὅμοιον γὰρ, φησὶν ὁ Βίων, ὡς εἴ τις τὸν ὑδρωπικὸν βουλόμενος παῦσαι τοῦ δίψους, τὸν μὲν ὕδρωπα μὴ θεραπεύοι, κρήνας δὲ καὶ ποταμοὺς αὐτῷ παρασκευάζοι. [p] Κεῖνός τε γὰρ ἂν πρότερον πίνων [q] διαρραγείη, ἢ [r] παύσαιτο τοῦ δίψους· [s] οὗτός τε οὐκ ἄν ποθ' ἱκανωθείη, ὅτ' ἂν ᾖ ἄπληστος καὶ δοξοκόπος καὶ δεισιδαίμων. Διὸ καὶ εἰ βούλει τὸν υἱόν σου τῆς ἐνδείας καὶ σπάνεως παῦσαι, μὴ [t] πρὸς τὸν Πτολεμαῖον πέμπε, ὅπως [u] χρήματα κτήσεται· εἰ δὲ μὴ, ἀλαζονείαν προσλαβὼν ἀπελεύσεται, περανεῖ δὲ οὐδέν· ἀλλ' εἰς Ἀκαδημίαν πρὸς Κράτητα· ἐκεῖνος ἠδύνατο ἐξ ἀπλήστων καὶ πολυτελῶν ἐλευθερίους καὶ ἀφελεῖς κατασκευάζειν. Καὶ Μητροκλῆς δὲ ἐκεῖνος ἔφη, ὡς ἔοικεν, ὅτε μὲν παρὰ Θεοφράστῳ [w] καὶ Ξενοκράτει σχολάζοι, πολλῶν αὐτῷ ἐξ οἴκου ἀποστελλομένων, φοβεῖσθαι μὴ τῷ λιμῷ ἀποθάνοι, καὶ ἀεὶ [x] σπανίζειν, καὶ ἐνδεὴς εἶναι· μεταβὰς δὲ ὕστερον πρὸς Κράτητα [y] κἂν ἄλλον προστρέφειν, [z] μηδενὸς πεμπομένου. [a] Τότε μὲν γὰρ ἐξ ἀνάγκης ἔδει ὑπόδημα ἔχειν, καὶ τοῦτο ἀκάττυτον ἥλους οὐκ ἔχον· εἶτα χλανίδα, παίδων ἀκολουθίαν, οἰκίαν μεγάλην εἰς τὸ σύνδειπνον, ὅπως [b] ἄρτοι καθαροὶ, ὄψον μὴ τὸ τυχὸν, [c] οἶνος ἡδὺς, ὑποδοχὰς τὰς ἐπιβαλλούσας, ἵνα [d] πολυτελῶς· ἐλευθέριος γὰρ παρ' αὐτοῖς ἡ τοιαύτη ἀναστροφὴ ἐκρίνετο· πρὸς Κράτητα δὲ μεταβάντι, οὐδὲν ἦν τούτων· ἀλλ' ἀφελέστερος τῷ τρόπῳ γενόμενος, ἠρ-

[p] κείμενος] ἔκεινος Gesn. marg.
[q] διαρραγείη] καὶ διαρραγείη B.
[r] παύσοιτο] παύσαιτο A. Trinc.
[s] οὕτω] οὕτως A. οὗτος Gesn. marg.
[t] πρὸς τὸν] τὸν om. A. B.
[u] χρήματα κτήσεται] χρήματα κομίσηται ἢ καὶ κτήσηται A. B.
[w] καὶ om. A.
[x] σπανίζειν] σπάζειν Trinc.
[y] κἂν] καὶ A.
[z] μηδενὸς] οὐδενὸς A.
[a] τοῦτο] Lego παρὰ τούτοις. GESNER. τότε Wyttenbach. ad Plutarch. S. N. V. p. 10. dudum ante Jacobsium ad Athenæum p. 37. γε pro γὰρ Trinc.
[b] ἄρτοι καθαροὶ] ὀπώρα καὶ ἀ. κ. Wyttenbachius Plutarch. II. p. 101. C.
[c] οἶνον ἡδὺν] οἶνος ἡδὺς A. Trinc.
[d] πολυτελῶσιν] πολυτελῶς A. B. ἵνα πάντα πολυτελῶς Wyttenbach. l. c.

κεῖτο τρίβωνι, καὶ μάζῃ, καὶ [e] λαχανίοις, οὐκ ἐπιποθῶν τὴν
προτέραν δίαιταν, οὐδὲ τῇ παρούσῃ δυσχεραίνων. Πρὸς ῥῖγος 524
ἡμεῖς μὲν ζητοῦμεν παχύτερον ἱμάτιον· ἐκεῖνος δὲ διπλώσας
τὸν τρίβωνα περιῄει τρόπον τινὰ δύο ἱμάτια ἔχων. Εἰ
ἀλείψασθαι χρείαν ἔχοι, [f] εἰσελθὼν ἂν εἰς τὸ βαλανεῖον τῷ
γλοιῷ ἠλείψατο· καὶ βαδίσας ἐνίοτε πρὸς τὴν κάμινον [g] οὗ
τὰ χαλκεῖα, τῶν [h] μαινίδων [i] ἀποπυρὶν ποιήσας, περιχέας
[k] ἂν ἐλάδιον, καθίσας ἠρίστησε. Καὶ ἐκάθευδε τὸ μὲν θέρος
ἐν τοῖς ἱεροῖς, τὸν δὲ χειμῶνα ἐν τοῖς βαλανείοις· οὐ σπα-
νίζων ὥσπερ πρὸ τοῦ, οὐδὲ ἐνδεὴς ὤν, ἀλλ' ἀρκούμενος τοῖς
παροῦσι, διακόνους οὐκ ἐπιθυμῶν ἔχειν. Θαυμαστὸν μὲν
γάρ φησιν, εἰ Μάνης [l] μὲν Διογένους ἄνευ δυνήσεται ζῆν,
Διογένης δὲ ἄνευ [m] Μάνητος οὐ δυνήσεται θαρρεῖν. Ὅτ' ἂν
δὲ ποιήσας ἀλαζόνα, πολυτελῆ, δεισιδαίμονα, δοξοκόπον,
ἄπληστον, χρήματα πολλὰ διδῷς, οὐδὲν περανεῖς. [n] Οὐκ
ἀηδῶς γὰρ [o] ὁ Φιλήμων,

πλοῦτον [p] μεταλήψεσθ' ἕτερον, οὐχὶ τὸν τρόπον.

Τούτου δὲ μένοντος τοῦ αὐτοῦ ὁμοίως, οὐκ ἀρκεῖται, οὐδ'
[q] ἱκανοῦται· ἀλλ' ἐπιθυμίας καὶ ἐπιβολὰς τοσούτων καὶ
τοιούτων ἔχει, ἐξ ὧν ἐν ἐνδείᾳ καὶ σπάνει [r] ἔχονται·

[e] λαχανίοις] λαχάνοις A. B.
[f] εἰσελθὼν] εἰσελθὼν ἂν A.
[g] οὗ τὰ χαλκεῖα — ποιήσας om. Trinc.
[h] μὲν εἰδῶν] μαινίδων correxit Valckenærius ad Herodot. VI. 63.
[i] ἀποπυρὴν] ἀποπυρὶν A. B. "Ἀπο- " πυρίδας appellarunt minutos pis- " ces super pruna torreri solitos, " neque multum differunt ἀποπυ- " ρίδες et ἐπανθρακίδες." Casaubon. in Athenæum VIII. 3. p. 582.
[k] ἂν ἐλάδιον] An ἅμ' ἐλάδιον Valcken. Præstat vulgatum.
[l] μὲν om. B.
[m] μανέντος] μάνους A. B. Gesn. marg. Μάνητος Valckenærius. Vide Menagium ad Diogen. Laert. V. 55. Idem ibid. VI. 95. ex h. l. Plutarchum corrigendum docet II. p. 499. A. vulgata ibi tamen defendi posse existimans.
[n] οὐκ ἀηδῶς—τὸν τρόπον om Tr.
[o] ὁ Φιλήμων] ὦ Φιλήμονε B. φιλήμονε A.
[p] μεταλήψεθ'] μεταλήψεσθε A. B. Philemonis versus omissus a Grotio. Valcken.
[q] ἱκανοῦται] ἱκανεῖται Trinc. Mox ib. ἐπιβουλὰς pro ἐπιβολάς.
[r] ἔσονται] ἔσεται Gesn. marg. ἔχονται A. B.

[s] ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον.

Καὶ παῖς μὲν ὢν, ἐπιθυμεῖ ἔφηβος γενέσθαι· ἔφηβος δὲ γενόμενος, ζητεῖ πάλιν τὸ χλαμύδιον ἀποθέσθαι· ὅτ' ἂν δὲ ἀνδρωθῇ, πάλιν εἰς τὸ γῆρας σπεύδει. Νῦν δέ φησιν ἀβίωτος ὁ βίος, στρατεία, λειτουργία, πολιτικὰ πράγματα, σχολάσαι αὐτῷ οὐκ ἔστι. Πρεσβύτης γέγονε, πάλιν ἐπιθυμεῖ τὰ ἐν νεότητι,

[t] ἡ νεότης μοι φίλον ἀεὶ, τὸ δὲ γῆρας
βαρύτερον Αἴτνης,

καὶ μακαρίζει τὸν τοῦ παιδὸς βίον. Οἰκέτης ἐστὶν, ἐλεύθερος σπεύδει γενέσθαι· κἂν τούτου [u] τύχω, φησὶ, πάντ' ἔχω. Γέγονεν ἐλεύθερος, δοῦλον εὐθὺς ἐπιθυμεῖ κτήσασθαι. Γέγονε τοῦτ' αὐτῷ, ἕτερον προσσπεύδει κτήσασθαι· μία γὰρ, φησὶ, χελιδὼν ἔαρ οὐ ποιεῖ· εἶτα δύο, εἶτα [w] καὶ ἀγρὸν, εἶτ' Ἀθηναῖος γενέσθαι, εἶτα ἄρξαι, εἶτα βασιλεῦσαι, εἶτα, ὥσπερ Ἀλέξανδρος, ἀθάνατος γενέσθαι· εἰ δὲ καὶ τούτου τύχοι, οἶμαι ἵνα Ζεὺς γένηται ἐπιθυμήσει. Πῶς οὖν ὁ τοιοῦτος οὐκ ἐνδεής; ἢ ποία χρημάτων ὕπαρξις τοιούτων ἐπιθυμιῶν ἀπολύει; Οἱ βασιλεῖς αὐτοὶ [x] πολλῆς ἐπάρχοντες, καὶ προσόδους μεγάλας ἔχοντες, οὐδὲν ἧττον σπανίζουσιν· ὥστε καὶ τυμβωρυχεῖν, καὶ ἱεροσυλεῖν, καὶ παρὰ τὸ προσῆκον φυγαδεύειν. Ἅμα γὰρ τῇ ἀρχῇ πολλὰ τὰ ἀναγκαῖα ἀναπεπλάκασι· καὶ οὔτε τῆς ἀρχῆς ἀποστῆναι προαιροῦνται, οὔτε τὰ καθ' ἑαυτοὺς [y] λιτότερον ἐξάγουσιν· εἶτα [z] ἀναγκάζονται πολλὰ ὧν βούλονται. Εἰ δὲ πάντων τὶς τῶν τοιούτων ὑπεράνω

[s] ἄπληστον] Theognis 109.

[t] ἡ νεότης] Euripid. Herc. Fur. 637.

[u] τύχω] τύχῃ Trinc.

[w] κἀγρὸν] καὶ ἀγρὸν A.

[x] πολλοὶ] πολλῆς A. Trinc. πολλῶν conj. Valckenærius.

[y] λιτώτερον] λιτότερον A.

[z] ἀναγκάζονται, πολλὰ γὰρ βούλονται] ἀναγκάζονται πολλὰ ἂν βούλ. Alias ὧν pro ἄν. Gesner. ὧν pro γὰρ A. B. ἀναγκάζονται πολλὰ, πολλὰ γὰρ βούλονται Jacobsius in Athen. p. 128.

γένοιτο, ἐν πολλῇ ἂν εἴη ἀδείᾳ καὶ [a] ἀσπανιστίᾳ. Οὐκ ἀηδῶς γὰρ [b] Κράτης·

Οὐκ οἶσθα,

φησὶ,

πήρα δύναμιν ἡλίκην ἔχει,
θέρμων τε χοίνιξ, καὶ τὸ μηδενὸς μέλειν.

Τῷ ὄντι [c] γὰρ μέγα καὶ ἀξιόλογον [d] μετὰ πήρας καὶ θέρμων καὶ λαχάνων καὶ ὕδατος μηδενὸς φροντίζειν, ἀλλ' εἶναι ἀθώπευτον καὶ ἀκολάκευτον.

32 [a] Ξενοφῶντος ἐν τῷ η τῆς Κύρου παιδείας.

Ἦ γὰρ οὕτως, ὦ Σάκα, ὑπολαμβάνεις, ὡς ἐγὼ νῦν [b] τοσούτῳ ἥδιον ζῶ, ὅσῳ πλείονα κέκτημαι; Οὐκ οἶσθα, ἔφη, ὅτι ἐσθίω μὲν καὶ πίνω καὶ καθεύδω οὐδ' ὁτιοῦν ἥδιον νῦν, ἢ ὅτε πένης ἦν; Ὅτι δὲ πολλὰ ταῦτ' ἐστὶ, τοσοῦτον κερδαίνω, [c] πλείω μὲν φυλάττειν δεῖ, πλείω δ' ἄλλοις διανέμειν, πλειόνων δὲ [d] ἐπιμελούμενον πράγματα ἔχειν. Νῦν γὰρ δὴ ἐμὲ πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι, πολλοὶ δὲ [e] πιεῖν, πολλοὶ δὲ ἱμάτια· οἱ δὲ ἰατρῶν δέονται· ἥκει δέ τις ἢ τῶν προβάτων λελυκωμένα φέρων, ἢ τῶν βοῶν κατακεκρημνισμένα, ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν· ὥστ' ἔμοιγε δοκῶ, ἔφη ὁ [f] Φεραύλας, νῦν διὰ τὸ [g] πολλὰ ἔχειν πλείω λυπεῖσθαι, ἢ πρόσθεν, διὰ τὸ ὀλίγα ἔχειν. Καὶ ὁ Σάκας εἶπεν· Ἀλλὰ, ναὶ μὰ τὸν [h] Δί', ὅτ' ἂν σῶα ᾖ, πολλὰ ὁρῶν πολλαπλάσια ἐμοῦ εὐφραίνῃ. Καὶ ὁ [i] Φεραύ- 525

[a] ἀσπανιστείᾳ] ἀσπανιστίᾳ A.

[b] Κράτης] De his Cratetis iambis videatur Hemsterhusius ad Lucian. Dial. Mort. XXII. 3. T. I. pp. 424, 425.

[c] γὰρ om. A.

[d] καὶ πήρας] Al. additur μετὰ. GESN. 32.

[a] Sic A. Scil. VIII. 3. 40. δεενοφῶντος (sic) Trinc.

[b] τοσοῦτον] τοσούτῳ Trinc.

[c] πλείω μὲν] ἢ πλείω A. Trinc. F. εἰ πλ.

[d] ἐπιμελούμενον] ἐπιμελομένων A. Trinc.

[e] πιεῖν] ποιεῖν Trinc.

[f] φεραύλας] φθεραύλας A. et post.

[g] πολλὰ] τὰ πολλὰ A.

[h] δί'] δί' ἔφη A.

[i] φεραύλας] φθεραῦλος A.

λας εἶπεν· Οὔτοι, ὦ Σάκα, οὕτως ἡδύ ἐστι [k] τὸ ἔχειν χρήματα, ὥσπερ ἀνιαρὸν τὸ [l] ἀποβάλλειν, [m] ἵν' ὡς εἰδότι ἐγὼ τἀληθῆ λέγω· τῶν μὲν γὰρ πλουτούντων οὐδεὶς ἀναγκάζεται ὑφ' ἡδονῆς [n] ἀγρυπνεῖν, τῶν δ' ἀποβαλλόντων τι ὄψει οὐδένα δυνάμενον καθεύδειν ὑπὸ λύπης. Μὰ Δί', ἔφη ὁ Σάκας, οὐδέ [o] γε τῶν λαμβανόντων [p] τι νυστάζοντα οὐδένα ἂν ἴδοις ὑφ' ἡδονῆς. Ἀληθῆ, ἔφη, λέγεις· εἰ γάρ [q] τοι τὸ ἔχειν οὕτως ὥσπερ τὸ λαμβάνειν ἡδὺ ἦν, [r] πολὺ ἂν διέφερον εὐδαιμονίᾳ οἱ πλούσιοι τῶν πενήτων. Καὶ ἀνάγκη δέ τοι ἐστὶ, [[s] ἔφη,] ὦ Σάκα, τὸν πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν, καὶ εἰς θεοὺς, καὶ εἰς φίλους, καὶ εἰς ξένους· ὅστις [t] οὖν ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι. Μὰ Δί', ἔφη ὁ Σάκας, ἀλλ' οὐκ ἐγὼ τούτων εἰμὶ, ἀλλὰ καὶ εὐδαιμονίαν τοῦτο νομίζω, τὸ πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν. Τί οὖν, ἔφη, πρὸς τῶν θεῶν, ὁ Φεραύλας, οὐχὶ σύ γε αὐτίκα [u] μάλα εὐδαίμων ἐγένου, κἀμὲ εὐδαίμονα ἐποίησας; [w] ἀλλὰ γὰρ, ἔφη, πάντα ταῦτα κέκτησο, καὶ χρῶ ὥσπερ βούλει αὐτοῖς· ἐμὲ δὲ μηδὲν ἄλλο ἢ ὥσπερ ξένον τρέφε, καὶ ἔτι εὐτελέστερον ἢ ξένον· ἀρκέσει γάρ μοι ὅ τι ἂν καὶ σὺ [x] ἔχῃς, [y] τούτου μετέχειν.

33 [a] Πλάτωνος ἐκ τοῦ Ἐρυξίου.

Τί ποτ' ἐστὶν [b] ὃ χρώμεθα χρήμασι, καὶ πρὸς τί εὕρηται ἡ τῶν χρημάτων κτῆσις; ὥσπερ τὰ φάρμακα, πρὸς τὸ τὰς

[k] τὸ ἔχειν] ὡς τὸ ἔχειν A. B.
[l] ἀποβάλλειν] ἀποβαλεῖν A. B.
[m] ἵν'] γνώσῃ δ' ὅτι Gesn. marg.
[n] ἀγρυπνεῖν usque ad ἡδονῆς om. A. B.
[o] γε] ἔτι Gesn. marg.
[p] τι νυστάζοντα] τι om. Trinc. et mox om. ἂν ἴδοις.
[q] τοι] σοι B. Trinc. et sic mox.
[r] πολλοὶ] πολὺ A. B.
[s] ἔφη om. A. B. Trinc.
[t] γὰρ] οὖν A. ubi om. εὖ ἴσθι μὰ δί'. οὖν Trinc.
[u] μᾶλλον εὐδαίμων] μάλα εὐδαιμονῶν Gesn. marg. μάλα A.
[w] λαβὼν] ἀλλὰ A. Trinc.
[x] ἔχοις] ἔχῃς A. B.
[y] τούτου] τούτων B.

33.

[a] Sic A. Scil. p. 401. B. Simpl. Πλάτωνος Trinc.
[b] ὃ] ὦ A. Trinc.

νόσους ἀπαλλάττειν· ἴσως γὰρ ἂν ἡμῖν οὕτω μᾶλλον φανερὸν γένοιτο. Ἐπειδὴ ἀναγκαῖον μὲν φαίνεται, ὅσα περ τυγχάνει χρήματα ὄντα, ταῦτα καὶ χρήσιμα εἶναι· τῶν δὲ χρησίμων γένος τὶ, ὃ καλοῦμεν χρήματα· λοιπὸν ἂν εἴη σκέψασθαι [c] τὰ πρὸς τίνα χρείαν χρήσιμα χρῆσθαι χρήματά ἐστιν. [d] Πάντα μὲν γὰρ ἴσως χρήσιμα, [e] ὅσοις γε πρὸς τὴν ἐργασίαν χρώμεθα· ὥσπερ γε πάντα μὲν τὰ ψυχὴν ἔχοντα, ζῶα· τῶν [f] δὲ ζώων γένος τὶ καλοῦμεν ἄνθρωπον. Εἰ δή τις ἡμᾶς ἔροιτο, τίνος [g] ἂν ἐκποδὼν [h] ἡμῖν γενομένου οὐδὲν δεοίμεθα ἰατρικῆς [i] οὐδὲ τῶν ταύτης ἐργαλείων, [k] ἔχοιμ' ἂν εἰπεῖν, ὅτι εἰ αἱ νόσοι ἀπαλλαγείησαν ἐκ τῶν σωμάτων, 526
καὶ μὴ γίγνοιντο παντάπασιν, ἢ γιγνόμεναι παραχρῆμα ἀπαλλάττοιντο. Ἔστιν ἄρα, ὡς ἔοικεν, ἡ ἰατρικὴ τῶν ἐπιστημῶν [[l] ἡ] πρὸς τοῦτο χρησίμη, πρὸς τὸ νόσους ἀπαλλάττειν· εἰ δέ τις ἡμᾶς πάλιν ἔροιτο, τίνος ἂν [m] ἡμῖν ἀπαλλαγέντος οὐδὲν δεοίμεθα χρημάτων, ἆρ' ἂν ἔχοιμεν εἰπεῖν; εἰ δὲ μὴ, πάλιν ὡδὶ σκοπώμεθα· φέρε, εἰ οἷός τε εἴη ζῆν ἄνθρωπος ἄνευ σιτίων καὶ ποτῶν, καὶ μὴ πεινῷ μηδὲ διψῷ, ἔσθ' ὅ τι ἂν ἢ αὐτῶν τούτων δέοιτο, ἢ ἀργυρίου, ἢ ἑτέρου τινὸς, [n] ἵνα ταῦτα ἐκπορίζηται; Οὐκ ἔμοιγε δοκεῖ. Οὐκ οὖν καὶ τἄλλα κατὰ τὸν αὐτὸν τρόπον, εἰ μὴ δεοίμεθα πρὸς τὴν τοῦ σώματος θεραπείαν, ὧν νῦν ἐνδεεῖς ἐσμὲν, καὶ ἀλέας καὶ ψύχους ἐνίοτε, καὶ τῶν ἄλλων ὅσων τὸ σῶμα ἐνδεὲς γιγνόμενον προσδεῖται, ἄχρηστ' ἂν ἡμῖν εἴη τὰ καλούμενα χρήματα, εἰ [o] μηδείς γε παντάπασι μηδενὸς δέοιτο τούτων, ὧν ἕνεκεν

[c] τὰ πρὸς] τὸ πρὸς B.
[d] πάντα μὲν γὰρ ἴσως χρήσιμα om. A. Trinc.
[e] ὅσοις περ] ὅσα γε Gesn. marg. γε pro περ A. B.
[f] δὲ ζώων] ζώων δὲ A.
[g] ἂν om. B. qui habet statim ἐμποδὼν m. sec.
[h] ἡμῖν] ὑμῖν A. B. Trinc.
[i] οὔτε] οὐδὲ A.
[k] ἔχοιμ'] ἔχοιμεν Gesn. marg.
[l] ἡ om. A. Trinc.
[m] ὑμῖν] ἡμῖν A. Trinc.
[n] ἵνα ταῦτα] ἵνα om. Trinc.
[o] μὴ δέ γε] μηδείς γε Gesn. marg. μὴ δή γε A.

[p] νυνὶ βουλόμεθα χρήματα ἡμῖν εἶναι, ἵνα [q] ἐξικοίμεθα πρὸς τὰς ἐπιθυμίας καὶ τὰς ἐνδείας τοῦ σώματος, ὧν [r] ἂν ἑκάστοτε [s] δεώμεθα; [t] Εἰ δ' ἔστιν ἄρα πρὸς τοῦτο χρήσιμον ἡ τῶν χρημάτων χρῆσις πρὸς τὴν τοῦ σώματος θεραπείαν τῶν ἐνδειῶν, εἴ γ' οὖν ἡμῖν τοῦτο ἐκ μέσου ἀναιρεθείη, οὐδὲν ἂν δεοίμεθα χρημάτων· ἴσως δ' ἂν οὐδ' εἴη παντάπασι χρήματα. Φαίνεται ἄρα ἡμῖν, ὡς ἔοικε, τὰ πρὸς ταύτην τὴν πραγματείαν χρήσιμα τῶν πραγμάτων, ταῦτα εἶναι χρήματα. Συνέφημεν ταῦτα εἶναι χρήματα. Οὐ μὴν ἀλλ' ἐτάραττεν αὐτὸν σφόδρα τὸ λογίδιον. Τί δαὶ τὰ τοιάδε; [u] πότερ' ἂν φήσαιμεν οἷόν τ' εἶναι ταυτὸν πρᾶγμα πρὸς τὴν τοιαύτην ἐργασίαν τοτὲ μὲν χρήσιμον εἶναι, τοτὲ δὲ ἀχρεῖον; Οὐκ ἔγωγ' ἂν φαίην· ἀλλ' εἴ τι δεοίμεθα τούτου, πρὸς τὴν αὐτὴν ἐργασίαν καὶ χρήσιμόν μοι δοκεῖ εἶναι· εἰ δὲ μή, οὔ. Οὐκ οὖν εἰ ἄνευ πυρὸς οἷοί τε [w] ἦμεν ἀνδριάντα χαλκοῦν ἐργάσασθαι, [x] οὐδὲ ἂν δεοίμεθα πυρὸς πρός γε τὴν τούτου ἐργασίαν· εἰ δὲ μὴ δεοίμεθα, οὐδ' ἂν [y] χρήσιμον ἡμῖν εἴη. Ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν ἄλλων. [z] Φαίνεται. Οὐκ οὖν ὅσων ἄνευ οἷόν τε γίγνεσθαί τι, οὐδὲν ἂν τούτων ἡμῖν [y] χρήσιμον [z] φαίνοιτο πρός γε τοῦτο. Οὐ γάρ. Οὐκ οὖν εἴ ποτε φαινοίμεθα οἷοί τε ὄντες ἄνευ ἀργυρίου καὶ χρυσίου, καὶ τῶν ἄλλων τῶν τοιούτων, (οἷς μὴ αὐτοῖς χρώμεθα πρὸς τὸ σῶμα, ὥσπερ σίτοις καὶ ποτοῖς καὶ ἱματίοις καὶ στρώμασι καὶ οἰκίαις,) παύειν τὰς τοῦ σώματος ἐνδείας, ὥστε μηκέτι δεῖσθαι, οὐκ ἂν ἡμῖν οὐδὲ [a] χρήσιμα γένοιτο [b] πρός γε τοῦτο

[p] νυνὶ βουλόμεθα] ἂν βουλοίμεθα Gesn. marg.

[q] ἐξικοίμεθα] ἐξαρκούμεθα Gesn. marg.

[r] ἂν om. A. B. Mox ἕκαστός τε Trinc.

[s] δεώμεθα] δεόμεθα A. B.

[t] εἰ δ' ἐστιν usque ad finem loci om. A. B.

[u] πότερ' ἂν φήσαιμεν] πότερον ἂν φαίημεν Gesn. marg.

[w] ἦμεν] εἴημεν Gesn. marg.

[x] οὐδὲ] οὐδὲν Gesn. marg.

[y] χρήσιμον] Al. additur οὐδὲ GESNER.

[z] φαίνεται om. Trinc.

[a] χρήσιμα γένοιτο] χρήματα φαίνοιτο Gesn. marg.

[b] πρός γε τοῦτο] πρός γε τούτου Gesn. marg.

τἀργύριόν τε καὶ τὸ χρυσίον καὶ τἆλλα τὰ τοιαῦτα, εἴπερ ποτε καὶ ἄνευ τούτων οἷόν τε γίγνεσθαι. Οὐ γάρ. Οὐκ ἂν ἄρα οὐδ᾽ ἂν χρήματα ἡμῖν ταῦτα φανείη, εἰ μηδὲν χρήσιμα· ἀλλὰ ταῦτ᾽ ἂν εἴη, οἷς τὰ χρήσιμα [c] οἷοί τε ἐσμὲν ἐκπορίζεσθαι.

34 [a] Ἐν τῷ αὐτῷ.

Μάλιστα δ᾽ ἂν ἴσως καὶ τοῦτο ὧδε θεωρηθείη· εἴ τις αὐτὸν πρὸς αὐτὸν τὸν ἄνθρωπον παραβάλλων σκοποῖτο, ὁποτέρα τῶν ἕξεων [b] βελτίων, πότερον ὅτ᾽ ἂν τύχῃ νοσῶν, ἢ ὅτ᾽ ἂν ὑγιαίνων. Ἀλλὰ τοῦτό γ᾽, ἔφη, οὐ πολλῆς τινος τῆς σκέψεως δεῖται. Ἴσως γάρ, ἦν δ᾽ ἐγώ, παντὶ ἀνθρώπῳ εὔπορον γνῶναι, ὅτι ἡ τοῦ ὑγιαίνοντος ἕξις κρείττων ἐστὶ τῆς τοῦ κάμνοντος. [c] Τί δέ; πότερον τυγχάνομεν πλειόνων τε καὶ 527
μᾶλλον παντοδαπῶν δεόμενοι, ὅτ᾽ ἂν κάμνωμεν, ἢ ὅτ᾽ ἂν ὑγιαίνωμεν; Ὅτ᾽ ἂν κάμνωμεν. Ὅτ᾽ ἂν ἄρα αὐτοὶ [d] ἑαυτῶν τυγχάνωμεν φαυλότατα διακείμενοι, τότε σφόδρα τε καὶ [e] πλείστων, τὰ πρὸς τὰς ἡδονὰς τὰς διὰ τοῦ σώματος, ἐν [f] ἐπιθυμίαις τε καὶ δεήσεσιν ἐσμέν; Οὕτως. Οὐκ οὖν κατὰ τὸν αὐτὸν λόγον ὥσπερ αὐτὸς [g] ἑαυτοῦ τότε φαίνεται βέλτιστα ἔχων, ὅτ᾽ ἂν ἐλαχίστων τῶν τοιούτων δέηται, οὕτω πάλιν καὶ δυοῖν ὄντοιν, εἰ ὁ μὲν τυγχάνει σφόδρα τε καὶ πολλῶν ἐν ἐπιθυμίᾳ τε καὶ δεήσει ὤν, ὁ δὲ ὀλίγων τε καὶ [h] ἥσυχος, οἷον τὰ τοιάδε, ὅσοι τῶν ἀνθρώπων τυγχάνουσι κυβευταὶ ὄντες, οἱ δὲ οἰνόφλυγες, ἕτεροι δὲ γαστρίμαργοι. Ἅπαντα γὰρ ταῦτα οὐδὲν ἕτερον τυγχάνει ὄντα, ἢ ἐπιθυμίαι. Σφόδρα γε. Αἱ δ᾽ ἐπιθυμίαι πᾶσαι, οὐδὲν ἕτερον ἢ [i] ἔνδειαι τι-

[c] οἷοί τε ἐσμὲν] οἷόν τ᾽ ἐς μὲν Trinc.

34.

[a] Sic A. Scil. p. 405. C. Deest locus Trinc.
[b] βελτίων] βελτίω A.
[c] τί δὲ ποτέρως] ἔτι δὲ πότερον A. B. Gesn. marg.
[d] αὐτῶν] ἑαυτῶν A. B.
[e] πλείστον] πλείστων A.
[f] ἐπιθυμίαις] ἐπιθυμίαι A.
[g] αὐτοῦ] ἑαυτοῦ A. B. τότε om. A.
[h] ἡσύχως] ἥσυχος A. B.
[i] ἔνδειαι] ἔνδεια B.

νῶν. Οἱ οὖν [k] πλεῖστα τούτων πεπονθότες ἄνθρωποι, ἐν μοχθηροτέρᾳ ἕξει εἰσὶ τῶν μηδὲν [l] ἢ ὡς ἐλάχιστα τοιαῦτα πεπονθότων. Πάνυ μὲν οὖν ἔγωγε καὶ σφόδρα μοχθηροὺς τοὺς [m] τοιούτους ὑπολαμβάνω εἶναι· καὶ ὅσῳ ἂν μᾶλλον τοιούτους, [n] τοσούτῳ καὶ μοχθηροτέρους.

## ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ, ΟΤΙ ΒΡΑΧΥΣ ΚΑΙ ΕΥΤΕΛΗΣ, ΚΑΙ ΦΡΟΝΤΙΔΩΝ ΑΝΑΜΕΣΤΟΣ. ϛΗ.

1 [a] Σοφοκλέους.

Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος,
ὡς οὐδὲν ἐσμὲν, πλὴν σκιαῖς [b] ἐοικότες
βάρος περισσὸν γῆς [c] ἀναστρωφώμενοι.

2 [a] Σοφοκλῆς Αἴαντι.

Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ', ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν.

3 [a] Φιλήμονος.

Τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπου, γύναι·
[b] εὐφραινόμεσθ' ἔλαττον, ἢ λυπούμεθα.

4 [a] Εὐριπίδου Μελεάγρῳ.

Τοὺς ζῶντας εὖ δρᾷ κατθανὼν οὐδεὶς ἀνήρ.
γῆ καὶ σκιὰ, τὸ μηδὲν εἰς οὐδὲν βλέπει.

5 [a] Φιλήμονος.

Οὐκ ἂν δύναιο μὴ γενέσθαι, δέσποτα,

[k] πλεῖστα] κάλλιστα A. B.
[l] ἢ ὡς ἐλάχιστα] πῶς ἢ ἐλάχιστον A. B.
[m] τοσούτους] τοιούτους A.
[n] τοιούτῳ] τοσούτῳ A.

1.
[a] Sic Trinc. Scil. fr. 27. Deest lemma A. Mox θνητῶν A. Trinc.
[b] εἰκότες] ἐοικότες A. Trinc. Grot.
[c] ἀναστρεφόμενοι] Malim ἀναστρωφώμενοι. Gesn. Sic B. et Grot.

2.
[a] Sic A. Scil. v. 125. Deest lemma Trinc.

3.
[a] Sic A. Trinc. Cleric. p. 352.
[b] εὐφραίνομεσθ'] Ita recte MS. A. non εὐφραινόμεθ' ut vulgo, cum injuria versus. Grotius.

4.
[a] Sic A. Scil. fr. 15. Simpl. Εὐριπίδου Trinc. Mox δρᾶν A. v. infra p. 609, 45.

5.
[a] Sic Trinc. Cleric. p. 352. Deest A.

ἄνθρωπος, ὢν ἄνθρωπος· [b] ἄλλως οὖν βοᾷς·
τὸν ζῶντ' ἀνάγκη πόλλ' ἔχειν ἐστὶν κακά.

6 [a] Διφίλου.

Ἄνθρωπός εἰμι, τοῦτο δ' [b] αὐτὸ τῷ βίῳ
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.

7 [a] Μενάνδρου.

Ἄνθρωπος· ἱκανὴ πρόφασις εἰς τὸ δυστυχεῖν.

8 [a] Μενάνδρου.

Ἅπαντα τὰ ζῷ' ἐστι [b] μακαριώτατα,
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί. 50
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι' αὐτὸν οὐδὲν γίγνεται·
ἃ δ' ἡ φύσις δέδωκεν [[c] αὐτῷ,] ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ' αὐτῶν ἕτερα προσπορίζομεν.
λυπούμεθ', ἂν [d] πτάρῃ τις· ἂν [e] εἴπῃ κακῶς,
ὀργιζόμεθ'· [f] ἂν ἴδῃ τὶς ἐνύπνιον, σφόδρα
φοβούμεθ'· [g] ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν.
ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι, 528
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

9 [a] Σωτάδου.

Αὐτὸς γὰρ ἐὼν παντογενὴς ὁ πάντα γεννῶν,
οὐ κρίνει δικαίως τὰ κατ' ἄνθρωπον ἕκαστον.

[b] ἄλλος] ἄλλως Trinc.

6.

[a] Sic Trinc.

[b] αὐτῷ] αὐτὸ Voss. B.

7.

[a] Sic A. Cleric. p. 244. Deest locus Trinc.

8.

[a] Sic A. Trinc. Cleric. ibid.

[b] μακαριώτατα] μακαριώτερα Grotius.

[c] αὐτῷ] om. A. N. B. Trinc. ταῦτ' ἔχει μόνα B. Nescio an exciderit πάντα. Sequens versus deest A.

[d] πτάρῃ] πταρῇ B.

[e] εἴπῃ] εἴποι A.

[f] ἂν] ἐὰν A.

[g] ἂν γλαὺξ] ἄν τι γλαὺξ B. ubi mox om. δεδοίκαμεν.

9.

[a] Sic A. Trinc.

καὶ γὰρ κατὰ γαῖαν [b] τὰ κακὰ πέφυκεν ἀεί·
καὶ τοῖς [c] μεγάλοις ἀεὶ κακοῖς γέγηθ' ὁ κόσμος.
ὅτι πάντες, ὅσοι περισσὸν ἠθέλησαν εὑρεῖν,
ἢ μηχανικὸν ποίημα, ἢ σοφὸν μάθημα,
οὗτοι κακὸν εἰς τὸν θάνατον τέλος ἐποίησαν,
ὑπὸ τοῦ γεννήτορος κόσμου κακῶς παθόντες.
Σωκράτην ὁ κόσμος [d] πεποίηκεν σοφὸν εἶναι,
καὶ κακῶς ἀνεῖλεν τὸν Σωκράτην ὁ κόσμος,
ἐν τῇ φυλακῇ κώνειον [e] ὅτι πιὼν τέθνηκε.
[f] πουλύποδα φαγὼν ὁ Διογένης ὠμὸν τέθνηκεν.
Αἰσχύλῳ [g] γράφοντι ἐπιπέπτωκε χελώνη.
Σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς, πνιγεὶς τέθνηκε.
κύνες οἱ κατὰ Θράκην Εὐριπίδην [h] ἔτρωγον.
τὸν θεῖον Ὅμηρον λιμὸς κατεδαπάνησεν.

10 [a] Τοῦ αὐτοῦ.

[b] Ἀγαθὸς, εὐφυὴς, καὶ δίκαιος, εὐτυχὴς ὃς ἐὰν ᾖ,
[c] τοῦ φθόνου λαβεῖν δεῖ μερίδα, μῶμον ἔχειν δεῖ.
πλουτεῖ τὶς ἄγαν, ἀλλὰ πάθος παρέλαβεν αὐτόν.
εὐσεβής τις ἐστὶ, πενίαν δέδωκεν αὐτῷ.
[d] μέγας ἐστὶ τεχνίτης τὶς, ἀτυχῆ πεποίηκεν αὐτόν.
κἂν ἐπὶ τὸ μέγιστον δίκαιος κριτὴς ὑπάρχῃ,
δεῖ [e] τὸν φύσει νικώμενον, ἄδικον αὐτὸν εἰπεῖν.
πλούσιός τις ἐστὶ, τὸ μέγα πτῶμα φοβεῖται.

[b] τὰ κακὰ] τά γε κακὰ Hermannus Elem. Doct. Metr. p. 446.

[c] μεγάλοις κακοῖς] μεγάλοις ἀεὶ κακοῖς A. B.

[d] πεποίηκε] πεπόηκε Trinc.

[e] ὅτι] δὲ B.

[f] πολύποδα] πουλύποδα Trinc. De Diogenis morte varia memorantur. Videatur Diogenes Laertius VI. 76. c. n. Menagii.

[g] γράφοντι] γράφοντί τι Herman.

[h] ἔτραγον] ἔτρωγον A. B.

10.

[a] Sic A. Deest lemma Trinc.

[b] Ἀγαθὸς, εὐφυὴς, δίκαιος, εὐτυχὴς ὃς ἂν ζῇ Hermannus.

[c] τὸν φθόνον A. Trinc. mox δεῖ om. A. μέριδ' ἢ μῶμον Hermann.

[d] μέγας ἐστι τεχνίτης, ἀτυχῆ πεποίηκ' αὐτόν Herman.

[e] τὸν φύσει] τῇ φ. B.

ἰσχυρὸς ὑπάρχει, νόσου πεῖραν εὐλαβεῖται.
ἡμέρας μιᾶς ἀλυπία μέγ' ἐστὶ κέρδος.
τί γὰρ ἐσμὲν ὅλως, ἢ [f] ποταπῆς γεγόναμεν ὕλης;
στόχασαι κατὰ σεαυτὸν τὸ βιωτικὸν νοήσας,
ἐκ τίνος ἐγένου, καὶ τίς εἶ, καὶ τίς [g] πάλι γίνῃ.

11 [a] Μενάνδρου.

Τυφλόν γε καὶ δύστηνον ἀνθρώπου βίος.

12 [a] Εὔφρονος Διδύμων.

Ὦ Ζεῦ, τί [b] ποθ' ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχὺν,
πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς;

13 [a] Μιμνέρμου.

Ἡμεῖς δ' οἷά τε φύλλα φύει [b] πολυάνθεμος ὥρη
[c] ἔαρος, ὅτ' αἶψ' αὐγῇ αὔξεται ἠελίου,
τοῖς ἴκελοι, πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν,
οὔτ' ἀγαθόν· κῆρες δὲ παρεστήκασι μέλαιναι,
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ' ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίγνεται ἥβης
καρπὸς, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος [d] παραμείψεται ὥρης,
αὐτίκα δὴ τεθνάναι βέλτιον, ἢ βίοτος.
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται, ἄλλοτέ τ' [e] οἶκος
τρυχοῦται, [f] πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει.
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς ἀΐδην. 529

[f] ποδαπῆς] ποταπῆς A. Trinc. Vide Lobeck. Phryn. p. 56.

[g] πάλιν] Videtur πάλι pro πάλιν versus postulare. Grotius.

11.

[a] Sic A. Cleric. p. 246. Τοῦ αὐτοῦ Trinc.

12.

[a] Sic A. Simpl. Εὔφρονος Trinc.

[b] πόθ'] πάνθ' A.

13.

[a] Sic A. Trinc.

[b] πολυάνθεμος] πολυάνθεος A.

[c] ἦρος] Vulgo ἔαρος. Grotius.

[d] παραμείψεται] παραμεῖψαι A.

[e] τ' οἶκος] τ' om. A. καλὰ Tr. pro κακά.

[f] πενίης] περὶ ἦ A.

ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἐστὶν
  ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ [g] διδῷ.

14 [a] Φιλήμονος.

Ὦ τρισμακάρια πάντα καὶ τρισόλβια
[b] τὰ θηρί', οἷς οὐκ ἔστι περὶ τούτων λόγος,
οὔτ' εἰς ἔλεγχον [c] οὐδὲν αὐτῶν ἔρχεται,
οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστ' αὐτοῖς κακὸν
ἐπακτόν· ἣν δ' ἂν εἰσενέγκηται φύσιν
ἕκαστον, εὐθὺς καὶ νόμον ταύτην ἔχει.
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον,
δουλεύομεν δόξαισιν εὑρόντες νόμους·
προγόνοισιν, ἐγγόνοισιν οὐκ ἔστ' ἀποτυχεῖν
κακοῦ· πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.

15 [a] Σιμωνίδου.

[b] Οὐδὲ γὰρ οἳ πρότερόν ποτ' ἐπέλοντο
θεῶν δ' ἐξ ἀνάκτων ἐγένοντο υἷες
ἡμίθεοι, ἄπονον οὐδὲ ἄφθιτον
οὐδ' ἀκίνδυνον βίον ἐς γῆρας ἐξίκοντο τελέσαντες.

16 [a] Σιμωνίδου.

Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
πάντων, [b] ὅσ' ἐστι, καὶ τίθησ' ὅπῃ θέλει.
[c] νοῦς δ' οὐκ ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐφήμεροι

[g] διδῷ] διδοῖ B.

14.

[a] Sic A. Trinc. Cleric. p. 352.

[b] θηρία, οἷς οὐκ ἔστι] θηρίοις. οὐκ ἔνεστιν Trinc. ἔνεστι A.

[c] αὐτῶν οὐδὲν] Hæc dictio corrumpit senarium. GESNER. οὐδὲν αὐτῶν] Ita versum molliorem fecimus, transpositis versibus. Vulgo αὐτῶν οὐδέν. GROTIUS.

15.

[a] Sic Trinc. Deest locus A.

[b] Vide Aristidem (?) ..... Pind. Pyth. (III. 153.) αἰὼν δ' ἀσφαλὴς Οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ Οὔτε παρ' ἀντιθέῳ Κάδμῳ. GROTIUS. mss.

16.

[a] Sic A. Trinc.

[b] ὃς] Forte ὅσ', pro ὅσα. GESN.

[c] νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐφημέριοι δὴ βροτοὶ ζώομεν ἀεὶ δὴ βοτὰ ζώομεν] νόος δ' οὐκ ἐπανθρώποισιν· ἀλλ' ἐφημέριοι δὴ βρωτοὶ ζώομεν ὅπως μένουσ' ἐλθεῖν Trinc. mediis omissis :

ἀεὶ βροτοὶ δὴ ζῶμεν, οὐδὲν εἰδότες
[d] ὅπως ἕκαστον [e] ἐκτελευτήσει θεός.
ἐλπὶς δὲ πάντας [f] κἀπιπειθείη τρέφει,
ἄπρηκτον ὁρμαίνοντας· οἱ μὲν ἡμέρην
μένουσιν ἐλθεῖν, οἱ δ' ἐτέων περιτροπάς.
νέωτα δ' οὐδεὶς ὅστις οὐ δοκέει βροτῶν,
πλούτῳ τε κἀγαθοῖσιν ἵξεσθαι [g] φίλος.
φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβὸν
πρὶν τέρμ' ἵκηται· τοὺς δὲ δύστηνοι νόσοι
φθείρουσι [h] θνητῶν· τοὺς δ' [i] Ἄρεϊ δεδμημένους
πέμπει μελαίνης Ἀΐδης ὑπὸ χθονός·
οἱ δ' [k] ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι,
καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλὸς
θνήσκουσιν, εὖτ' ἂν μὴ δυνήσωνται [l] ζόειν·
οἱ δ' ἀγχόνην [m] ἄψαντο δυστήνῳ μόρῳ,
[n] καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
οὕτω κακῶν ἄπ' οὐδὲν, ἀλλὰ μυρίαι
βροτοῖσι κῆρες, κἀνεπίφραστοι [o] δύαι,
καὶ πήματ' ἐστίν· εἰ δέ μοι πιθοίατο,
οὐκ ἂν κακῶν ἐρῷμεν, οὐδ' ἐπ' ἄλγεσι
κακοῖς ἔχοντες θυμὸν [p] αἰκιζοίμεθα.

ἄδη pro ἀεὶ δὴ A. B. et ζώομεν om. B. Ad vocem βοτὰ adscripsit Gesner., "Forte βροτοὶ. Senarius sic constaret, ἀεὶ δὲ θνητοί. Pro duobus "præcedentibus nunc sic legi "posset, νόος δ' ἐπ' ἀνθρώποισιν οὐκ "ἐφημέροις." Grotius dedit, νοῦς δ' οὐκ ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐφήμεροι Ἀεὶ βροτοὶ δὴ ζῶμεν, probante Wyttenbachio ad Plutarch. S. N. V. p. 23. Easdem lectiones tacite adoptat Brunckius in Gnomicis. Suspicor aliquid corruptelæ subesse.

[d] ὅπως] ὅμως A. p. m.
[e] ἐκτελευτήσῃ] ἐκτελευτήσει A. B.
[f] καπιθείη] κἀπιπειθείη A. B. N.
[g] φίλος] Malim φίλον. GESNER.
[h] θνητῶν] βροτῶν θνητῶν A.
[i] ἄρεϊ] ἀέρι Trinc.
[k] ἐν] ἐνὶ A.
[l] ζώειν] ζάειν Grotius. ζόειν Porsonus Eurip. Hec. 1098.
[m] ἄψαντο] ἥψαντο B.
[n] καὐτάγρετοι] ἢ αὐτάγρετοι A.
[o] δύαι] δύο A.
[p] αἰκιζόμεθα] αἰκιζοίμεθα Trinc. αἰκιζώμεθα Grotius.

17 [a] Φιλήμονος.

Πολύ γ᾽ ἐστὶ πάντων ζῶον ἀθλιώτατον
ἄνθρωπος, εἴ τις ἐξετάζοι κατὰ τρόπον.
τὸν γὰρ βίον περίεργον εἰς τὰ πάντ᾽ ἔχων,
ἀπορεῖ τὰ πλεῖστα [b] διὰ τέλους, πονεῖ τ᾽ ἀεί.
καὶ τοῖς μὲν ἄλλοις πᾶσιν ἡ γῆ θηρίοις
ἑκοῦσα παρέχει τὴν καθ᾽ ἡμέραν τροφὴν,
αὐτὴ πορίζουσ᾽ οὐ λαβοῦσα· πάνυ μόλις 530
[c] ὥσπερ τὸ κατὰ χρέος κεφάλαιον [d] ἐκτίει
τὸ σπέρμα, τοὺς τόκους δ᾽ [e] ἀνευρίσκουσ᾽ ἀεὶ
πρόφασίν τιν᾽ αὐχμὸν ἢ [f] πάχνην ἀποστερεῖ·
καὶ [g] δὴ τυχὸν μὲν διὰ τὸ παρέχειν πράγματα
[h] μόνους ἐν αὐτῇ, καὶ ποιεῖν τἄνω κάτω,
ταύτην παρ᾽ ἡμῶν λαμβάνει τιμωρίαν.

18 [a] Βάθωνος ἐξ Αἰτωλοῦ.

Ἄνθρωπος ὢν ἔπταικας, ἐν δὲ τῷ βίῳ
τέρας ἐστὶν, εἴ τις [b] εὐτύχηκε διὰ βίου.

19 [a] Μενάνδρου.

Ὁ πάντα βουληθεὶς [b] ἂν ἄνθρωπος πονεῖν,
[c] πᾶς ἂν γένοιτο πλούσιος [d] τρόπον οὗτος.

17.

[a] Sic A. Cleric. p. 354. Deest locus Trinc.

[b] διατέλουσ᾽] διὰ τέλους A.

[c] ὥσπερ] ὅπερ B.

[d] ἐκτίει] ἐκτίνει A. B.

[e] εὑρίσκουσ᾽] Forte ἀνευρίσκουσ᾽. Gesner.

[f] πάχνῃ ἀποστερεῖ] πάχνην ἀποστέλλει A. B. ἢ πάχνην ἵν᾽ ἀποστερῇ Grotius. Locum recte digessit Bentleius.

[g] δὴ om. A. B.

[h] μόνους ἑαυτῇ] Ita posui pro eo quod legebatur ἐν αὐτῇ. MS. A. habet ταύτῃ. Grotius. ἐν ταύτῃ item B.

18.

[a] Sic A. Deest locus Trinc.

[b] εὐτυχεῖ] εὐτύχηκε A. B. Infra CV. 30. v. Jacobsius Athen. p. 51.

19.

[a] Sic A. Cleric. p. 246. Deest locus Trinc.

[b] ἂν om. A.

[c] πᾶς] πῶς A. B.

[d] τρόπον οὗτος] Forte τοῦτον τρόπον. Gesner.

Ib. πᾶς ἂν γένοιτο πλούσιος, ταὐτὸν τρόπον] Distinctione et mutatione sensum, transpositione versum sanavimus. Erat, Πᾶς ἂν γένοιτο πλούσιος τρόπον οὗτος. Grotius.

πάλιν φιλόσοφος τινὶ μαθήσει χρώμενος·
τὸ σῶμ' [e] ὑγιαίνει τινὰ δίαιταν προσφέρων.
πλὴν ἕν τι τῶν πάντων ἀδύνατον ἦν ἄρα
εὑρεῖν, δι' οὗ τρόπου τις οὐ [f] λυπήσεται.
οὐ γὰρ τὸ μὴ πράττειν κατὰ νοῦν ἔχει μόνον
[g] λύπην, παρέχει δὲ φροντίδας καὶ τἀγαθά.

20 [a] Φιλήμονος Ἐφήβῳ.

Οὐ τοῖς πλέουσι τὴν θάλατταν γίγνεται
μόνοισι χειμὼν, ὡς ἔοικεν, ἀλλὰ καὶ
τοῖς περιπατοῦσί που, Λάχης, ἐν τῇ στοᾷ,
καὶ τοῖς μένουσιν ἔνδον ἐν ταῖς οἰκίαις.
χ' οἱ μὲν πλέοντες ἐνίοθ' ἡμέραν μίαν
ἢ νύκτα χειμασθέντες, εἶτ' ἐκ τοῦ κακοῦ
σωτηρίας ἐπέτυχον, ἢ τὸ πνεῦμα γὰρ
[b] αὐτοὺς τὸ σῶζον [c] ἧκεν, ἢ 'φάνη λιμήν.
ἐμοὶ δὲ τοῦτ' οὐκ ἔστιν, οὐκ ἐς ἡμέραν
χειμάζομαι μίαν γὰρ, εἰς τὸ ζῆν δ' ὅλον·
ἀεὶ τὸ λυπεῖσθαι δὲ μεῖζον γίγνεται.

21 [a] Εὐριπίδου Θυέστου.

Εἰ δ' ἄτερ πόνων
δοκεῖς ἔσεσθαι, μωρὸς εἶ, θνητὸς γεγώς.

22 [a] Εὐριπίδου Ἀλκμήνης.

Ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ
τίκτει βροτοῖς.

[e] ὑγιαίνει] ὑγιαίνειν A. B.

[f] λυπήσεται] λυπηθήσεται A. B.

[g] λύπην· παρέχει] Recte sic MS. A. pro quo vulgo λύπην πῦρ ἔχει. Grotius. MS. A. omnino consentit cum editis libris: verum tamen videtur παρέχει.

20.

[a] Sic A. Cleric. p. 304. Deest locus Trinc.

[b] αὐτοὺς ὁ σώζων ἦλθεν ἢ ἐφάνη λιμὴν] Ita Salmasius emendavit, cum vulgo esset ἢ μένη ἐφάνη, et in MS. A. ἡμέρα ἐφάνη. Grotius.

[c] ἢ μένη] Vox corrupta: lego, ἥτις ἐπεφάνη. Gesner. ἧκεν ἢ Koenius ad Greg. Dial. Att. LXXIV.

21.

[a] Sic A. Scil. fr. 2. Simpl. Εὐριπίδου Trinc.

22.

[a] Sic Voss. Arsen. Deest lemma Trinc.

23 [a] Σοφοκλέους Μυσῶν.

Ἄμοχθος γὰρ οὐδείς· ὁ δ' ἥκιστα ἔχων, μακάρτατος.

24 [a] Σόλωνος.

Οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτὸς, ἀλλὰ [b] πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

25 [a] Βακχυλίδου Προσωδιῶν.

Πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε πόνους, ἄλλοισιν ἄλλους.

26 [a] Τοῦ αὐτοῦ Ἐπινικῶν.

Οὐ γάρ τις ἐπιχθονίων πάντα γ' εὐδαίμων ἔφυ.

27 [a] Ἐν τῷ αὐτῷ.

Θνατοῖσι μὴ φῦναι φέριστον, μηδ' ἀελίου
προσιδεῖν φέγγος, ὄλβιος δὲ οὐδεὶς βροτῶν πάντα χρόνον.

28 [a] Ἡρώδα Μιμιάμβων.

Ὡς οἰκίην οὐκ ἔστιν εὐμαρέως εὑρεῖν
ἄνευ κακῶν ζώουσαν· ὃς δ' ἔχει μεῖον,
[b] τούτου τὶ μεῖζον τοῦ ἑτέρου δοκεῖ πρήσσειν.

29 [a] Σιμωνίδου.

Ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν, ἥτε νέων στήθεσιν ἐμφύεται. 531

23.
[a] Sic A. Scil. fr. 2. Simpl. Σοφοκλέ. Trinc.

24.
[a] Sic A. Trinc.
[b] πόνηροι] Ita scribenda hoc loco hæc vox, non ut vulgo πονηροί. Notum significationis discrimen. Grotius.

25.
[a] Sic A. Deest lemma Trinc.

26.
[a] Sic fere A. ubi ἐπὶ νικῶν. Deest lemma Trinc.

27.
[a] Sic A. Deest lemma Trinc.

28.
[a] Sic A. Ἡροδότου Ἡμιάμβων Tr.
[b] τούτου] Lego οὗτος. Gesner.

29.
[a] Sic A. Trinc. Desunt quinque vss. priores A.

θνητῶν δ᾽ ὄφρα τὶς ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ᾽ ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ᾽ ἔχει [b] γηρασσέμεν, οὐδὲ θανεῖσθαι,
οὐδ᾽ ὑγιὴς ὅτ᾽ ἂν ᾖ, φροντίδ᾽ ἔχει καμάτου.
[c] νηπίοις ταύτῃ κεῖται νόος· οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ᾽ ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

30 [a] Διονυσίου τοῦ τυράννου Ἀλκμήνης.

Εἰ δ᾽ ἀξιοῖς σοι μηδὲν ἀλγεινόν ποτε
[b] μηδὲν ἔσεσθαι, μακαρίως ἔχεις φρενῶν·
θεῶν γὰρ ἕξειν βίοτον οὐ θνητῶν δοκεῖς.

31 [a] Εὐριπίδου Ἀνδρομέδας.

Χρήμασιν γὰρ εὐτυχῶ·
ταῖς συμφοραῖσι δ᾽, ὡς ὁρᾷς, οὐκ εὐτυχῶ.

32 [a] Τοῦ αὐτοῦ Αἰόλου.

Γλυκεῖα γάρ μοι φροντὶς οὐδαμῆ βίου.

33 [a] Ἡσιόδου Ἔργων.

Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
νοῦσοι δ᾽ [b] ἀνθρώποισιν ἐφ᾽ ἡμέρῃ αἱ δ᾽ ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι.

34 [a] Εὐριπίδου Ἀντιόπης.

Φεῦ φεῦ, [b] βρότειαι πημάτων ὅσαι τύχαι,

[b] γηράσσεμεν] γῆρας ἔμεν A.
[c] νηπίοις] νηπίοισι A. νηπυτίοις B. νήπιοι, οἷς Ursinus.

30.

[a] Sic A. Deest locus Trinc.
[b] μηδὲν ἔσεσθαι] μηδὲ ἓν ἔσεσθαι Grotius. Μήδει᾽ ἔσεσθαι Elmsleius in Euripid. Med. p. 74. n.

31.

[a] Sic fere A. ubi Ἀνδρομέδου. Scil. fr. 17. Simpl. Εὐριπίδου Tr.

32.

[a] Sic A. Scil. fr. 15. Deest lemma Trinc.

33.

[a] Sic A. Scil. v. 101. Simpl. Ἡσιόδου Trinc.
[b] ἀνθρώποισιν ἐφ᾽ ἡμέρῃ αἱ δ᾽] ανων ἐφημέρι᾽ αἱ δ᾽ ἐπὶ Voss. ἐφημέριαι δ᾽ A. B. ἐφημέρι᾽ αἱ δ᾽ Trinc.

34.

[a] Sic A. Scil. fr. 21. Simpl. Εὐριπίδου Trinc.
[b] βρότειαι] βρότειοι B.

ὅσαι τε μορφαὶ, τέρμα δ' οὐκ εἴποι τὶς ἄν.

35 [a] Σοφοκλέους Οἰδίποδι τυράννῳ.

[b] Τίς γὰρ τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει,
[c] ἢ τοσοῦτον ὅσον δοκεῖν,
καὶ [d] δόξαντ' ἀποκλῖναι;

36 [a] Εὐριπίδου Ἀντιόπης.

Πόλλ' ἔστιν ἀνθρώποισιν, [b] ὦ ξένοι, κακά.

37 [a] Μενάνδρου.

Ἄνευ κακῶν γὰρ οἰκίαν οἰκουμένην
οὐκ ἔστιν εὑρεῖν, ἀλλὰ τοῖς μὲν ἡ τύχη
τούτων δίδωσιν ἀφθονίαν, τοῖς δ' οἱ τρόποι.

38 [a] Εὐριπίδου Ἀντιόπης.

Ἔχει [b] λόγον καὶ τοῦτο· τῶν πολλῶν βροτῶν
δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.

39 [a] Εὐριπίδου Βελλεροφόντου.

Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλλούμενον,
κράτιστον εἶναι φημὶ μὴ φῦναι [b] βροτῷ.

40 [a] Εὐριπίδου Εὐρυσθέως.

Οὐκ οἶδ' ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας

35.

[a] Sic fere A. ubi τυράννου. Scil. v. 489. Deest locus Trinc.

[b] τίς γὰρ τίς γὰρ] Illud γὰρ repetendum. Sunt enim Glyconici tres, quos Pherecratius sequitur. Grotius.

[c] ἢ om. A. B.

[d] δόξαντ'] δόξαν A. B.

36.

[a] Sic A. Scil. fr. 22. Deest locus Trinc.

[b] ὦ ξένοι] Vulgo male ξένε. Allocutio est ad chorum. Tale illud infra tit. CVI. ὅταν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς. Grotius. MS. A. præbet ξένοι.

37.

[a] Sic A. Cleric. p. 246. Deest locus Trinc.

38.

[a] Sic A. Scil. fr. 23. Deest locus Trinc.

[b] λόγων] λόγον A. B. Mox A. inserit λόγον post τοῦτο.

39.

[a] Sic A. Scil. fr. 16. Deest locus Trinc.

[b] βροτῷ] βροτὸν A.

40.

[a] Sic A. Scil. fr. 7. Deest lemma Trinc.

ὀρθῶς [b] ἀθρήσαντ' εἰδέναι τὸ δραστέον.

41 [a] Εὐριπίδου Ἰφιγενείας.

Πολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτοῖς,
μορφαῖς δὲ διαφέρουσιν, [b] ἓν δ' ἂν εὐτυχὲς
μόλις πότ' [c] ἐξεύροι τις ἀνθρώπου βίῳ.

42 [a] Εὐριπίδου Ὀρέστης.

Οὐκ ἔστιν οὐδὲν [b] δεινὸν ὧδ' εἰπεῖν ἔπος, 50
οὐδὲ πάθος, οὐδὲ συμφορὰ [c] θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.

43 [a] Σοφοκλέους.

Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν.

44 [a] Ὦ δαῖμον, ὡς οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς
τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.

45 [a] Σοφοκλέους Τηρεῖ.

Τὰν [b] δ' ἀνθρώπου ζωὰν ποικιλομήτιδες ἆται
πημάτων πάσαις μεταλλάσσουσιν ὥραις. 532

46 [a] Ζώοι τὶς ἀνθρώπων τὸ κατ' ἦμαρ, ὅπως ἥδιστα πορσύνων,
τὸ δ' ἐς αὔριον αἰεὶ τυφλὸν ἕρπει.

47 [a] Εὐριπίδου Πρωτεσίλαος.

Οὐ θαῦμ' ἔλεξας θνητὸν ὄντα δυστυχεῖν.

[b] ἀθρήσαντ'] σταθμήσαντ' Piersonus apud Valcken. Diatr. p. 171.

41.

[a] Sic A. Locus est ex Ione 381. Deest lemma Trinc.

[b] ἓν δ' ἄνευ τύχης] ἐν δ' εὐτυχίαις A. B. οὐδ' ἄνευ τύχης Gesner. ἕνα δ' ἄνευ τύχης Grotius probante Valckenærio Diatr. p. 229.

[c] ἐξεύροιεν] ἐξεύροι τις A. Dedi mox βίῳ pro βίον ex Euripide.

42.

[a] Sic A. Scil. init. Deest lemma Trinc.

[b] δεινὸν om. B.

[c] θεήλατος] θεήλατον A.

43.

[a] Sic A. Scil. fr. 27. Deest locus Trinc.

44.

[a] Euripidi tribuere videtur Tr. Brunckius Sophocli fr. inc. 27. e cod. Vindob. Ex A. nihil enotavi.

45.

[a] Sic A. Scil. fr. 9. Simpl. Σοφοκλέ. Trinc.

[b] δ' ἀνθρώπου] δι' ἀνθρώπου Trinc.

46.

[a] Deest lemma Trinc. v. Soph. fr. inc. 27. Ex A. nihil enotavi.

47.

[a] Sic A. Scil. fr. 4. Deest lemma Trinc.

48 [a] Σοφοκλῆς Αἴαντι.

Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.

49 [a] Αἰσχύλου.

Τὸ γὰρ βρότειον σπέρμ' [b] ἐφήμερα φρονεῖ,
καὶ πιστὸν οὐδὲν μᾶλλον, ἢ καπνοῦ σκιά.

50 [a] Ὁμήρου.

Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
ζώειν [b] ἀχνυμένοις.

51 [a] Τοῦ αὐτοῦ.

Οὐ μὲν γάρ τί ποτ' ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς,
πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

52 [a] Τοῦ αὐτοῦ.

[b] Τί γὰρ δὴ δεῖ θνητῶν ἕνεκα πτολεμίζειν
δειλῶν; οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι, οὐδέ τις ἀλκή.

53 [a] Μενάνδρου Συναριστώσαις.

Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει,
πολλῶν τε μεστόν ἐστι τὸ ζῆν φροντίδων.

54 [a] Μενάνδρου Κιθαριστῇ.

[b] Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος.

48.

[a] Sic A. fr. Aj. Locr. 3. Deest lemma Trinc.

49.

[a] Sic A. Trinc. Scil. fr. 22.

[b] ἐφημέρια] ἐφήμερα A. B.

50.

[a] Sic A. Deest lemma Trinc. Scil. Il. ω. 525.

[b] ἀχνυμένους] ἀχνυμένοις A. B.

51.

[a] Sic A. Scil. Il. ρ. 446. Deest lemma Trinc.

52.

[a] Sic A. Scil. Il. φ. 463. Deest lemma Trinc.

[b] τὶ γὰρ δὴ δεῖ θνητῶν ἕνεκα πτολεμίζειν] τί γὰρ δεῖ βροτῶν ἕ. πολεμίζειν A.

53.

[a] Sic A. Cleric. p. 168. Simpl. Μενάνδρου Trinc.

54.

[a] Sic A. Cleric. p. 104. Deest locus Trinc.

[b] Diogenes Laert. in Zenone citat. τρυφερῷ βίῳ σύνεστιν, ἐνδόξῳ βίῳ Σύνεστιν, ἀπόρῳ συγκαταγηράσκει βίῳ. Plut. [II. p. 466.] Grotius in mss.

55 [a] Θεόγνιδος.

Οὔ τι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται·
[b] πολλῷ γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.

56 [a] Ἀντιφῶντος.

[b] Εὐκατηγόρητος πᾶς ὁ βίος θαυμαστῶς, ὦ μακάριε, καὶ οὐδὲν ἔχων περιττὸν, οὐδὲ μέγα καὶ σεμνόν· ἀλλὰ ταῦτα μικρὰ, καὶ ἀσθενῆ, καὶ ὀλιγοχρόνια, καὶ ἀναμεμιγμένα λύπαις μεγάλαις.

57 [a] Ποσιδίππου.

[b] Ποίην τὶς βιότοιο [c] τάμῃ τρίβον; εἰν ἀγορῇ μὲν,
νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις,
φροντίδες· ἐν δ' ἀγροῖς, καμάτων ἅλις· ἐν δὲ θαλάσσῃ,
τάρβος· ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τὶ, δέος·
ἢν δ' ἀπορῇς, [d] ἀνιαρόν· ἔχεις γάμον, οὐκ ἀμέριμνος
ἔσσεαι· οὐ γαμέεις, [e] ζήσῃ ἐρημότερος.
τέκνα, πόνοι· πήρωσις, [f] ἄπαις βίος· αἱ νεότητες
ἄφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τῶν πάντων τόδε λώϊον, [g] ἢὲ γενέσθαι
μήποτε, [h] ἢὲ θανεῖν αὐτίκα τικτόμενον.

55.

[a] Sic A. Scil. v. 617. Deest locus Trinc.

[b] πολλῷ] πολλῶν B.

56.

[a] Sic Trinc. Ἀντιφάνης A.

[b] Versus quatuor cum dimidio ex his verbis fecimus, quæ confusa erant ut versus speciem non præferrent. Grotius. Hac parte sæpe peccavit in Stobæo suo Grotius, cujus viri maximi, ut hominis, errores tamen præcavendi sunt: ex gr. quæ dedit ut Antiphanis p. 411. miris modis interpolata, verba sunt Antiphontis. Valcken. Diatr. p. 195.

57.

[a] Sic A. Trinc.

[b] ποίην] ποίαν A.

[c] τάμοι] τάμῃ A. τὰ μὴ Trinc.

[d] ἀνιηρὸν] ἀνιαρὸν A.

[e] ζῇς ἔτ' ἐρημότερος] ζήσῃ ἐρημότερος A. ἐρημότερον B.

[f] ἄπαις βίος] ἀπέσβη A.

[g] ἢὲ] ἢ τὸ B. ubi in marg. ἦν ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις.

[h] ἢὲ θανεῖν] ἢ θανεῖν A. ἢ τὸ θ. B. ἢ θ. Trinc. (τὸ written above ἢ θ.)

58 [a] Δημοκρίτου. 533

Διζημένοισι τἀγαθὰ μόλις παραγίγνεται· τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι.

59 [a] Σιμωνίδου.

Σιμωνίδης ἐρωτηθεὶς πόσον χρόνον [b] βιώῃ, Χρόνον, εἶπεν, ὀλίγον, ἔτη δὲ πολλά.

60 [a] Ἀριστοτέλους.

Τί γάρ ἐστιν ἄνθρωπος; Ἀσθενείας ὑπόδειγμα, καιροῦ λάφυρον, τύχης παίγνιον, μεταπτώσεως εἰκὼν, φθόνου καὶ συμφορᾶς πλάστιγξ, τὸ δὲ λοιπὸν φλέγμα καὶ χολή.

61 [a] Δημοκρίτου.

Ἅπαντες ἄνθρωποι συνειδήσει τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν [b] μυθέοντες φόβου.

62 [a] Ἡροδότου.

Αἱ γάρ τοι συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράττουσι καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον· οὕτως ὁ μὲν θάνατος μοχθηρᾶς ἐούσης τῆς ζωῆς καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν· ὁ δὲ θεὸς γλυκὺν τεύξας τὸν αἰῶνα δυσζύνετος ἐν αὐτῷ εὑρίσκεται ἐών.

63 [a] Ἀντιφῶντος.

Τὸ ζῆν ἔοικε φρουρᾷ ἐφημέρῳ· τό τε μῆκος τοῦ βίου ἡμέρᾳ

58.
[a] Sic A. Trinc.

59.
[a] Sic A. Deest lemma Trinc.
[b] βιώῃ] βιῶν A. βοιώη Trinc.

60.
[a] Sic A. Trinc.

61.
[a] Sic A. Trinc.
[b] μυθέοντες φ.] Restituendum μυθοπλαστέοντες χρόνου ex CXXI. 15. monet Valckenærius ad Euripid. Hippol. 191. Sequentem ex Herodoto locum omisit Gesnerus. Habet Trinc. cum MSS. Vide infra n. 83.

62.
[a] Sic A. Trinc. VII. 46. In extr. πλέξας pro τεύξας Trinc.

63.
[a] Sic A. Trinc.

μιᾷ, ὡς ἔπος εἰπεῖν, [b]ᾗ ἀναβλέψαντες πρὸς τὸ φῶς παρεγγυῶμεν τοῖς ἐπιγιγνομένοις ἑτέροις.

64 [a]Ἡροδότου.

Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐχ οἱ ἄνθρωποι 534 τῶν συμφορῶν.

65 [a]Δημοκρίτου.

Γιγνώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν, ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον, πολλῇσί τε κηρσὶ συμπεφυρμένην, καὶ ἀμηχανίῃσιν· [b]ὅκως ἂν πρὸς μετρίης τε κτήσιος ἐπιμελῆται, καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ [c]ταλαιπωρίη.

66 [a]Ἑρμολόχου.

Ἀτέκμαρτος ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστὸν, πλανᾶται συντυχίαις· ἐλπὶς δὲ [b]φρένας παραθαρσύνει· τὸ δὲ μέλλον ἀκριβῶς οἶδεν οὐδεὶς, [[c]οὐδ'] ὁ θάνατος ὅπη φέρεται· θεὸς δὲ πάντας ἐν κινδύνοις [d]θνατοὺς κυβερνᾷ· ἀντιπνέει δὲ πολλάκις ἀτυχίας δεινή τις αὔρα.

67 [a]Ἐκ τῶν Κλειτομάχου.

Οὐδὲν τῶν ἀνθρωπίνων βέβαιόν ἐστιν, ἀλλὰ πάντα φέρεται φορᾷ τινι παραλόγῳ.

68 [a]Ζήνωνος.

[b]Ζήνων ἔλεγεν, οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι, ὡς χρόνου. Βραχὺς γὰρ ὄντως ὁ βίος, ἡ δὲ τέχνη μακρὴ, καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰάσασθαι δυναμένη.

[b] ἦν] ᾗ B.

64.

[a] Sic A. Trinc. Scil. VII. 49.

65.

[a] Sic A. Trinc.

[b] ὅκως] ὅμως A. B.

[c] ταλαιπωρίη] ταλαιπωρέη A. B.

66.

[a] Sic A. Ἑρμολάου Trinc.

[b] φρένας] φρένα A.

[c] οὐδ' om. A. Trinc.

[d] θνατοὺς] θνητοὺς B. Ex poeta nescio quo hæc expressa esse notavit Jacobsius in Antholog. T. X. p. 249.

67.

[a] Sic A. Deest locus Trinc.

68.

[a] Sic A. Deest lemma Trinc.

[b] Vid. Diogen. Laert. VII. 23. ibi Menag.

69 [a] Σωκράτους.

Σωκράτης ἔλεγε νομίζειν ἀεὶ τοὺς θεοὺς γελᾶν ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν· μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα, οὐκ ἴσης σπουδῆς [b] τυγχάνειν.

70 [a] Νεοπτολέμου.

[b] Νεοπτόλεμον τὸν τῆς τραγῳδίας ὑποκριτὴν ἤρετό τις, τί θαυμάζοι τῶν ὑπ' Αἰσχύλου λεχθέντων, ἢ Σοφοκλέους, ἢ Εὐριπίδου· [c] Οὐδὲν μὲν τούτων, εἶπεν· ὃ δ' αὐτὸς ἐθεάσατο ἐπὶ μείζονος σκηνῆς, Φίλιππον ἐν τοῖς τῆς θυγατρὸς Κλεοπάτρας γάμοις [d] πομπεύσαντα, καὶ τρισκαιδέκατον θεὸν ἐπικληθέντα, [e] τῇ ἑξῆς ἐπισφαγέντα ἐν τῷ θεάτρῳ, καὶ [f] ἐρριμμένον.

71 [a] Ἱπποδάμου Πυθαγορείου ἐκ τοῦ Περὶ Πολιτείας.

Πάντα μὲν ὦν τὰ [b] θνατὰ δι' ἀνάγκαν φύσιος ἐν μεταβολαῖς καλινδεῖται, τὰ μὲν ἀπὸ τῶν χερηόνων ἐπὶ τὰ βελτίονα μετατροπὰν λαμβάνοντα, τὰ δὲ ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χερήονα. Γενόμενα γὰρ ἀέξεται τὰ πράγματα, καὶ [c] αὐξηθέντα ἀκμάζει, καὶ [d] ἀκμάσαντα γηράσκει, καὶ τέλος ὕστατα φθείρεται· τὰ μὲν ὑπὸ φύσιος γινόμενα δι' αὐτᾶς τᾶς φύσιος ἐς τὸ ἄδηλον αὐτᾶς τερματιζόμενα, καὶ πάλιν ἐκ τοῦ ἀδήλου ἐς τὸ θνατὸν ἐπισυνερχόμενα ἀμοιβᾷ γενέσιος, καὶ ἀνταποδόσει φθορᾶς, κύκλον [e] αὐταύτας ἀναποδιζοίσας· τὰ δὲ καὶ ὑπὸ ἀφροσύνας ἀνθρωπίνας, ὕβρει

69.

[a] Sic A. Deest lemma Trinc.

[b] τυγχάνει] τυγχάνειν A.

70.

[a] Sic A. Deest lemma Trinc.

[b] De Neoptolemo, hoc loco non prætermisso, plurima collegit P. Leopardus Emend. IX. 15.

ὅδι
[c] οὐδὲν] ουδὲ A.

[d] πομπεύσαντα] πομπεύσοντα B.

καὶ
[e] τῇ] τῇ A.

[f] ἐρριμμένον] ἐριμμένον A.

71.

[a] Sic A. Trinc.

[b] θνητὰ] θνατὰ A.

[c] αὐξηθέντα] ἀεξηθέντα B. ἀεξυνθέντα Trinc.

[d] ἀκμάσαντα] ἀκμάζοντα Trinc.

[e] αὖ ταύτας] αὖ τὰς A. B. Redeat forma Dorica αὐταύτας.

καὶ κόρῳ [f] ζεσάσας. Οἶκοί τε καὶ πόλεις ὑπὸ μεγάλων εὐτυχημάτων ἀερθεῖσαι, καὶ [g] βίων βαθυπλούτων, ἅμα τοῖς μακαριζομένοις ἀγαθοῖς ἐς τὸν ὄλεθρον ἔβασαν. [h] Εἴτω δεῖ καὶ συμβαίνει πᾶσαν ἁγεμονίαν τρισὶ χρόνοις ὁρίζεσθαι· ἑνὶ μὲν καὶ πρώτῳ τῷ περιέχοντι τὰν [i] κτᾶσιν· δευτέρῳ δὲ, τῷ τὰν ἀπόλαυσιν· [k] τελευταίῳ δὲ, τῷ τὰν ἀπόλεσιν. Τοὶ μὲν γὰρ [l] πρᾶτοι ἀτυχέες ἐόντες, ἐκτήσαντο· τοὶ δὲ δεύτεροι εὐτυχέες γενόμενοι, διέφθειραν. Τὰ μὲν ὦν ὑπὸ θεῶν διοικημένα, ἄφθαρτα δὲ ὄντα, ὑπὸ ἀφθάρτων τὸν ἀεὶ χρόνον πέφυκε σώζεσθαι· τὰ δ' ὑπ' ἀνθρώπων θνατὰ ὄντα, ὑπὸ θνατῶν ἐπιδέχεται ποικίλαν ἀεὶ μεταβολάν. Κόρου μὲν γὰρ καὶ ὕβριος πέρας, ὄλεθρος· ἀπορίας δὲ καὶ στενοχωρίας πέρας, ἀνδραγαθία βίου ἀνθρωπίνου. [m] Τὸ καὶ ἀφ' ἑτέρων αὐτὸν περαίνεσθαι.

72 [a] Ἐκ τῶν Τέλητος Περὶ τοῦ μὴ εἶναι τέλος ἡδονήν.

Εἰ δὲ δεῖ τὸν εὐδαίμονα βίον ἐκ τῶν πλεοναζουσῶν ἡδονῶν συγκρῖναι, οὐδεὶς, φησὶν ὁ Κράτης, εὐδαίμων γεγονὼς ἂν εἴη. Ἀλλ' εἰ θέλει τὶς ἐκλογίσασθαι ἐν ὅλῳ τῷ βίῳ πάσας τὰς ἡλικίας, εὑρήσει πολλῷ πλείους τὰς ἀλγηδόνας. Πρῶτον μὲν γὰρ τοῦ παντὸς χρόνου ὁ ἥμισυς ἀδιάφορος, ἐν ᾧ καθεύδω· εἶθ' ὁ πρῶτος ὁ κατὰ τὴν [b] παιδοτροφίαν ἐπίπονος. Πεινᾷ τὸ παιδίον, ἡ δὲ τροφὸς κατακοιμίζει· διψᾷ, ἡ δὲ λούει· κοιμηθῆναι θέλει, ἡ δὲ κρόταλον ἔχουσα ψοφεῖ.

[f] ζεσάσας] ζησάσας Trinc.

[g] βίον βαθὺν πλουτεῦσαι] βίον βαθυπλούτων A. B. Dedi βίων. Sed malim βίω βαθυπλούτω.

[h] εἴτω δεῖ] Forte οὕτω δὴ. Gesner. ἴστω δ' εἰ A. B.

[i] κτῆσιν] κτᾶσιν A.

[k] τελευταίῳ δὲ τῷ τὰν ἀπόλεσιν om. A. B.

[l] πρῶτοι] πρᾶτοι A.

[m] (τὸ καὶ—περαίνεσθαι)] Parenthesi inclusa sensum non reddunt. Gesner.

72.

[a] Sic A. Ἐκ τῶν Τέλητος tantum Trinc.

[b] παιδοποιΐαν] παιδοτροφίαν, ut infra, Valckenærius, Wyttenbachius in Plutarch. p. 24=40. Jacobsius in Athenæum p. 48.

Εἰ δ' ἐκπέφευγε τὴν [c] τιτθὴν, παρέλαβε πάλιν ὁ παιδαγωγὸς, παιδοτρίβης, γραμματοδιδάσκαλος, ἁρμονικὸς, ζωγράφος. Προάγει [d] ἡλικία, προσγίγνεται ἀριθμητικὸς, γεωμέτρης, πωλοδάμνης, [e] ὑπὸ τούτων πάντων μαστιγοῦται, ὄρθρου ἐγείρεται, σχολάσαι οὐκ ἔστιν. Ἔφηβος γέγονεν, ἔμπαλιν τὸν κοσμητὴν φοβεῖται, τὸν παιδοτρίβην, τὸν ὁπλόμαχον, τὸν γυμνασίαρχον. Ὑπὸ πάντων τούτων μαστιγοῦται, παρατηρεῖται, τραχηλίζεται. Ἐξ ἐφήβων ἐστὶ, καὶ ἤδη εἴκοσι ἐτῶν, ἔτι φοβεῖται, καὶ παρατηρεῖ καὶ [f] γυμνασίαρχον καὶ στρατηγόν. Παρακοιτεῖν ὅπου δεῖ, οὗτοι παρακοιτοῦσι· φυλάττειν καὶ ἀγρυπνεῖν, οὗτοι φυλάττουσιν· εἰς τὰ πλοῖα ἐμβαίνειν, οὗτοι ἐμβαίνουσιν. Ἀνὴρ γέγονε καὶ ἀκμάζει, στρατεύεται καὶ πρεσβεύει ὑπὲρ τῆς πόλεως, πολιτεύεται, στρατηγεῖ, χορηγεῖ, ἀγωνοθετεῖ, μακαρίζει ἐκεῖνον τὸν βίον, ὃν παῖς ὢν ἐβίωσε. Παρήκμασε, καὶ ἔρχεται εἰς γῆρας, πάλιν παιδοτροφίαν ὑπομένει, καὶ ἐπιποθεῖ τὴν νεότητα. Καὶ

[g] ἡ νεότης μοι φίλον· τὸ δὲ γῆρας
βαρύτερον Αἴτνης.

Οὐχ ὁρῶ οὖν, πῶς εὐδαίμονά τις βίον ἔσται βεβιωκὼς, εἴπερ δεῖ τῷ πλεονασμῷ τῶν ἡδονῶν ἐκμετρῆσαι.

73 [a] Ἡροδότου ἱστορίας ζ.

Ἐπεὶ δ' ἐγένοντο ἐν Ἀβύδῳ [[b] μέσῃ,] ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν· καὶ προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ ἐπίτηδες αὐτῷ ταύτῃ προεξέδρη λίθου [[c] λευκοῦ.] Ὡς δ' ἑώρα πάντα τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν [d] ἀποκεκρυμ-

[c] τιτθὴν] τιθὴν A. Trinc.
[d] ἡλικία] ἡλικίαν A. B.
[e] ὑπὸ τούτων πάντων μαστιγοῦται delendum censet Wyttenbachius.
[f] γυμνασίαρχον] Leg. ταξίαρχον. Valcken.
[g] ἡ νεότης] Ex Euripidis Herc. Fur. v. supra XCVII. 23. pag. 524, 30.

73.

[a] Sic A. Scil. VII. 44. Simpl. Ἡροδότου Trinc.
[b] μέσῃ om. A. Trinc.
[c] λευκοῦ om. A. Trinc.
[d] ἀποκεκρυμμένον] ὑποκεκρυμμένον A. B.

μένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, [e]ἐνθαῦτα ὁ Ξέρξης ἑωυτὸν ἐμακάρισε· μετὰ δὲ τοῦτο, ἐδάκρυσε. Μαθὼν δέ μιν Ἀρτάβανος ὁ [f]πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως, οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα· οὗτος οὖν ἀνὴρ φρασθεὶς Ξέρξην δακρύσαντα, [g]ἤρετο τάδε· Ὦ βασιλεῦ, ὡς πολὺ ἀλλήλων κεχωρισμένα [h]εἰργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ [i]σεωυτὸν, δακρύεις. Ὁ δ' εἶπεν· [k]εἰσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς εἴη [l]ὁ πᾶς ἀνθρώπινος βίος· εἰ τούτων γε ὄντων [m]τοσούτων οὐδεὶς ἐς [n]ἑκατοστὸν ἔτος περιέσται. Ὁ δὲ ἠμείβετο, λέγων, ἕτερα τούτου παρὰ τὴν ζωὴν πεπόνθαμεν οἰκτρότερα· ἐν γὰρ οὕτω βραχεῖ βίῳ οὐδεὶς οὕτως ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκεν, οὔτε τούτων, οὔτε τῶν ἄλλων, τῷ οὐ παρα- 536
στήσεται πολλάκις καὶ οὐχὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον, ἢ ζῆν· αἵτε γὰρ συμφοραὶ συμπίπτουσαι καὶ αἱ νοῦσοι συνταράττουσι, καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. Οὕτως ὁ μὲν θάνατος, μοχθηρῆς ἐούσης τῆς ζωῆς, καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν· ὁ δὲ θεὸς γλυκὺν [o]τάξας τὸν αἰῶνα, [p]φθονερὸς ἐν [q]αὐτῷ εὑρίσκεται ἐών.

74 [b]Ἐπίσταμαι δὲ [c]τοσοῦτον, ὅτι εἰ πάντες ἄνθρωποι τὰ οἰκήϊα κακὰ εἰς μέσον συνενέγκαιεν, ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισιν, ἐγκύψαντες ἂν εἰς τὰ τῶν ἄλλων

[e] ἐνταῦθα] ἐνταῦτα Trinc.
[f] πάτρως] πατρῶος Trinc.
[g] ἤρετο] εἴρετο Gesn. marg.
[h] εἰργάσαιο νῦν] ἔργα σὰ, ὁ νῦν A. Vide infra CXXII. 34. et Valckenærium in Herod. εἰργάσαο Tr.
[i] σεωυτὸν] ἑωυτὸν A. Trinc.
[k] εἰσῆλθε] ἐπῆλθε Gesn. marg. B. ἐσῆλθε Trinc.
[l] ὁ πᾶς] Deest ὁ A. Supra βραχὺ Trinc.
[m] τοσούτων] τοσοῦτον Trinc.
[n] ἑκατοστὸν] ἕκαστον A. ἑκατὸν Trinc. Mox ἀμείβετο Trinc.
[o] τάξας] τεύξας A. B. γεύσας et al. πλέξας et al. τεύξας Gesn. marg.
[p] φθονερὸς] δυσξύνετος Gesn. marg.
[q] αὐτῷ] ἑαυτῷ B. ἐὼν in fine om. A. Trinc.

74.

[b] ἐπίσταμαι—εἰσηνέγκαντο om. B. v. Herod. VII. 152.

κακὰ, ἀσπασίως ἕκαστοι αὐτῶν ἐπιφεροίατο ὀπίσω τὰ εἰσηνέγκαντο.

Εἶναι δὲ θνητῶν οὐδένα, οὐδ᾽ ἔσεσθαι, τῷ τὸ κακὸν ἐξ ἀρχῆς γιγνομένῳ οὐ συνεμίχθη· τοῖσι δὲ μεγίστοισιν αὐτῶν, μέγιστα.

75 [a] Πλάτωνος ἐκ τοῦ Ἀξιόχου.

[b] Ποῖον, ἔφη, μέρος τῆς ἡλικίας ἄμοιρον τῶν ἀνιαρῶν; οὐ κατὰ μὲν τὴν πρώτην γένεσιν τὸ νήπιον κλαίει, τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον; οὐ λείπεται γοῦν οὐδεμιᾶς ἀλγηδόνος, ἀλλὰ δι᾽ ἔνδειαν, ἢ περιψυγμὸν, ἢ θάλπος, ἢ πληγὴν ὀδυνᾶται, λαλῆσαι μὲν οὔπω δυνάμενον ἃ πάσχει, κλαυθμυριζόμενον δὲ, καὶ [c] ταύτην τῆς δυσαρεστήσεως μίαν ἔχον φωνήν· ὁπότ᾽ ἂν δὲ εἰς τὴν [d] ἑπταετίαν ἀφίκηται πολλοὺς πόνους [e] διαντλῆσαν, ἐπέστησαν παιδαγωγοὶ, καὶ [f] γραμματισταὶ, καὶ παιδοτρίβαι τυραννοῦντες· αὐξανομένῳ δὲ κριτικοὶ, γεωμέτραι, τακτικοὶ, πλῆθος δεσποτῶν· ἐπειδ᾽ ἂν δὲ εἰς τοὺς ἐφήβους ἐγγραφῇ, [g] κοσμητὴς καὶ φόβος χείρων, ἔπειτα Λύκιον, καὶ Ἀκαδημία, καὶ γυμνασιαρχία, καὶ ῥάβδοι, καὶ κακῶν ἀμετρία. Καὶ πᾶς ὁ τοῦ μειρακίου χρόνος ὑπὸ σωφρονιστὰς, καὶ τὴν ἐπὶ τοὺς νέους αἵρεσιν τῆς ἐξ Ἀρείου πάγου βουλῆς· ἐπειδ᾽ ἂν δὲ ἀπολυθῇ τούτων, φροντίδες ἄντικρυς ὑπέδυσαν καὶ διαλογισμοὶ, τίνα τὶς τοῦ ζῆν ὁδὸν [h] ἐνστήσεται· καὶ τοῖς ὕστερον χαλεποῖς ἐφάνη τὰ πρῶτα [i] παιδιὰ, καὶ νηπίων ὡς ἀληθῶς φόβητρα· στρατεῖαι γὰρ, καὶ τραύματα, καὶ συνεχεῖς ἀγῶνες.

[c] τοσοῦτον] τοσούτῳ Trinc. Proxima leguntur Herod. VII. 203.

76.

[a] Sic A. Trinc. Scil. p. 366.

[b] Vide quæ de hoc loco commentatus est Wyttenbachius Animadv. in Plutarch. p. 24.

[c] ταύτην] ταύτης A. B.

[d] ἑπταετίαν] ἑπταετείαν A.

[e] διαντλῆσαν] διατλῆσαν A. p. m. Trinc.

[f] γραμματισταὶ] γυμνασταὶ Gesner. marg.

[g] κοσμήτης] καὶ φόβος χείρων εἴη τὸ λύκειον Gesn. marg.

[h] ἐνστήσεται] ἐνστήσηται A.

[i] παιδικὰ] παιδία Trinc. παιδιὰ A. B.

Εἶτα λαθὸν [k] ὑπῆλθε τὸ γῆρας, εἰς ὃ πᾶν συρρεῖ τὸ τῆς
φύσεως ἐπίκηρον καὶ δυσαλθές. Κἂν μή τις θᾶττον ὡς
χρέος ἀποδιδῷ τὸ ζῆν, [ὡς] ὀβολοστάτις ἡ φύσις ἐπιστᾶσα
[m] ἐνεχυριάζει [n] τοῦτο μὲν ὄψιν, τοῦτο δὲ ἀκοὴν, πολλάκις δ᾽
ἄμφω· κἂν ἐπιμένῃ τις, παρέλυσεν, ἐλωβήσατο, παρήρθρω-
σεν. [o] Ἀλλα οἱ πολλοὶ γήρως [p] ἀπακμάζουσι [q] καὶ τῷ νῷ, καὶ
δὶς παῖδες οἱ γέροντες κατὰ τὴν παροιμίαν. Διὰ τοῦτο καὶ οἱ
θεοὶ τῶν ἀνθρωπείων ἐπιστήμονες, οὓς ἂν [r] περὶ πλείστου ποι-
ῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν. Ἀγαμήδης [s] γ᾽ οὖν
καὶ Τροφώνιος, οἱ [t] δειμάμενοι τὸ [v] Πυθοῖ τοῦ θεοῦ τέμενος,
εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι, κατακοιμηθέντες οὐκ
[[w] ἔτ᾽] ἐξανέστησαν· [x] οἵ τε τῆς Ἀργείας ἱερείας [[y] υἱεῖς]
ὁμοίως εὐξαμένης αὐτοῖς τῆς μητρὸς γενέσθαι τὶ τῆς εὐσε-
βείας παρὰ τῆς Ἥρας γέρας, ἐπειδὴ τοῦ ζεύγους ὑστερή-
σαντος ὑποδύντες αὐτοὶ διήνεγκαν εἰς τὸν [z] νεὼν τὴν μητέρα,
μετὰ τὴν εὐχὴν νυκτὶ μετήλλαξαν. Μακρὸν ἂν εἴη διεξι- 537
έναι τὰ τῶν ποιητῶν, οἳ [a] στόμασι θειοτέροις τὰ περὶ τὸν βίον
[b] θεσπιῳδοῦσιν, ὡς κατοδύρονται τὸ ζῆν· ἑνὸς δὲ μόνου μνη-
σθήσομαί τοῦ ἀξιολογωτάτου, λέγοντος,

ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
ζώειν ἀχνυμένοις.

καὶ,

οὐ μὲν γάρ τί [c] ποτ᾽ ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς,

[k] ὑπεισῆλθε] ὑπῆλθε A. Trinc.
[l] ὡς om. A. Trinc.
[m] ἐνεχυράζει] ἐνεχυριάζει A. B.
[n] τοῦ—τοῦ] τοῦτο—τοῦτο A. Tr.
[o] ἄλλοι πολὺ] ἀλλὰ οἱ πολλοὶ A. B. ἀλλ᾽ οἱ θεοὶ τῶν ἀνθρωπείων mediis omissis Trinc.
[p] ἀκμάζουσι] ἀπακμάζουσι A. B.
[q] καὶ τῶν δὶς παῖδες οἱ γέροντες γίγνονται. καὶ τοῦτο] καὶ τῷ νῷ καὶ δὶσ παῖδες οἱ γέροντες κατὰ τὴν παροιμίαν. Διὰ τοῦτο καὶ θ. A. B.
[r] περὶ—ποιοῦνται] διὰ—ποιῶνται A. διὰ item Trinc.
[s] οὖν] γ᾽ οὖν A.
[t] δεινάμενοι] δειμάμενοι A. Trinc.
[v] πυθοῖ] πυθίου A. B.
[w] ἔτ᾽ om. A. Trinc.
[x] οἵ τε] τό τε A. Trinc.
[y] υἱεῖς om. A. Trinc.
[z] νεὼν] νεὸν Trinc.
[a] στόμασι] ποιήμασι Gesn. marg.
[b] θεσπιωδοῦσιν] θεσπιωδοτοῦσιν A.
[c] που] ποτ᾽ A. Trinc. τὸν δ᾽ Ἀμφ.—γήραος οὐδὸν om. Trinc.

Πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

τὸν δ' Ἀμφιάραον τί φησι;

[d] Τὸν πέρι κῆρι φίλει Ζεύς τ' αἰγίοχος καὶ Ἀπόλλων
[e] Παντοίην φιλότητ', οὐδ' ἵκετο γήραος [f] οὐδόν.

[g] Καὶ ὁ κελεύων

Τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,

[[h] Τί σοι φαίνεται; ἀλλὰ παύομαι, μήποτε παρὰ τὴν ὑπόσχεσιν μηκύνω, καὶ ἑτέρων μιμνησκόμενος.] Ποίαν δέ τις ἑλόμενος ἐπιτήδευσιν, ἢ τέχνην, οὐ μέμφεται, καὶ τοῖς παροῦσι χαλεπαίνει; Τὰς χειρωνακτικὰς ἐπέλθωμεν καὶ βαναύσους τέχνας πονουμένων ἐκ νυκτὸς εἰς νύκτα, καὶ μόλις ποριζομένων τὰ ἐπιτήδεια, κατοδυρομένων δὲ ἑαυτοὺς, καὶ πᾶσαν ἀγρυπνίαν πιμπλάντων ὀλοφυρμῶν τε καὶ [i] φροντίδων. Ἀλλὰ τὸν πλωτικὸν καταλεξώμεθα· περαιούμενον διὰ τοσῶνδε κινδύνων, καθὼς ἀπεφήνατο [k] Βίας, μήτ' ἐν τοῖς τεθνηκόσιν ὄντα, μήτ' ἐν τοῖς βιοῦσιν. Ὁ γὰρ ἐπίγειος ἄνθρωπος, ὡς ἀμφίβιος, ἑαυτὸν εἰς πέλαγος ἔρριψεν, ἐπὶ τῇ τύχῃ γεγονὼς [[l] πᾶς.] Ἀλλ' ἡ γεωργία γλυκύ. Δῆλον. Ἀλλ' οὐχ ὅλον, ὡς φασὶν, ἕλκος, αἰεὶ λύπης πρόφασιν εὑρισκόμενον, [m] κλαῖον νυνὶ μὲν αὐχμὸν, νυνὶ δ' ἐπομβρίαν, νυνὶ δ' [n] ἐπίκλυσιν, νυνὶ δ' [o] ἐρυσίβην, νυνὶ δὲ θάλπος ἄκαιρον, ἢ [p] κρυμόν; Ἀλλ' ἡ πολυτίμητος πολιτεία (πολλὰ γὰρ ὑπερβαίνω) διὰ πόσων ἐλαύνεται δεινῶν; Τὴν μὲν χαρὰν [q] ἔχουσα φλεγμονῆς δίκην, παλλομένην καὶ σφυγματώδη· τὴν δ' ἀπότευξιν, [r] ἀλγίστην, καὶ [s] θανάτων μυρίων χείρω. Τίς

[d] τὸν] ὃν A. B.
[e] παντοίη] παντοίην A. B.
[f] οὐδὸν] οὐδῶ B. m. p.
[g] καὶ ὁ] ὁ δὲ A. B.
[h] τι σοι—μιμνησκόμενος om. A. Trinc.
[i] φροντίδων] δακρύων Gesn. marg.
[k] Βίας] καὶ ὁ B.
[l] πᾶς om. A. Trinc.
[m] κλαῖον] κλαίων Trinc.
[n] ἐπίκλυσιν] ἐπίκαυσιν Gesn. marg.
[o] ἐρυσίβην] ἐρισύβην A. B.
[p] κρυμόν] κρύος Gesn. marg.
[q] ἔχουσα] ἔχουσαν Trinc.
[r] ἀλογίστην] ἀλγίστην A. B. ἀλγεινὴν Gesn. marg.
[s] θάνατον] θανάτων A. θάνατων Trinc.

γὰρ ἂν εὐδαιμονήσειε πρὸς ὄχλον ζῶν, εἰ [t] ποππυσθείη, καὶ κροτηθείη δήμου παίγνιον [v] ἐκβαλλόμενον, συριττόμενον, ζημιούμενον, θνῆσκον, [[w] ἐλεούμενον;] Ἐπεί τοι [x] γε [y] Ἀξίοχε πολιτικὲ, [z] ποῦ τέθνηκε Μιλτιάδης; [a] ποῦ δὲ Θεμιστοκλῆς; ποῦ δὲ Ἐφιάλτης; [b] ποῦ δὲ πρῴην οἱ δέκα στρατηγοί;

## ΠΕΡΙ ΛΥΠΗΣ, ΟΤΙ ΛΙΑΝ ΜΟΧΘΗΡΑ ΚΑΙ ΕΠΩΔΥΝΟΣ ΤΟΙΣ ΦΡΟΝΤΙΖΟΥΣΙΝ. ϛΘ.

1 [a] Φιλήμονος.

Πολλῶν φύσει τοῖς πᾶσιν αἰτία κακῶν
λύπη· διὰ [b] λύπην καὶ μανία γὰρ γίγνεται
πολλοῖσι, καὶ νοσήματ᾽ οὐκ ἰάσιμα.
αὑτούς τ᾽ ἀνῃρήκασι διὰ λύπην τινὲς,
ἐπὰν τὸ [c] λυποῦν πλεῖον, ἢ τὸ σῶζον ᾖ.

2 [a] Κλεαινέτου.

Λύπη γὰρ ὀργή τ᾽ εἰς ἕνα ψυχῆς τόπον 538
ἐλθόντα μανία τοῖς ἔχουσι γίγνεται.

3 [a] Φιλήμονος.

Οἴμοι· τὸ λυπεῖσθαι γὰρ ἐπὶ τὸ ῥῆμ᾽ ἄγει
τοῦτ᾽ εὐθὺς, ὡς ἔοικε, τὸν λυπούμενον·
λυπουμένῳ δ᾽ ὅτ᾽ ἂν τὶς ἀκολουθῶν λέγῃ
χαῖρ᾽, ἐξ ἀνάγκης οὗτος οἰμώζειν λέγει.

[t] ποππυσθείη] πως πυσθείη A. B.
[v] ἐκβαλλόμενον] ἐμβαλλόμενον Gesner. marg.
[w] ἐλεούμενον om. A. Trinc.
[x] γε om. A. Trinc.
[y] ἀξίοχε πολιτικὲ] ἀξιοπολιτικὲ A. Trinc.
[z] ποῦ] ου (που) A. ποῦ οὐ B. οὐ Trinc. et mox ποῖ δὲ τυγχάνει A. B. pro ποῦ δὲ.
[a] ποῦ—ποῦ] ποῖ—ποῖ A. Trinc.
[b] ποῦ δὲ πρῴην] ποῦ δὲ οἱ πρῴην βασιλεῖς τε καὶ στρατηγοί Gesner. marg.

1.

[a] Sic A. Μενάνδρου Trinc. Cleric. p. 354.
[b] λύπης] λύπην A. B. Gesn. marg.
[c] πλεῖον] πλέον Voss. Trinc.

2.

[a] Sic A. Trinc.

3.

[a] Sic A. Cleric. p. 290. Deest locus Tr. Vide infra p. 582, pen.

4 [a] Εὐριπίδου.

Ὅστις δὲ λύπας φησὶ [b] πημαίνειν βροτοὺς,
[c] δεῖν δ' ἀγχονῶν τε καὶ πετρῶν ῥιπτεῖν ἄπο,
οὐκ ἐν σοφοῖσιν ἐστίν· εὐχέσθω δ' ὅμως
ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί.

5 [a] Φιλήμονος.

Οὕτως ὅτ' ἂν ἐμπέσῃ τὶς εἰς τὸν νοῦν φόβος,
κἀκ τοῦ καθεύδειν οὗτος οὐκ ἐξέρχεται.

6 [a] Νόσον πολὺ κρεῖττόν ἐστιν, ἢ λύπην φέρειν.

7 [a] Μενάνδρου.

Οὐκ ἔστι λύπης, [b] ἐάν περ ὀρθῶς τις σκοπῇ,
ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει.

8 [a] Εὐριπίδου Οἰνομάῳ.

Ἔνεστι [b] πάντων πρῶτον εἰδέναι τουτὶ,
φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως.
[c] χ' οὗτός γ' ἀνὴρ ἄριστος, αἵ τε συμφοραὶ
[d] ἧσσον δάκνουσιν· ἀλλὰ ταῦτα γὰρ λέγειν
ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει.

4.

[a] Sic A. Trinc. Fr. inc. 65.

[b] πημαίνειν] ποιμαίνειν B. πημαίνων Trinc.

[c] δεῖν] δεῖ A.

Ib. δεῖν δ' αὐτὸν ὀρέων] Ita conjeci, cum esset δεῖν δ' ἂν χρόνων τε. In MS. A. χρόνῳ τε. GROTIUS. Vix alibi infelicior conjectura excidit magno Heroi. Levissima mutatione castigandum unice, Δεῖν δ' ἀγχονῶν τε. PIERSONUS Verisim. I. XI. p. 140. Ceterum A. habet χρόνων ut vulgo, non χρόνῳ ut videbatur Grotio.

5.

[a] Sic A. Trinc. Cleric. p. 354.

6.

[a] Deest lemma Trinc.

7.

[a] Sic A. Trinc. Cleric. pag. 246.

[b] ἤν περ—σκοπῇ] Σκοπῇ pro σκοπεῖ habet MS. A. ἤν περ autem versui aptius quam ἐάν περ. GROTIUS. σκοπῇ item Voss.

8.

[a] Sic A. Scil. fr. 3. Simpl. Εὐριπίδου Trinc.

[b] πάντων πρῶτον] πρῶτον πάντων Voss. In fine versus τόδε pro τουτί B. Grotius dedit ε. π. τουτὶ πρῶτον εἰδέναι. An Ἕν ἐστι π. π. εἰ. τόδε, vel τοῦτο πρῶτον εἰδ.?

[c] καὶ οὗτος] καὶ οὗτός γ' A. Trinc. οὗτός γ' B. sine καὶ.

[d] ἧττον] ἧσσον Voss.

9 [a] Ἀλέξιδος.

[b] Λύπη μανίας κοινωνίαν ἔχει τινά.

10 [a] Εὐριπίδου.

Λύπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.

11 [a] Εὐριπίδου Ἀνδρομέδα.

Ἤπου τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν,
ὡς τοῦ γε πάσχειν τοὐπιὸν μεῖζον κακόν.

12 [a] Εὐριπίδου Ἀντιόπης.

[b] Φρονῶ δ' ἃ πάσχω, καὶ τόδ' οὐ σμικρὸν κακόν.
τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ
νοσοῦντα· κέρδος [c] δ' ἐν κακοῖς ἀγνωσία.

13 [a] Ὤικτειρ' ἀκούσας· οἰκτρὰ γὰρ τὰ δυστυχῆ
βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.

14 [a] [b] Ἄνθρωπος ὢν
οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν,
οὐδὲ μέχρι τέλους ἔμεινεν εὐτυχῶν.

15 [a] Εὐριπίδου Ὀρέστης.

Λύπη μάλιστά γ' ἡ διαφθείρουσά με.
δεινὴ γὰρ ἡ θεὸς, ἀλλ' ὅμως ἰάσιμος.

16 [a] Εὐριπίδου Ἀλκμήνη.

Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως ἴσως

9.

[a] Sic A. Deest locus Trinc.

[b] Vide infra n. 27.

10.

[a] Sic A. Scil. fr. inc. 66. Deest lemma Trinc.

11.

[a] Sic A. Scil. fr. 18. Deest lemma Trinc.

12.

[a] Sic A. Scil. fr. 24. Deest lemma Trinc.

[b] Vid. Valckenærii Diatr. Eurip. p. 65.

[c] δ' om. Voss.

13.

[a] Deest lemma Trinc. Ex Andromach. v. 422.

14.

[a] Deest lemma Trinc. v. fr. Antiop. 39.

[b] ἄνθρωπος ὢν habet Trinc. post διήγαγεν. Mox οὐδεὶς δὲ μεχρὶ Grotius. An οὐδ' εἴ γε ?

15.

[a] Sic A. Scil. v. 399. Deest lemma Trinc.

16.

[a] Sic A. Scil. fr. 9. Deest lemma Trinc.

ἔπραξας· αἰνεῖσθαι δὲ δυστυχῶν ἐγὼ
μισῶ· [b] λογισμὸς γὰρ τοὖργον οὐ νικᾷ ποτέ.

17 [a] Ἀπολλοδώρου Παραλογιζόμενοι.

Οὐ δεῖ λέγειν (γὰρ) μακάριον τὸν χρήματα
ἔχοντα πλεῖστα, τὸν δὲ μὴ λυπούμενον.

18 [a] Μενάνδρου.

Πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώπων κακῶν
ὄντων, μέγιστόν ἐστιν ἡ λύπη κακόν.

19 [a] Σοφοκλέους Τυροῦς.

Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι.

20 [a] Σοφοκλέους Ἐριφύλη.

Πῶς οὖν μάχωμαι θνητὸς ὢν [b] θείᾳ τύχῃ,
ὅπου τὸ δεινὸν ἐλπὶς οὐδὲν ὠφελεῖ;

21 [a] Σοφοκλέους Αἴαντι.

Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

22 [a] Φιλήμονος.

Ἀγαθὴ γὰρ ἡ λύπη καθ' αὑτῆς ἀναπλάσαι
ἀτεχνῶς διπλάσια τῆς ἀληθείας κακά.

23 [a] Πινδάρου Ὀλυμπιονίκων.

Αἱ δὲ φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφόν. 539

[b] λογισμὸς] λογισμοὺς A. B. Gesner. marg. Post h. v. γὰρ inserunt A. Voss. Trinc. Λόγος γὰρ Porsonus.

17.

[a] Sic A. Ἀπολλοδ. Voss. Deest lemma Trinc. γὰρ ins. Grotius.

18.

[a] Sic A. Trinc. Cleric. p. 248. qui recte ἀνθρώποις.

19.

[a] Sic A. Scil. fr. 12. *in Tereo* Gesner. Simpl. Σοφοκλέ. Trinc.

20.

[a] Sic A. Scil. fr. 4. Deest lemma Trinc.

[b] θείᾳ om. Trinc.

21.

[a] Sic A. Scil. v. 260. Deest locus Trinc.

22.

[a] Sic A. Cleric. p. 354. Deest locus Trinc.

23.

[a] Sic A. Scil. VII. 55. Simpl. Πινδάρου Trinc.

24 [a]Ἄμφιδος Φιλαδέλφων.

Ἄπολλον, ὡς δυσάρεστον ἔστ' ἀνιώμενος
ἄνθρωπος, ἐφ' ἅπασίν τε δυσχερῶς ἔχει.

25 [a] Παροιμία.

Ὅπου τὶς ἀλγεῖ, κεῖσε καὶ τὸν νοῦν ἔχει.

26 [a] Ἀπολλοδώρου Γάλακτος.

Τοῖς γὰρ μεριμνῶσιν τε καὶ λυπουμένοις
ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά.

27 [a] Ἀντιφάνους.

Λύπη μανίας [b] ὁμότοιχος εἶναί μοι δοκεῖ.

28 [a] Ἀλέξιδος.

Τῶν μετρίων αἱ μείζονες
λῦπαι ποιοῦσι τοῦ φρονεῖν μετάστασιν.

29 [a] Ποσιδίππου ἐκ Μύρμηκος.

Οὕτω [b] τι πολύπουν ἐστὶν ἡ λύπη κακόν.

30 [a] Ποσιδίππου ἐξ Ὁμοίων.

Ἔργον γε λύπην ἐκφυγεῖν, ἡ δ' ἡμέρα
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

24.

[a] Sic A. Simpl. Ἄμφιδος Trinc.

25.

[a] Sic A. Deest lemma Trinc. Amphidi tribuit Apostolius XIV. 74. v. Erasmi Adag. II. ii. 44. Plutarch. II. p. 513. E.

26.

[a] Sic A. *in Galatis* Gesner.

[a] λυπουμένοις τε καὶ μεριμνῶσιν] μεριμνῶσίν τε καὶ λυπουμένοις A. Videatur Toupius Addend. Theocrit. XXI. 26.

27.

[a] Sic A. Deest Trinc.

[b] ὁμότοιχος] ὁμόστοιχος A. B. Plutarchus De Garrul. pag. 503. D. μανίᾳ γὰρ ὁμόστοιχος μὲν ἡ ὀργὴ κατ' ἐνίους, ubi ὁμότοιχος, vulgatæ in Stobæo lectionis fortasse haud immemor, reponendum suggerit Meziriacus. Contra non inepte ὁμόστιχος legisse videtur H. Stephanus. Vide Thesaur. III. pag. 985. F. In Æschyli Agam. 1354. περιστιχίζω pro περιστοιχίζω metri gratia restituerunt viri docti. Neque interim spreverim vulgatum ὁμότοιχος. Æschyl. Agam. 974. νόσος γὰρ γείτων ὁμότοιχος ἐρείδει.

28.

[a] Sic A. Trinc.

29.

[a] Sic A. Simpl. Ποσιδίππου Tr.

[b] τι] τοι A.

30.

[a] Sic A. Deest lemma Trinc.

31 [a] Ἀντιφάνους ἐξ Ἰατροῦ.

Ἅπαν τὸ λυποῦν ἐστιν ἀνθρώπῳ νόσος,
[b] ὀνόματα δ' ἔχουσα πολλά.

32 [a] Τοῦ αὐτοῦ ἐξ Εὐπλοίας.

Λυπηρὸν ἀνθρώποισι καὶ τὸ ζῆν κακῶς,
ὥσπερ [b] πονηροὶ ζωγράφοι, τὰ χρώματα
πρώτιστον ἀφανίζουσιν ἐκ τοῦ σώματος.

33 [a] Ἐκ τῶν Ἀρίστωνος.

Ἀπολλόδωρος ὁ Μεγαρίτης ἔλεγε τοὺς πεισθέντας ὅτι ἕτεροί εἰσιν οἱ ἄνθρωποι τοῦ σώματος, ἀλυπότατα διάζειν. Καὶ μὴν, εἶπεν, ὅτι οἱ υἱεῖς αὐτοῦ ἕτεροί [b] εἰσι πάντες ἐπίστανται, καὶ ὅμως ὑπὸ τῆς ἐπ' αὐτοῖς λύπης πολλοὶ ἑαυτοῖς διαχρῶνται.

34 [a] Εὐφράντου.

[b] Εὐφράντης ὁ Σύρος τὴν γυναῖκα ἀποβαλὼν ἔλεγεν, Ὦ φιλοσοφία, [c] τυραννικά σου τὰ ἐπιτάγματα· λέγεις, φίλει· [d] κἂν ἀποβάλῃ [e] τις, λέγεις, μὴ λυποῦ.

35 [a] Σωκράτους.

Σωκράτης ἐρωτηθεὶς, πῶς ἂν τις ἄλυπος διάγοι, Τοῦτο ἀδύνατον, εἶπεν· οὐ γάρ ἐστι πόλιν ἢ οἰκίαν οἰκοῦντα, καὶ ἀνθρώποις ὁμιλοῦντα, [b] μὴ λυπεῖσθαι.

31.

[a] Sic A. Simpl. Ἀντιφάνους Tr.

[b] ὀνόματα δ'] Leg. ὀνόματ'. Supra ἀνθρώπων A.

32.

[a] Sic A. Deest lemma Trinc.

[b] πονηροὶ ζωγράφοι —] Sensum elicui qui nullus erat levi emendatione. Vulgo erat πονηρῷ ζωγράφῳ. Tum vero et tollendum punctum quod versum antecedentem male a sequentibus disterminabat. Vide versionem Latinam. Grotius. Chrys. de Statuis XXI. καθάπερ οὖν ἐπὶ τῶν ζωγράφων γίνεται, οὕτω καὶ νῦν γινέσθω· καὶ γὰρ ἐκεῖνοι τὰς σανίδας προθέντες, καὶ λευκὰς περιάγοντες γραμμὰς κ. τ. λ. Idem in mss. v. T. I. p. 267. ed. Duc. II. p. 238. Montfauc.

33.

[a] Sic Can. Deest lemma Trinc. locus A.

[b] εἰσι] Vulgo εἶναι.

34.

[a] Sic A. Deest lemma Trinc.

[b] Εὐφράντης] Εὐφράτης B.

[c] τυραννικὰ] τετυραννικὰ Trinc.

[d] κἂν] καὶ A.

[e] τις] τι A. Mox λέγεις om. B.

35.

[a] Sic A. Deest lemma Trinc.

[b] μὴ] μηδέποτε A.

## ΠΕΡΙ ΝΟΣΟΥ, ΚΑΙ ΤΗΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΗΝ ΑΝΙΑΡΩΝ ΛΥΣΕΩΣ. Ρ.

1 [a] Εὐριπίδου Ὀρέστῃ.

Ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες, ἐν δέοντί τε.

2 [a] Ἐν ταυτῷ.

[b] Ἰδοὺ φίλον τοι τῷ νοσοῦντι δέμνια,
[c] ἀνιαρὸν (ὂν) τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.
Αὖθις δ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας.
Δυσάρεστον οἱ νοσοῦντες, ἀπορίας ὕπο.
Ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις;
Μάλιστα· δόξαν γὰρ τόδ' ὑγείας ἔχει.
κρεῖσσον δὲ [d] τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.

3 [a] Εὐριπίδου.

Πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν
ἰδόντ' [b] ἀκεῖσθαι, μὴ 'πιτακτὰ φάρμακα
[c] διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.

4 [a] Νόσοι δὲ θνητῶν, αἱ μέν εἰσ' αὐθαίρετοι,
αἱ δ' ἐκ θεῶν [b] πάρεισιν, ἀλλὰ τῷ νόμῳ
ἰώμεθ' αὐτάς. ἀλλά σοι λέξαι θέλω,
εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶν θεοί.

1.

[a] Sic A. Scil. v. 211. Simpl. Εὐριπίδου Trinc. ubi om. lemmata usque ad n. 4. incl.

2.

[a] Sic A. Scil. v. 229.

[b] Ἰδοὺ φίλον τοι] Sunt hæc ex eadem quidem tragœdia, nec longe dissita: neque tamen cohærent apud Poëtam. Ideo distinximus: ut et sequentium quædam. Grotius.

[c] ἀνιαρὸν] ἀνιαρὸν μὲν A. B.

[d] τὸ δοκεῖν] τὸ om. Trinc.

3.

[a] Sic A. v. fr. Bellerophont. 18, 19. Hic et seq. locus repetuntur in A. post n. 4. cum lemmate θελλέροφ. (σσ superscr.)

[b] ἀκεῖσθαι] ἰᾶσθαι A.

[c] διδόντ' ἐὰν] διδόντος ἂν A.

4.

[b] πάρεισιν ἀλλὰ] πάρεισιν ἔχομεν ἀλλὰ A.

5 [a] Φιλήμονος Μύστιδος.

Πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακὸν, 540
τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις
δεῖν τὸν κακῶς ἔχοντα, πῶς ἔχει, λέγειν.

6 [a] Ἐκ τῶν Ἡλιοδώρου Ἰταλικῶν Θεαμάτων.

Ἰταλίης οὐ πολλὸν ὑπερστείχοντι κολώνην
[b] Γαυρείην, χώρη τὶς ὁδιτάων ἐπὶ λαιὰ
[c] κέκλιται, ἀργήεσσα, χιὼν ὥς· ἐκ δέ οἱ ὕδωρ
ἀΐσσει μάλα πικρὸν ἀναπνεῦσαι πιέειν τε.
κεῖνο πολυστάφυλοι περιναιέται ἀνέρες ὕδωρ
[d] ὅσσων ἄλκαρ ἔχουσιν· ὁ μὲν λοετροῖο χατίζων
[e] αὔτως, ὄφρα [f] κε μοῦνον ἐν ὕδατι γυῖα [g] καθήρῃ,
ὀφθαλμοὺς βλεφάροισι λίην † ἀραρόσι καλύψας
δύεται, ὡς μή οἱ [h] τι παραδράμῃ [i] ἕρκεος εἴσω
ὑγρὸν ἐπὶ γλήνης· τὸ γὰρ ἄλγεος [k] εἴη.
[l] ὃς δὲ κε λημηρῇ νεφέλῃ [m] λελυσμένος ὄσσε
ἀσχάλλῃ ὀδύναις, κεροειδέα δ' ἀμφὶ χιτῶνα
[n] οἶδος πιαλέοισι περιβριθῇ [o] πελάνοισι

5.

[a] Sic A. Cleric. p. 312.

6.

[a] Sic Trinc. et Voss. nisi quod hic habet θαυμάτων. Deest A.

[b] Γαυρείην] Vulgo γαυρέην contra versum. GROTIUS.

[c] κέκλιται ἀργήεσσα χιὼν ὥς] Ita optime Scaliger, pro eo quod erat χιονόεις. Pro κέκλιται in quibusdam codicibus male κέκληται. GROTIUS. Idem in mss. citat Plinium, Lucanum, et, instar omnium, P. Cluverii Ital. p. 1142.

[d] ὅσσων] ὅσσων Arsen. ἴσσων puto Voss.

[e] αὐτὸς] αὔτως Scaliger apud Grotium.

[f] κε] καὶ Trinc.

[g] καθάρῃ Voss. Mox λίην ἀραρόσι interpretatio videtur veræ lectionis, quæ intercidit.

[h] τι] τοι Voss.

[i] ἕρκεος] ἕρπεος Arsen.

[k] εἴη] Addo αἴτιον. GESNER.

[l] ὃς δὲ κενημηρῇ νεφέλῃ λελυσμένος] ὃς δέ κε κιμμερίῃ ν. κεκλεισμένος Scaliger apud Grotium. κε λημηρὴ Arsen.

[m] λελυσμένος] Forsan κεκαλυμμένος. GESNER.

[n] ὄϊδος] Etiam hæc dictio non est integra. GESNER. ὄϊος Voss. Arsen.

Ib. οἶδος] Scaliger hoc reposuit pro ὄϊδος. Cogitandum tamen an non rectius εἶδος legere cum Salmasio. GROTIUS.

[o] πελάνοισι] Malim πεταλοῖσι. GESNER. Male. Suidas v. Πέλανοι: Πέλανος — τὸ πεπηγὸς καὶ ἐξηραμμένον ὀπῶδες δάκρυον.

κείνῳ καίριόν ἐστι καὶ ἀσφαλὲς ὄμμα δῖηναι,
ἀμπετὲς, ἀκλήιστον· ἄφαρ δ' ἀπὸ πᾶσα [p] τελέσθη
θυμοδακὴς ὀδύνη, [q] ῥέα δ' [r] ἔκθεται ὕδατι νοῦσος.

7 [a] Σωκράτους.

Σωκράτης ἐρωτηθεὶς [b] τί ἐστι νόσος, ἔφη, Ταραγμὸς σώματος.

8 [a] Διογένους.

Διογένης πρός τινα τῶν συνήθων τὸ σῶμα βεβλαμμένον καὶ [b] ποτνιώμενον, Εὖ, ἔφη, φίλος ὅτι [c] πονεῖς, ἵνα μὴ πονῇς.

9 [a] Δημοσθένους Ὀλυνθιακῶν δεύτερον.

Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν, ἕως μὲν ἂν ἐρρωμένος ᾖ τὶς οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν· [b] ἐπειδ' ἂν δὲ ἀρρώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλό τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ.

10 [a] Ἀγάθωνος Σαμίου ἐν δευτέρῳ Περὶ Ποταμῶν.

Ἴναχος ποταμός ἐστι [b] τῆς Ἀργείας χώρας, γεννᾶται δ' ἐν αὐτῷ βοτάνη [c] κύουρα καλουμένη, πηγάνῳ παρόμοιος, ἣν αἱ γυναῖκες, ὅτ' ἂν ἀκινδύνως ἐκτρῶσαι θέλωσιν, [d] ἐν οἴνῳ βεβρεγμένην τοῖς [e] ὀφθαλμοῖς ἐπιτιθέασιν.

11 [a] Χρυσέρμου Κορινθίου ἐν τῷ ιγ Περὶ Ποταμῶν.

Ἐν [b] Εὐφράτῃ ποταμῷ τῆς Παρθίας γεννᾶται λίθος Ἀε-

[p] τελέσθη] τελέθει Arsen.
[q] ῥέα] ῥεῖα Voss. Arsen. Trinc.
[r] ἔκθεται] An ἔκσυται? An ἐκθεῖ? Valcken.

7.

[a] Sic A. Deest locus Trinc.
[b] τι] τι ἐστι A.

8.

[a] Sic A. Deest lemma Trinc.
[b] ποτνιώμενον] ποτνιώμενος Trinc.
[c] πολιεῖς] πονεῖς A. B. Vertit Gesnerus, *quod laboras, ne labores*, cum hac nota, "Homonymia et "vis joci est in verbo *Laborare*."

9.

[a] Sic A. Scil. p. 24. Simpl. Δημοσθένους Trinc.
[b] ἐπὰν] ἐπειδὰν A.

10.

[a] Sic A. Simpl. Ἀγάθωνος Trinc. v. Plutarch. II. p. 1160. E. F.
[b] τῆς om. Voss. Ἀργείων pro Ἀργείας B.
[c] κύουρα] κυνοῦρα Voss. Arsen.
[d] ἐν om. A. B.
[e] ὀφθαλμοῖς] Malim ὀμφαλοῖς. Gesner.

11.

[a] Sic A. Simpl. Χρυσερμοῦ Tr. Plutarch. ib. p. 1162. D. E.
[b] Εὐφράτῃ ποταμῷ τ. π. γεννᾶ-

τίτης καλούμενος, ὃν αἱ μαῖαι ταῖς δυστοκούσαις ἐπὶ τὰς γαστέρας ἐπιτιθέασι, καὶ παραχρῆμα τίκτουσιν ἄτερ ἀλγηδόνος. Εὑρίσκεται δ᾽ ἐν αὐτῷ καὶ βοτάνη Ἄξαλλα, μεθερμηνευομένη θερμόν· ταύτην οἱ τεταρταΐζοντες, ὅτ᾽ ἂν ἐπὶ τοῦ στήθους τιθῶσιν, ἀπαλλάσσονται παραχρῆμα.

12 [a] Νικίου ἐν τοῖς Περὶ Λίθων.

[b] Ἐν ὄρει Δριμύλον καλουμένῳ τῆς Παρθίας γεννᾶται λίθος Σαρδόνυχι παρόμοιος· ποιεῖ δ᾽ ἄριστα πρὸς ἀμβλυωπίας, εἰς ὕδωρ θερμὸν βαλλόμενος.

13 [a] Ἐκ τῆς Ἀριστοτέλους συναγωγῆς Ἀκουσμάτων Θαυμασίων.

Ἐν Τραπεζοῦντι τῇ ἐν τῷ Πόντῳ γίγνεται [b] τὸ ἀπὸ τῆς πύξου μέλι βαρύοσμον, καὶ φασὶ τοὺς μὲν ὑγιαίνοντας ἐξιστάναι, τοὺς δ᾽ ἐπιλήπτους [c] καὶ τελέως ἀπαλλάσσειν.

14 [a] Καλλισθένους Συβαρίτου ἐν ιγ̅ Γαλατικῶν.

Ἄραρ ποταμός ἐστι τῆς Κελτικῆς, [b] παρὰ τὸ τῷ Ῥοδανῷ ἡρμόσθαι τὴν προσηγορίαν εἰληφώς· καταφέρεται γὰρ εἰς 541 τοῦτον κατὰ τὴν χώραν τῶν Ἀλλοβρόγων. Γεννᾶται δ᾽ ἐν αὐτῷ μέγας ἰχθύς, Κλουπαῖα [c] καλούμενος ὑπὸ τῶν ἐγχωρίων. [d] Οὗτος αὐξομένης μὲν τῆς σελήνης, λευκός ἐστι· μειουμένης δὲ, μέλας γίγνεται παντελῶς· ὑπεραυξήσας δὲ [e] ὑπὸ τῶν ἰδίων ἀκανθῶν ἀναιρεῖται. Εὑρίσκεται δ᾽ [f] ἐν

ται] Εὐφράτης ποταμός ἐστι τ. Π. γεννᾶται δ᾽ ἐν αὐτῷ A. B.

12.

[a] Sic A. Simpl. Νικίου Trinc. Plutarch. II. p. 1163. A.

[b] ἐν ὄρει Δ. καλουμένῳ τ. Π.] Ὄρος ἐστι Δ. καλούμενον τ. Π. ἐν ᾧ A.

13.

[a] Sic A. Sc. p. 91. ed. Sylb. Simpl. Ἐκ τῶν Ἀριστοτέλους Trinc.

[b] ἀπὸ τοῦ ξύλου] τὸ ἀπὸ τῆς πύξου A. B.

[c] τελείως] καὶ τελέως A. καὶ τελείως B.

14.

[a] Sic A. Simpl. Καλλισθένους Trinc. v. Plutarch. II. p. 1153. B.

[b] παρὰ τῷ ῥοδανῷ ἡρμόσθαι τὴν προσηγορίαν εἰληφώς] τὴν προσηγορίαν δὲ εἰληφὼς παρὰ τὸ ἡρμόσθαι τῷ ῥοδανῷ A.

[c] καλούμενος] προσαγορευόμενος A.

[d] οὗτος] οὗτος δὲ ὁ ἰχθῦς A.

[e] ὑπὸ τῶν ἰδίων ἀκανθῶν ἀναιρεῖται] ἀναιρεῖται ὑπὸ τῶν ἰδίων ἀκανθῶν A.

[f] ἐν τῇ κεφαλῇ αὐτοῦ λίθος] αὐτῷ λίθος ἐν τῇ κεφαλῇ A.

τῇ κεφαλῇ αὐτοῦ λίθος χόνδρῳ παρόμοιος ἀλὸς, ὃς κάλλιστα ποιεῖ πρὸς τεταρταίας νόσους, τοῖς ἀριστεροῖς μέρεσι τοῦ σώματος προσδεσμευόμενος, τῆς σελήνης μειουμένης.

15 [a] Ἀρχελάου ἐν πρώτῳ Περὶ Ποταμῶν.

Λυκόρμας [b] τῆς Αἰτωλίας ποταμός ἐστι, μετωνομάσθη δ' Εὔηνος. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη Ζάρισα προσαγορευομένη, λόγχῃ παρόμοιος, ποιοῦσα πρὸς ἀμβλυωπίας ἄριστα.

16 [a] Θρασύλλου ἐν τοῖς Αἰγυπτιακοῖς.

[b] Νεῖλος ποταμός ἐστι τῆς Αἰγύπτου, ἐκαλεῖτο δὲ τὸ πρότερον Μέλας· γεννᾶται δ' ἐν αὐτῷ λίθος κυάμῳ παρόμοιος, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι· ποιεῖ δ' ἄριστα πρὸς τοὺς δαιμονιζομένους· ἅμα γὰρ [c] [τῷ] αὐτὸν προστεθῆναι ταῖς ῥισὶν [d] ἐξέρχεται τὸ δαιμόνιον.

17 [a] Τιμαγόρου ἐν πρώτῳ Περὶ Ποταμῶν.

Καΐκος ποταμός ἐστι τῆς Μυσίας, φύεται δ' ἐν αὐτῷ βοτάνη ἡλιφάρμακος καλουμένη, ἣν οἱ ἰατροὶ τοῖς αἱμορραγοῦσιν ἐπιτιθέασι, καὶ τῶν φλεβῶν μεσολαβοῦσι τὴν ἔκρυσιν.

18 [a] Κτησίου Κνιδίου ἐν δευτέρῳ Περὶ Ὀρῶν.

Ὄρος ἐστὶ τῆς Μυσίας Τεύθρας καλούμενον, γεννᾶται δ' ἐν αὐτῷ λίθος ἀντιπαθὴς [b] προσονομαζόμενος, ὃς κάλλιστα ποιεῖ πρὸς ἀλφοὺς καὶ λέπρας, δι' οἴνου τριβόμενος, καὶ τοῖς πάσχουσιν ἐπιτιθέμενος.

15.

[a] Sic A. Simpl. Ἀρχελάου Trinc. Plutarch. p. 1154. E. F.

[b] τῆς Αἰτωλίας ποταμὸς] ποταμός ἐστι τῆς Αἰτωλίας A. B.

16.

[a] Sic A. Simpl. Θρασύλου Trinc. Plutarch. p. 1159. D.

[b] ἐν νείλῳ ποταμῷ] Νεῖλος ποταμός ἐστι A. B. Mox ἐκαλεῖτο δὲ τὸ (deest B.) πρότερον μέλας· γεννᾶται δ' ἐν αὐτῷ λίθος A. B. (ἐκαλεῖτο δὲ πρότερον μέλας) γίνεται λίθος Gesn. marg. πρότερον δὲ οὕτω καλουμένῳ. μέλας γίνεται Trinc.

[c] αὐτὸν] αὐτῶν A. B. αὐτῷ Trinc.

[d] ἐξέρχεται] ἐξέρχεσθαι Trinc.

17.

[a] Sic A. Simpl. Τιμαγόρου Trinc. Plutarch. p. 1163. A. C.

18.

[a] Sic A. Simpl. Κτησίου κνιδίου Trinc. Plutarch. ibid.

[b] προσονομαζόμενος] προσαγορευόμενος B.

19 [a] Σωστράτου ἐν πρώτῳ Μυθικῆς Ἀγωγῆς.

Ἐν [b] Τίγριδι ποταμῷ τῆς Ἀρμενίας γεννᾶται βοτάνη κριθῇ παρόμοιος ἀγρίᾳ. Ταύτην οἱ ἐγχώριοι θερμαίνοντες ἐν ἐλαίῳ καὶ ἀλειφόμενοι, οὐδέποτε νοσοῦσι μέχρι τῆς ἀνάγκης τοῦ θανάτου.

20 [a] Κλειτοφῶντος Ῥοδίου ἐν α̅ Ἰνδικῶν.

[b] Ἐν Ἰνδῷ ποταμῷ τῆς Ἰνδίας [c] φύεται βοτάνη [d] Καρπύκη καλουμένη, βουγλώσσῳ παρεμφερής· ποιεῖ δ' ἄριστα πρὸς ἰκτέρους, διὰ ὕδατος χλιαροῦ διδομένη.

21 [a] Πορφυρίου ἐκ τοῦ περὶ Στυγός.

Ἥτε ἰτέα [b] αὕτη τὸν καρπὸν ἀποβάλλει πρὶν ἐκθρέψαι· διὸ [c] ὠλεσίκαρπον αὐτὸν ὁ ποιητὴς ὀνομάζει. Καὶ μέντοι ἱστόρηται, ὡς μετὰ οἴνου δοθεὶς ὁ ταύτης καρπὸς ἀγόνους ποιεῖ τοὺς πιόντας, καὶ κατασβέννυσι τὸ σπέρμα, καὶ μαραίνει τὴν γόνιμον ὁρμήν.

22 [a] Ἐκ τῆς Τροφίλου συναγωγῆς Ἀκουσμάτων Θαυμασίων.

Τὸ τῆς ἴκτιδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ φύσει τῶν λοιπῶν ζώων, ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν. Φασὶ δὲ καὶ στραγγουρίας αὐτὸ φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις, καὶ δίδοσθαι ἐπιξυόμενον.

23 [a] Ἐν τῷ αὐτῷ.

Φασὶ τὸν γαλεώτην, ὅτ' ἂν [b] ἐκδυῇ τὸ δέρμα καθάπερ ὁ ὄφις, ἐπιστραφέντα καταπίνειν· τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιλήπτοις.

19.

[a] Sic A. Simpl. Σωστράτου Trinc. Plutarch. p. 1165. E.

[b] Τίγρης π. ἐστὶ τῆς A. γ. δὲ ἐν αὐτῷ A.

20.

[a] Sic A. Simpl. Κλειτοφῶντος Trinc. Plutarch. p. 1166. B.

[b] ἐν ἰνδῷ ποταμῷ] Ἰνδὸς ποταμός ἐστι A.

[c] φύεται] φύεται δ' ἐν αὐτῷ A.

[d] καρπύκη] καρπύλη A. B. Gesn. marg.

21.

[a] Sic A. Simpl. Πορφυρίου Trinc.

[b] αὐτὴ] αὕτη A. B.

[c] ὠλεσίκαρπον] ὀλεσίκαρπον A.

22.

[a] Sic A. Simpl. Τροφίλου Trinc. Ex Aristot. Θαυμ. Ἀκ. p. 91. ed. Sylb.

23.

[a] Sic A. Ἐν ταυτῷ Trinc. v. Ibid. p. 98.

[b] ἐκδυῇ] ἐκδύῃ B.

[c] Ἐν τῷ αὐτῷ.

Φασὶ τὴν φώκην ἐξεμεῖν τὴν πιτύαν, ὅτ' ἂν ἁλίσκηται· εἶναι δὲ φαρμακῶδες, καὶ τοῖς ἐπιληπτικοῖς χρήσιμον.

24 [a] Ἐν τῷ αὐτῷ.

Ἐν Ἄργει φασὶ [b] γίνεσθαι ἀκρίδος τὶ γένος, [c] ἣν καλεῖσθαι σκορπιομάχον· ὅτ' ἂν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ. Ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου τὸ ἐπιφαγεῖν αὐτήν.

25 [a] Ἀλκμαίωνος. 542

Λέγει δὲ τὰς νόσους συμπίπτειν [b] ὡς μὲν ὑφ' οὗ, δι' ὑπερβολὴν θερμότητος, ἢ ξηρότητος· ὡς δὲ ἐξ οὗ, διὰ πλῆθος τροφῆς, ἢ ἔνδειαν· ὡς [c] δὲ ἐν οἷς, αἷμα, ἢ μυελὸν, ἢ ἐγκέφαλον· γίνεσθαι δέ ποτε καὶ ὑπὸ τῶν ἔξωθεν αἰτιῶν, ὑδάτων ποιῶν, ἢ χώρας, ἢ κόπων, ἢ ἀνάγκης, ἢ τῶν τούτοις παραπλησίων.

26 [a] Διοκλέους.

Διοκλῆς τὰς πλείστας τῶν νόσων δι' ἀνωμαλίαν [b] γίνεσθαι ἔφη.

27 [a] Ἐρασιστράτου.

[b] Ἐρασίστρατος ἔλεγε πλῆθος καὶ διαφθορὰ, τἀνωτάτω αἴτια.

28 [a] Πλάτωνος ἐκ τοῦ Συμποσίου.

Ἐὰν μέν σοι [b] ἐθέλῃ, ἀπνευστὶ ἔχοντι πολὺν χρόνον, [c] παύσασθαι ἡ λύγξ· εἰ δὲ μὴ, ὕδατι [d] ἀνακογχυλίασον. Εἰ δ'

[c] Aristot. ibid. p. 99.

24.

[a] Sic A. Ibid. p. 117.

[b] γίνεσθαι] γενέσθαι A.

[c] ἣν] ἣν λέγεται A.

25.

[a] Sic A. Trinc.

[b] ὡς] Malim ἃς, et sic in sequentibus. Gesner.

[c] δαὶ] δὲ A.

26.

[a] Sic A. Deest locus Trinc.

[b] γίνεσθαι ἔφη] ἔλεγε τίκτεσθαι A.

27.

[a] Sic A. Trinc.

[b] Πλῆθος] Ἐρασίστρατος ἔλεγε πλῆθος A.

28.

[a] Sic A. Scil. p. 185. Simpl. Πλάτωνος Trinc.

[b] ἐθέλῃς] ἐθέλῃ A. Trinc.

[c] παύσεται] παύσασθαι A. Trinc. et mox λὺξ A.

[d] ἀνακογχυλίασον] ἀνακογχύασον Trinc.

ἄρα πάνυ ἰσχυρά ἐστι, [c] λαβών τι τοιοῦτον, οἵῳ [f] κινήσαις ἂν τὴν ῥῖνα, [g] πτάρε· καὶ ἐὰν τοῦτο ποιήσῃς ἅπαξ ἢ δὶς, [h] καὶ εἰ πάνυ ἰσχυρά ἐστι, παύσεται.

## ΠΕΡΙ ΥΓΕΙΑΣ, ΚΑΙ ΤΗΣ ΠΕΡΙ ΤΗΝ ΔΙΑΜΟΝΗΝ ΑΥΤΗΣ ΠΡΟΝΟΙΑΣ. ΡΑ.

1 [a] Πυθαγόρου.

Οὐδ' ὑγιείας τῆς κατὰ σῶμ' ἀμέλειαν ἔχειν χρή·
ἀλλὰ ποτοῦ τε [b] μέτρον, καὶ σίτου, γυμνασίων τε
ποιεῖσθαι· μέτρον δὲ λέγω [c] τόδ', ὃ μή σ' ἀνιήσει.
[d] εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.

2 [a] Ἀλκμαίωνος.

Ἀλκμαίων ἔφη τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων ὑγροῦ, ξηροῦ, θερμοῦ, πικροῦ, γλυκέος, καὶ τῶν λοιπῶν· τὴν δ' ἐν αὐτοῖς μοναρχίαν νόσου παρασκευαστικὴν εἶναι.

3 [a] Πλουτάρχου.

Ἡ ὑγεία ταῖς ἡδοναῖς, [b] ὥσπερ ἡ γαλήνη ταῖς ἀλκυόσιν, ἀσφαλῆ καὶ καλὴν γένεσιν καὶ λοχείαν ἐνδίδωσι. [c] Κομψῶς γὰρ ἔοικεν [d] ὁ Πρόδικος εἰπεῖν, ὅτι τῶν ἡδυσμάτων ἄριστόν ἐστι τὸ πῦρ· ἀληθέστερον γὰρ ἄν τις [e] εἴποι τὴν ὑγείαν ἥδυσμα θειότατον εἶναι καὶ προσηνέστατον. Ἑφθὰ μὲν γὰρ καὶ ὀπτὰ καὶ [f] πεπτὰ βρώματα νοσοῦσιν, ἢ κραιπαλῶσιν,

[c] λαβόντι] λαβών τι A. ἀναλαβών τι Gesn. marg.
[f] κνήσαιο] κινήσαις A. B. Gesn. marg. κνήσαι Trinc.
[g] πτάρε καὶ τοῦτο ποιήσας] πταρὼν καὶ ἐὰν τοῦτο ποιήσῃς A. B.
[h] κἂν] καὶ εἰ A. B.

1.

[a] Sic A. Trinc.
[b] μέτρων] μέτρον A.
[c] τόδ'] τοῦτο A. B.
[d] ἠθίζου] ἐθίζουσαν A. ἐθίζου Arsen. Trinc. εἰθίζου B.

2.

[a] Sic A. Deest lemma Trinc. Ubi om. ἔφη et καὶ ante τῶν λοιπῶν.

3.

[a] Sic A. Scil. II. p. 126. C.
[b] ὥσπερ] ἅπερ A.
[c] κομψῶς] κομπὸς A. B. κομψὸς Trinc.
[d] ὁ Πρόδικος] καὶ Π. A. B. Desunt ὁ Π. Trinc.
[e] εἴποι] εἴπῃ A.
[f] πεμπτὰ] πεπτὰ A. Trinc.

ἢ ναυτιῶσιν, [g] οὐδεμίαν ἡδονὴν οὐδὲ χάριν ἀποδίδωσι· [h] καθαρὰ δὲ καὶ ἀκραιφνὴς ὄρεξις ὑγιαίνοντι σώματι πᾶν ἡδὺ ποιεῖ, [καὶ ἁρπαλέον, ὡς Ὅμηρος ἔφη, καὶ πρόσφορον.]

4 [a] Ἐκ τῶν Ἀριστοξένου Πυθαγορείου.

Περὶ δὲ γενέσεως παίδων, τάδε ἔλεγε. Καθόλου μὲν φυλάττεσθαι τὸ καλούμενον προφερές· οὔτε γὰρ τῶν φυτῶν οὔτε τῶν ζώων εὔκαρπα τὰ προφερῆ γίγνεσθαι· ἀλλὰ χρόνον τινὰ προπαρασκευάζεσθαι τῆς καρποφορίας, ἐν ᾧ ἐξισχύ- 50
σαντα καὶ τετελειωμένα τὰ σώματα παρέχειν τά τε σπέρματα καὶ τοὺς καρποὺς δεδύνηται· πολλὰ δὲ εἶναι [b] ἐν τῷ (βίῳ) ἐν οἷς ἡ ὀψιμαθία ἐστὶ βελτίων, οἷον καὶ τὸ τοῦ ἀφροδισιάζειν πρᾶγμα. [c] Δέον οὖν ἔτι παῖδας οὕτως ἄγεσθαι διὰ τῶν [d] ἀσκημάτων ἀσχόλους, ὥστε μὴ μόνον μὴ ζητεῖν, ἀλλ' εἰ δυνατὸν μηδὲ [e] εἰδέναι τὴν τοιαύτην συνουσίαν ἐντὸς τῶν εἴκοσιν ἐτῶν. Ὅτ' ἂν δὲ καὶ εἰς τοῦτο ἀφίκηται, 543
σπανίοις εἶναι χρηστέον τοῖς ἀφροδισίοις· τοῦτο γὰρ πρός τε τὴν τῶν γεννώντων καὶ [f] γεννησομένων εὐεξίαν πολὺ συμβάλλεσθαι. Ἔλεγε δὲ μήτε τρυφῆς, μήτε μέθης πλήρη ταῖς γυναιξὶν εἰς τὸ γεννᾶν ὁμιλεῖν· οὐ γὰρ [g] οἴεσθαι ἐκ φαύλης καὶ ἀσυμφώνου καὶ ταραχώδους κράσεως εὔρυθμα καὶ καλά, ἀλλ' οὐδὲ ἀγαθὰ τὴν ἀρχὴν γίγνεσθαι.

[g] οὐδεμίαν ἡδονὴν ὑγιαίνοντι σώματι πᾶν ἡδὺ ποιεῖ. Trinc. ubi reliqua desunt.

[h] καθαρὰ] κάρα A. B. καὶ ἁρπαλ. κ. τ. λ. om. A.

4.

[a] Sic fere Trinc. ubi Ε. π. Ἀριστοξένους. Πυθαγορίου. Deest A.

[b] ἐν τῷ] βίῳ forte addendum. Koenius ad Gregor. Dial. Dor. XVII. Probabiliter.

[c] δέον οὖν ἐστι π. οὕτως] δεῖν οὖν ἔτι παῖδας ὄντας Wyttenbach. ad Plut. S. N. V. p. 562. A.

[d] ἀσωμάτων] ἀσκημάτων e MS. enotavit Grotius, et sic Eldikius apud Koënium. Sic Can.

[e] εἶναι] εἰδέναι Koën. ἡγεῖσθαι post συνουσίαν addit Gesnerus.

[f] γενησομένων] γενησομένην Trinc.

[g] οἱ ταῖς] οἷόν τε Wyttenbach. et in fine γίνεσθαι pro γίνεται. Pejus multo, me judice, Jacobsius in Athen. p. 342. αἰτίας pro οἱ ταῖς. Equidem dedi οἴεσθαι. Ceterum bene observavit Wyttenbachius Bibl. Crit. VIII. p. 113. hæc Aristoxenum ex Ocello Lucano descripsisse p. 534. ed. Gal. Videatur et Jamblichus Vit. Pythag. §. 209.

5 [a] Πλάτωνος.

[b] Φαίην ἂν δὴ καὶ τὰς φερούσας ἐν γαστρὶ πασῶν τῶν γυναικῶν μάλιστα θεραπεύειν ἐκεῖνον τὸν ἐνιαυτὸν, ὅπως μήθ' ἡδοναῖς τισι πολλαῖς ἅμα καὶ λαιμάργοις προσχρήσεται ἡ κύουσα, μήτ' αὖ λύπαις· τὸ δὲ λεῖον καὶ εὐμενὲς πρᾷόν τε τιμῶσα διασώζει τὸν τότε χρόνον.

6 [a] Πλουτάρχου.

Τὰ εὐτελῆ [b] κρατεῖ [c] τὴν ὄρεξιν ἐπὶ τῶν φυσικῶν μέτρων. Ὀψοποιῶν δὲ τέχναι, καὶ δημιουργῶν, καὶ

[d] τὰ πανοῦργα [e] ταῦτ' ὀψάρια καὶ ὑποτρίμματα

[[f] κατὰ τὸν κωμικὸν,] ἀεὶ τοὺς ὅρους τῆς ἡδονῆς μετατίθησιν εἰς τοὔμπροσθεν, καὶ παραλλάττει τὸ συμφέρον.

7 [a] Τοῦ αὐτοῦ.

Δεῖ θαρροῦντας μάχεσθαι πρὸς τὰς ὀρέξεις ἐκφερομένας καὶ ἐπιπηδώσας ταῖς ἀπολαύσεσιν, ὡς ἐλαφρὸν καὶ παιδικὸν [b] ἐχούσας τὸ μεμψίμοιρον, εἶτα παυομένας ἀρθείσης τῆς τραπέζης, καὶ μηδὲν ἐγκαλούσας, μηδὲ ἀδικουμένας, ἀλλὰ τοὐναντίον καθαρὰς καὶ ἱλαρὰς, καὶ οὐ βαρείας, οὐδὲ ναυτιώδεις περιμενούσας τὴν αὔριον.

8 [a] Τοῦ αὐτοῦ.

Λέγεται δὲ καὶ Ἀλέξανδρον εἰπεῖν τοὺς [b] ἐθάδας ὀψοποιοὺς [c] ἀποπεμψάμενον, ὥστ' ἔχειν βελτίονας [[d] ἄγειν] ἀεὶ σὺν ἑαυτῷ· πρὸς μὲν τὸ ἄριστον, τὴν νυκτοπορίαν· πρὸς δὲ τὸ δεῖπνον, τὴν ὀλιγαριστίαν.

5.

[a] Sic A. Trinc. Scil. Legg. VII. p. 792.

[b] φαίην] φαίης B.

6.

[a] Sic A. Scil. p. 125. F.

[b] κρατεῖ] κρατεῖν Trinc.

[c] τὴν ὄρεξιν om. A. B.

[d] τὰ πανοῦργα] τὰ om. Trinc.

[e] ταῦτα ὀψύρια] τοιαῦτα ὄψα A. B.

[f] κατὰ τὸν κωμικὸν om. A. Trinc.

7.

[a] Sic A. Scil. p. 127. A.

[b] ἐχούσας] ἐχούσαις A. B. ἔχουσαι Trinc.

8.

[a] Sic A. Scil. p. 127. B.

[b] ἐθάδας] τῆς ἄδας A. m. s. B.

[c] ἀποπεμψάμενος] ἀποπεμψάμενον A. Trinc.

[d] ἄγειν om. A. Trinc.

9 [a] Τοῦ αὐτοῦ.

Διὸ μὴ δεῖ σκοπεῖν τὸν ἰχθὺν εἰ πρόσφατος, μηδὲ τὸν ἄρτον εἰ καθαρὸς, μηδὲ τὸ βαλανεῖον εἰ θερμὸν, μηδὲ τὴν ἑταίραν εἰ εὔμορφος· ἀλλ' ἑαυτὸν εἰ μὴ ναυτιώδης, μηδὲ θολερὸς, [[b] μηδὲ ἕωλος,] μηδὲ τεταραγμένος. Εἰ δὲ μὴ, καθάπερ εἰς οἰκίαν πενθοῦσαν ἐμβαλόντες ἐπίκωμοι μεθύοντες οὐ φιλοφροσύνην παρέσχον οὐδὲ ἡδονὴν, ἀλλὰ κλαυθμοὺς καὶ ὀδυρμοὺς ἐποίησαν· οὕτως [[c] καὶ] ἀφροδίσια καὶ ὄψα καὶ βαλανεῖα καὶ οἶνος, ἐν σώματι κακῶς καὶ παρὰ φύσιν ἔχοντι μιγνύμενα, τοῖς μὴ καθεστῶσι [d] καὶ διεφθορόσι φλέγμα καὶ χολὴν κινεῖ, καὶ ταράττει, καὶ [e] προσεξίστησιν.

10 [a] Τοῦ αὐτοῦ.

Ἡ μὲν ἀκριβὴς σφόδρα καὶ διώνυχος λεγομένη δίαιτα τό τε σῶμα κομιδῇ παρέχεται ψοφοδεὲς καὶ σφαλερὸν, αὐτῆς τε τῆς ψυχῆς τὸ γαῦρον κολούει, πάντα πράγματα καὶ πᾶσαν οὐχ ἧττον ἐν ἡδοναῖς καὶ πόνοις διατριβὴν ὑφορωμένης, καὶ [b] πρὸς μηθὲν ἰταμῶς καὶ θαρραλέως βαδιζούσης. Δεῖ δὲ ὥσπερ ἱστίον τὸ σῶμα μήτε συστέλλειν εὐδίας οὔσης καὶ πιέζειν σφόδρα, μήτε ἀνειμένως χρῆσθαί τε καὶ καταφρονεῖν ἐν [c] ὑποψίᾳ γενόμενον, ἀλλ' ἐνδιδόναι, καὶ ποιεῖν ἐλαφρόν.

11 [a] Τοῦ αὐτοῦ.

Ὅθεν οὐ περὶ τροφὴν μόνον οὐδὲ γυμνάσια δεῖ φυλάττειν 544 τὸ σῶμα, μὴ παρὰ τὸ εἰωθὸς [b] ἅπτηται τούτων ὀκνηρῶς καὶ ἀπροθύμως, ἢ πάλιν διψῶδές ἐστι καὶ πειναλέον ὡς οὐ πέ-

9.

[a] Sic A. Scil. p. 128. D.

[b] μηδὲ ἕωλος om. A. Trinc.

[c] καὶ om. A. Trinc.

[d] διαφθορῶσι] διεφθορόσι A. B. μηδὲ διεφθόροσι Gesn. marg.

[e] προσεξίστησιν] προεξίστησιν Tr.

10.

[a] Sic A. Scil. p. 128. E.

[b] πρὸς μηθὲν] πρόσθεν A. Trinc.

[c] ὑποψίᾳ] ὑπεροψίᾳ B. m. s. Supra τε ante καὶ om. Trinc.

11.

[a] Sic A. Scil. p. 129. A.

[b] ἅπτηται τούτων] ἅπτεται καὶ τούτων A. Trinc.

φυκεν· ἀλλὰ καὶ τῶν ὕπνων τὸ μὴ συνεχὲς μηδὲ λεῖον, ἀλλ' ἀνωμαλίας ἔχον καὶ [c] σπασμοὺς, δεῖ εὐλαβεῖσθαι, καὶ τῶν ἐνυπνίων τὴν ἀτοπίαν. Ἂν γὰρ ὦσι μὴ νόμιμοι μηδὲ συνήθεις αἱ φαντασίαι, πλῆθος ἢ πάχος ὑγρῶν ἢ πνεύματος ταραχὴν ἐντὸς κατηγοροῦσιν. Ἤδη δὲ καὶ τὰ τῆς ψυχῆς κινήματα τὸ σῶμα μηνύει πρὸς νόσον ἐπισφαλῶς ἔχειν. Ἄλογοι γὰρ ἴσχουσιν ἀθυμίαι, καὶ φόβοι πολλάκις ἀπ' οὐδενὸς φοβεροῦ τὰς ἐλπίδας ἄφνω [d] κατασβεννύουσι. Γίνονται δὲ καὶ ταῖς ὀργαῖς ἐπίχολοι, καὶ ὀξεῖς, καὶ μικρόλυποι, [e] καὶ δακρυρροοῦσι, καὶ ἀδημονοῦσιν, ὅτ' ἂν ἀτμοὶ [f] πονηροὶ, καὶ ἀναθυμιάσεις [g] πυκναὶ συνιστάμεναι ταῖς τῆς ψυχῆς, ὥς φησι Πλάτων, ἀνακραθῶσι περιόδοις.

12 [a] Τοῦ αὐτοῦ.

Ὅθεν ἄριστα [b] λέλεκται, τὸ τροφῆς ἀκορίην καὶ πόνων ἀοκνίην καὶ σπέρματος οὐσίης [c] συντήρησιν ὑγιεινότατα εἶναι. Καὶ γὰρ ἡ παρὰ τὰς συνουσίας ἀκρασία, τῷ μάλιστα τὴν δύναμιν ἐκλύειν ὑφ' ἧς ἡ τροφὴ διαπονεῖται, πλέον περιττώματα [d] ποιεῖ καὶ πλῆθος.

13 [a] Πυθαγόρου.

Σαρκὸς φωνὴ, μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν.

14 [a] Γαληνοῦ χαρακτηριάζοντα εἰς Ἱπποκράτην.

Τὰ τῆς τέχνης στοιχεῖα σαφῶς ἀρέσκειν αὐτῷ λέγει τὰ ὅσα ἐναργῆ. Συνέστηκεν οὖν ὅ τε ἄνθρωπος, καὶ τὰ σύμπαντα ζῶα, ἐκ στερεῶν, ὑγρῶν, καὶ πνευμάτων. Οὐκ

[c] σπασμοὺς] διασπασμοὺς A. B. Gesn. marg. Mox πάθος Trinc. pro πάχος.

[d] κατασβεννύουσα] κατασβεννύουσι A. Trinc.

[e] καὶ δακρυρροοῦσι—πονηροὶ om. Tr.

[f] πονηροὶ om. B.

[g] πυκναὶ] πικραὶ Gesn. marg.

12.

[a] Sic A. Scil. p. 129. F.

[b] λέγεται] λέλεκται τὸ A. τὸ habet Trinc.

[c] συντήρησιν] τήρησιν Trinc.

[d] ποιεῖται] ποιεῖ A. Arsen. Trinc.

13.

[a] Sic Trinc. Deest locus A. B.

14.

[a] Sic Trinc. Deest locus A. B. v. Galeni ed. Charter. II. p. 72.

ἀμοιρεῖ δὲ οὐδ' ἡ τῶν φυτῶν φύσις τῆς τούτων τριγενείας· ἀλλὰ ζῇ τε καὶ αὔξεται, καὶ γεννᾷ, καὶ φύεται τῇ τούτων συστάσει. Τὴν μὲν οὖν τῶν στερεῶν σύστασιν ὀστοῖς ἀνατίθησι καὶ νεύροις, καὶ χόνδροις, ἤδη δὲ καὶ ὑμένι, καὶ ἀρτηρίαις, καὶ φλεψί· καὶ γὰρ ταῦτα τοῦ στερεοῦ γένους ἔν τισιν εἶναι λέγει. Τῆς δὲ τούτων συμπηγίας καὶ διαπλάσεως, ἑπόμενος τῷ εὐλόγῳ, τὴν κεφαλὴν εἶναι ἀρχὴν συνδοκεῖ. Ἀνατέθεικε δὲ τῇ τῶν στερεῶν φύσει, τό τε περὶ [b] ἀκμῶν, καὶ τὰ περὶ ἄρθρων, καὶ τὰ τούτοις ὅμοια· τῷ δὲ πνεύματι τὸ περὶ [c] φύσεων ἰδίως ἐπιγραφόμενον σύγγραμμα· τοῖς δ' ὑγροῖς, τὸ περὶ χυμῶν, καὶ τὸ περὶ ἀνθρώπου φύσεως, ἤδη δὲ καὶ σποράδην ἐν ἄλλοις· [d] ἔτι δὲ ταῦτα, αἷμα καὶ φλέγμα, χολὴ διττὴ, ξανθὴ καὶ μέλαινα. Εἶναι δὲ τὸ μὲν αἷμα, τὴν φύσιν ὑγρὸν καὶ θερμὸν, καὶ τὴν χρόαν ἐρυθρὸν, τὴν δὲ ποιότητα γλυκύ· τὸ δὲ φλέγμα, ψυχρὸν καὶ ὑγρὸν, καὶ λευκὸν, καὶ μᾶλλον ἁλμυρόν· τὴν δὲ ξανθὴν χολὴν, θερμήν τε καὶ ξηρὰν, καὶ ὠχρὰν, καὶ πικράν· τὴν δὲ ἑτέραν, ψυχρὰν καὶ ξηρὰν, καὶ μέλαιναν καὶ [e] φυκώδη. Ἀρέσκει δὲ αὐτῷ καὶ τὰς ἡλικίας διαιρεῖν εἰς δ', καὶ τὰς ὥρας τοῦ ἔτους ὁμοίως. Πλεονάζειν δὲ τῶν εἰρημένων χυμῶν ἕκαστον 545
ἐν τῇ ἡλικίᾳ καὶ τῇ ὥρᾳ τῇ οἰκείᾳ ἑκάστου. Καὶ ἐν μὲν τῇ τῶν παίδων ἡλικίᾳ, πλεονάζειν τὸ αἷμα, καὶ τῇ ὥρᾳ τοῦ [f] ἔαρος· ἐν δὲ τῇ τῶν ἀκμαζόντων, τὴν ξανθὴν χολὴν, καὶ ὥρᾳ θέρους· ἐν δὲ τῇ τῶν παρηβώντων, τὴν μέλαιναν, καὶ φθινοπώρῳ· ἐν δὲ τῇ τῶν γερόντων, τὸ φλέγμα, καὶ χειμῶνος· ἐοικέναι γὰρ τὰς τῶν χυμῶν φύσεις ταῖς τῶν ὡρῶν. Τὸ γοῦν ἔαρ, θερμόν τε καὶ ὑγρὸν, ὡς τὸ αἷμα· καὶ τὸ θέρος, θερμόν τε καὶ ξηρόν· τὸ δὲ μετόπωρον, ψυχρόν τε καὶ ξηρόν·

[b] Lego ἀγμῶν. GESN.
[c] Lego φυσῶν. GESN.
[d] Lego ἔστι. GESN.
[e] Malim φυσώδη. GESN.
[f] ἔαρος] ἀέρος Trinc. et sic infra.

ὁ δὲ χειμὼν, ψυχρὸς καὶ ὑγρός· ἀναλόγως τοῖς χυμοῖς· κατὰ ταυτὰ δὲ καὶ τὴν ἡμέραν διαιρεῖ, καὶ τῷ ἀριθμῷ καὶ τῇ φύσει, ὡς ἐν μικρᾷ τῇ ἀναλογίᾳ. Καθόλου γε τὰς τῶν ἀνδρῶν φύσεις πρὸς τὰς τῶν γυναικῶν διαφέρειν. Εἶναι γὰρ τοὺς μὲν ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον· τὰς δὲ ἐπὶ τὸ ψυχρότερόν καὶ ὑγρότερον. Ἐν ἑκάστου δὲ τούτων γένει, καὶ πρὸς ἀλλήλους ἔχειν μικροτέραν διαφορὰν, παρά τε τὰς τῶν χωρίων θέσεις, καὶ τὰς τῶν ἀέρων ἰδιότητας, καὶ τὰς τῶν διαιτημάτων ἀγωγάς. Παρέχειν δὲ καὶ τῶν χυμῶν ἕκαστον ἐν τῇ φύσει τοῦ ἀνθρώπου χρείαν ἐξαίρετον. Καὶ τὸ μὲν αἷμα, τρέφειν καὶ θερμαίνειν καὶ ὑγιαίνειν, καὶ εὐχροίας εἶναι ποιητικόν· τὴν δὲ ξανθὴν χολὴν, συνέχειν τὸ σῶμα, καὶ τοὺς πόρους μὴ ἐᾶν ἐκλύεσθαι, καὶ μυωπίζειν τὴν αἴσθησιν, καὶ συντελεῖν τῇ πέψει, καὶ τὰς ὁδοὺς τῶν ἐκκρίσεων παρέχειν εὐπετεῖς· τὴν δὲ μέλαιναν, ἕδραν, καὶ οἱονεὶ βάθρον τῶν ἄλλων χυμῶν· τὸ δὲ φλέγμα, νεύροις, ὑμέσι, καὶ χόνδροις, καὶ ἄρθροις, καὶ γλώττῃ πρὸς τὸ εὔδρομον τῆς κινήσεως. Δοκεῖ δὲ αὐτῷ καὶ τὸ σπέρμα πρὸς ζωογονίαν τό τε τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικὸς ἐπίσης συντελεῖν, καὶ ἀπὸ πάντων τῶν μελῶν φέρεσθαι τοῦ σώματος. Καὶ τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς τῆς μήτρας, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς γεννᾶσθαι. Ἰσχύειν δὲ καὶ δεξιὰ ὡς πρὸς τὰ ἀριστερά· καὶ τὰ ὑπερκείμενα ὡς πρὸς τὰ ὑποκείμενα. Δοκεῖ δ' αὐτῷ καὶ τὰς αἰτίας τῶν νοσημάτων ἃς μὲν ἐκ πληγῶν βιαίων, ἃς δὲ ἐκ τοῦ περιέχοντος εἶναι· τὰς δὲ πλείστας ἐκ τῶν ὑγρῶν τῶν εἰρημένων κατὰ πλῆθος, καὶ ἔλλειψιν, καὶ μεταβολὴν τὴν κατὰ ποιότητα, ἢ τὴν ἐκ τόπου εἰς τόπον. Ἀρέσκει δὲ αὐτῷ καὶ τὰ βοηθήματα εἰσφέρειν ἐκ τῶν ἐναντίων ἱσταμένων ταῖς αἰτίαις. Τῶν δὲ νοσημάτων, ἃ μὲν εἶναι ὀξέα φύσει, ἃ δὲ χρόνια, ἃ δὲ [g] ἐνδυαστά. Γίνεσθαι δὲ

[g] Leg. ἐνδοιαστὰ et sic infra.

ὡς πολὺ ἀπὸ χολῆς καὶ αἵματος, καὶ ἡλικίας ἀκμαζούσης, καὶ θέρους καὶ ἔαρος, τὰ ὀξέα· τὰ δὲ χρόνια, ἀπὸ φλέγματος καὶ μελαίνης χολῆς, καὶ ἐν πρεσβύταις, καὶ χειμῶνι· τὰ δ' ἐνδυαστὰ, ὁπόσα μεμιγμένας ἔχει τὰς αἰτίας. Ἤδη δὲ καὶ τίνα αὐτῶν σωτήρια, καὶ τίνα θανατικὰ [g] προγινώσκειν· βούλεται δὲ καὶ τὴν πρόγνωσιν καὶ τὴν πρόρρησιν ἀναγκαίαν τε εἶναι πρὸς τὴν τέχνην, καὶ διαφέρειν ἀλλήλων. Ὅπου μὲν γὰρ προγνῶναι χρὴ μόνον τὸν ἰατρόν· ὅπου δὲ καὶ προειπεῖν ἀσφαλές. Διαιρεῖται δὲ τὴν πρόγνωσιν εἴς τε τὰ προγεγονότα, καὶ τὰ ἐνεστῶτα τῶν συμπτωμάτων, ὁπόσα ἔχει πόσην ἀδηλότητα, καὶ εἰς τὰ μέλλοντα. Ἀρέσκει δ' αὐτῷ καὶ τὰς κρισίμους ἡμέρας ἐπε- 546 γνωκέναι. Γίνεσθαι γὰρ ὡς τὸ πολὺ τὰς μὲν περιττὰς κριτικὰς τῶν ὀξέων νοσημάτων· τὰς δὲ ἀρτίους, τῶν χρονίων. Καὶ τὰς μὲν θέρους καὶ ἐπὶ νέων, καὶ τῶν δεξιῶν μερῶν, καὶ τῶν ὑπερκειμένων, τὰς περισσάς· τὰς δὲ ἀρτίους, ἐπὶ τῶν ἐναντίων. Ἤδη δὲ καὶ τοὺς πρωτοπαθοῦντας τόπους εἰδέναι παραινεῖ, ἐκ τῆς τούτων ἐπιγνώσεως οὐ μικρὰν συμβαλλομένης μοῖραν εἴς σημείωσίν τε καὶ θεραπείαν.

15 [a] Ἀντύλλου περὶ τῆς καθ' ἡμέραν διαφορᾶς τῶν ἀέρων.

Ἡμέραν λαμβάνομεν σὺν τῇ νυκτί· ἀναλογίαν δ' αὐτὴν ἔφαμεν ἔχειν τινὰ πρὸς τὸν ἐνιαυτὸν, καθάπερ Ἱπποκράτης ἐν τῇ δευτέρᾳ τῶν Ἐπιδημιῶν ἐπεσημήνατο. Ἔστι δὲ ὁ μὲν ὄρθρος ὑγρὸς καὶ θερμὸς, ἔαρι ἐοικώς. Διὰ τοῦτο οἵτε [b] ὕπνοι εὐκρινεῖς, καὶ τὰ σώματα ἀνεῖται τὰ τῶν ὑγιαινόντων, καὶ [c] τὰ τῶν νοσούντων· ὥστε καὶ τοῖς πυρέσσουσιν εὐφορώτατον εἶναι τόνδε τὸν καιρόν. Ἀναθυμιάσεις δὲ ἄνεισι περὶ τὸν ὄρθρον, καὶ [d] αὖραι ποταμῶν ἀποπνέουσιν ὑγραὶ, καὶ

[g] Lego προγινώσκει. GESN.

15.

[a] Sic A. Trinc.

[b] ὕπνοι] ἵπποι A. ὕπνοι ἵπποι B. et in marg. ἴσως ὕπνοι ἤπιοι.

[c] τὰ τῶν] καὶ τὰ τῶν Trinc.

[d] αὖραι] ἄβραι A.

δρόσος ἐπιπίπτει, ἄνθη ἀναβαίνει, καὶ πάντα τὰ ἐκ τῆς γῆς φυόμενα ἀνίησιν, ἔαρι τῆς καταστάσεως τῆς ὀρθρινῆς ἐοικυίας. Τὰ δὲ μέσα τῆς ἡμέρας θέρει παρείκασται· τὰ δὲ κατὰ τὴν δείλην, φθινοπώρῳ, [e] διὰ τοῦτο βαρῶν καὶ δυσαρεστημάτων οἰστικὰ, νοσερᾶς οὔσης τῆς δείλης, ἀνάλογον φθινοπώρῳ. Τῆς δὲ νυκτὸς τὰ μὲν πρῶτα καὶ τὰ περὶ τὴν ἑσπέραν ὅμοια τῇ δείλῃ. Ἐντεῦθεν οὔτε ὑπνοῦν ἐπιτρέπομεν τοῖς κάμνουσι περὶ τήνδε τὴν ὥραν, οὔτε ποτὸν προσφέρομεν, οὔτε ἄλλο προσάγομεν βοήθημα, εἰ μή τι ἕτερον προκαλοῖτο, [f] ὑφορώμενοι τὸν καιρὸν τοῦτον, [g] ὥσπερ καὶ τὸν δειλινόν. Τὰ δὲ μέσα τῆς νυκτὸς χειμῶνι ἐξείκασται· πλεῖστον γὰρ τότε [h] ὁ ἥλιος καθάπερ καὶ ἐν [i] χειμῶνι ἀφέστηκεν ἡμῶν. Αἵτε οὖν ὀδύναι τοῖς νοσοῦσιν ἰσχυρότεραι τῆς νυκτὸς εἰκότως, διὰ τὴν ψύξιν πυκνουμένης τῆς ἐπιφανείας, καὶ ἀπολαμβανομένης τῆς κατὰ τὸ ἄδηλον διαπνοῆς. Καὶ τὰ ῥεύματα δὲ, καὶ τὰ τῶν ὀφθαλμιώντων, καὶ τὰ τῶν δυσεντερικῶν, καὶ κοιλιακῶν, καὶ τὰ αἱματικὰ, ἀπὸ τῆς αὐτῆς προφάσεως ἐπιγίνεται· παντὸς τοῦ εἰωθότος [k] ἀπεῖναι κατὰ τὸ ἀφανὲς εἰς ἕνα τόπον συνδιδομένου τὸν ῥευματιζόμενον. Τὰ δὲ τελευταῖα τῆς νυκτὸς διὰ τὴν πρὸς τὸν ὄρθρον γειτνίασιν τῆς αὐτῆς ἐκείνῳ κράσεως μεταλαμβάνει.

16 [a] Τοῦ αὐτοῦ Ἀντύλλου Περὶ τῶν ἐν τῷ ἀέρι διαφορῶν.

Εἰσὶ κατὰ θερμότητα καὶ ψύξιν διαφοραὶ τῶν ἀέρων. Ὁ μὲν οὖν θερμὸς παρέοικε τῇ θερινῇ ὥρᾳ· ὁ δὲ ψυχρὸς, τῇ χειμερινῇ. Πρὸς δὲ κἀκεῖνο ἑκάτερος ἔχει· ὁ μὲν ψυχρὸς εὐσαρκίας τε καὶ εὐτροφίας καὶ πιμελῆς γεννητικὸς, μεγάλα δὲ καὶ τὰ σώματα ἀπεργάζεται· τοιούτους δέ ἐστιν ἰδεῖν καὶ τοὺς τὰ ἀρκτικώτερα κλίματα κατοικοῦντας·

[e] διὰ τοῦτο—φθινοπώρῳ om. A. B.
[f] ὑφορώμενοι] ὑποφώμενοι Trinc.
[g] ὥσπερ καὶ τὸν] ὅπερ καὶ τὸ B.
[h] ὁ om. A.
[i] χειμῶνι] τῷ χείμωνι A. B.
[k] ἀπεῖναι] Forte ἀπιέναι. GESNER.

16.
[a] Sic fere Trinc. ubi Ἀντίλλου. Deest locus A.

πρὸς δὲ τὰ νοσήματα τὰ μὲν ὀξέα οὐ πάνυ τι ἐπιτήδειος, πρὸς δέ τινα τῶν χρονίων, οἷον φθίσεις, καὶ καχεξίας, καὶ παρέσεις, ἐπιληψίας τε καὶ ἀποπληξίας, καὶ πρὸς [b] τὰ ἀρθριτικὰ ἄθετος. Ὁ δὲ θερμὸς ἀὴρ, σωμάτων δαπανητικὸς, 547
ἰσχναίνων καὶ καταρινῶν τὰ συγκρίματα, εὐτονίαν [[c] δὲ] μᾶλλον καὶ εὐκινησίαν, ἤπερ ὁ ψυχρὸς, παρασκευάζει τοῖς ὑγιαίνουσιν, ἐν δὲ ταῖς νόσοις ῥᾳδίως ἐξελέγχει τὴν δύναμιν. Καὶ νεύροις μὲν καὶ θώρακι, ἀγαθός· τοῖς δὲ ἄλλοις μέρεσιν, οὐ πάνυ χρήσιμος. Ἔστι δὲ καὶ κατὰ παχύτητα καὶ λεπτότητα διαφορὰ τῶν ἀέρων. Ὁ μὲν οὖν παχὺς ἀχρεῖος ὢν ὅσον ἐφ' ἑαυτῷ, πλὴν πρὸς τὸ τηρῆσαι δύναμιν σκορπιζομένην ἐπιτήδειος· ὁ δὲ λεπτὸς, ὑγιεινὸς σφόδρα ἐστιν. Καὶ παρὰ φῶς καὶ σκότος διαφορὰ τῶν ἀέρων. Οἷος δὲ ἑκάτερος, κατανοῆσαι ῥᾴδιον ἀπὸ τῶν ἔμπροσθεν ἡμῖν περὶ νυκτὸς καὶ ἡμέρας εἰρημένων. Δόξει μὲν οὖν τισιν ἀλλότρια εἶναι τοῦ περὶ βοηθημάτων τόπου τὰ εἰρημένα, ἐπεὶ οὐκ ἐφ' ἡμῖν ἐστι ποιῆσαί τι αὐτῶν· οὐ μὴν ἀλλοτρίωταί γε ἡ παράληψίς τε καὶ χρῆσις καὶ ἀπαγόρευσις ἐφ' ἡμῖν οὖσαι. Τὰ μὲν οὖν πλεῖστα συνίστησιν αὐτῶν ἐν καιρῷ ἕκαστον γινόμενα βοηθήματα· ὅσα δὲ τοιαῦτα μὴ δύναται συστῆναι τὴν κακίαν αὐτῶν [d] ἐμφανίζουσαι, [e] ἔκκλισιν τὴν ἀπ' αὐτῶν ἐν βοηθήματος χώρᾳ τάττειν.

17 [a] Τοῦ αὐτοῦ περὶ τῆς ἐν ἑκάστῃ τῶν ἐτησίων ὡρῶν διαφορᾶς.

Ἐν ἑκάστῃ τῶν ὡρῶν τρεῖς διαφοραί. Τῶν μὲν πρώτων ὄντων ἑκάστης, τῶν δὲ ὑστάτων, τῶν δὲ μέσων, τὰ μὲν μέσα τὴν εἰλικρινεστάτην τῆς ὥρας ἔχει κρᾶσιν, τὰ δὲ πρῶτα καὶ ὕστατα τῇ γειτνιάσει τῶν ὡρῶν ἀφομοιοῦται. Αὐτίκα τοῦ [b] ἔαρος τὰ μὲν πρῶτα μᾶλλον ὑγρὰ, καὶ ἧσσον

[b] ἀρθριτικὰ] τὰ ἀρθ. N. Trinc.
[c] δὲ μᾶλλον] δὲ om. Trinc.
[d] ἐμφανίζουσαι] Forte ἐμφανίζοντα. Gesn.
[e] ἔκκλισιν] ἔκκλησιν N. Trinc.

17.
[a] Sic A. Trinc.
[b] ἔαρος] ἀέρος A. p. m. Trinc.

θερμά· τὰ δὲ μέσα, θερμὰ καὶ ὑγρὰ ἐπίσης· τὰ δὲ τελευταῖα, ἧσσον ὑγρὰ καὶ μᾶλλον θερμά. Τοῦ δὲ θέρους, τὰ μὲν πρῶτα θερμότερα· ἡ δὲ ἀπόληξις, ξηρὰ μὲν, οὐ πάνυ δὲ ψυχρά· τὰ δὲ μέσα, ξηρὰ καὶ θερμὰ ἐπίσης· τὰ δὲ ὕστατα, ξηρότερα μᾶλλον, ἔλασσον δὲ θερμά. Φθινοπώρου δὲ ἡ μὲν ἀρχὴ, ξηροτέρα, καὶ οὐ πάνυ ψυχρά· ἡ δὲ μεσότης, ἐπίσης ξηρὰ καὶ ψυχρά· τὰ δὲ ὕστατα, ψυχρότερα μὲν, ἔλασσον δὲ ξηρά. Τὸ [c] ἀνάλογον δὲ καὶ [d] ἐπὶ τοῦ χειμῶνος, τὰ μὲν πρῶτα, ψυχρὰ μᾶλλον· τὰ δὲ ὕστατα, ὑγρὰ μᾶλλον· τὰ δὲ μέσα ἐπίσης ὑγρὰ καὶ ψυχρά.

18 [a] Τοῦ αὐτοῦ περὶ τόπων καὶ τῶν ἐν αὐτοῖς ἀέρων.

Οἱ ὑψηλοὶ τῶν τόπων [b] ὑγιεινότεροι, τοῦ ἀέρος ἐν αὐτοῖς οὐ μένοντος, [c] ἀλλὰ καὶ περιχεομένου, καὶ ἀπὸ τῶν ἀνέμων συνεχὲς [d] ἀπωθουμένου· εὔπνοοί τε δὴ καὶ διαθέσεσι πάσαις ἐπιτήδειοι τοῖς περὶ θώρακα, καὶ κεφαλῇ πεπονθυίᾳ, καὶ τοῖς αἰσθητηρίοις πᾶσιν. Οἱ δὲ ταπεινοὶ τοῖς μὲν προειρημένοις ἀνάρμοστοι· διαφορουμένοις δὲ, [e] ἢ καὶ συγκοπτομένοις, ἐπιτήδειοι· καὶ γέρουσι δὲ ἁρμόζουσι μᾶλλον τῶν ὑψηλῶν. Οἱ δὲ παραθαλάττιοι τόποι τοῖς τε ὑδρωπικοῖς [f] ὑπὸ ῥεύματος [g] οὑτινοσοῦν ἐνοχλουμένοις ἁρμόδιοι· καὶ ὅπου [h] διαμύξαι, ἢ θάλψαι, ἢ [i] ἀναστομῶσαι· ἀγαθοὶ δὲ καὶ νευρι- 548
κοῖς, ἢ ἀρθριτικοῖς πᾶσιν· ἐπιτήδειοι δὲ καὶ εἰς ὄρεξιν [k] κεκακωμένοις. Οἱ δὲ μεσόγειοι, ψυχρότεροι τῶν παραθαλαττίων· καὶ πρὸς μὲν τὰ ὀξέα νοσήματα, ἐάν γε μὴ ἑλώδεις ὦσι μηδὲ κοῖλοι, κρείττους τῶν παραθαλαττίων·

[c] ἀνάλογον] τὸ ἀνάλογον A. B.

[d] χειμῶνος] ἐπὶ τοῦ χειμῶνος A. B.

18.

[a] Sic A. Trinc.

[b] ὑγιεινότεροι] ὑγιεινότερον Trinc. et mox om. οὐ.

[c] ἀλλὰ] ἀλλὰ καὶ A. B. Mox περιερχομένου B.

[d] ἀπαιθουμένου] Malim ἀπωθουμένου. Gesner. et sic B.

[e] ἢ om. B.

[f] ὑπὸ] Addo καὶ. Gesner. Sic B.

[g] οὑτινοῦν] οὑτινοσοῦν A. Trinc.

[h] διαμύξαι] Forte διαψύξαι. Gesner.

[i] ἀναστομῶσαι] Addo χρή. Gesn.

[k] κεκακωμένοις] κακωμένοις A. B.

πρὸς δὲ τὰ χρόνια, χείρους. Οἱ δὲ ἑλώδεις, κακοὶ μὲν ἀεί· [l]θέρους δὲ καὶ λοιμώδεις. Οἱ δὲ πετρώδεις, θέρους μὲν πνιγώδεις, χειμῶνος δὲ χαλεπῶς ψυχροί· οὐ φαῦλοι δὲ πρὸς ὑγείαν. Οἱ δὲ παραποτάμιοι, ψυχροὶ καὶ ἀνώμαλοι, ἀτροφίαις μόναις ἐπιτήδειοι ταῖς δι' [m]ὑγρότητα συνισταμέναις. Χείρους δὲ τούτων, οἱ τελματώδεις· οὐ [n]γὰρ μόνον φαῦλον τὸν ἀέρα κατασκευάζουσιν, ἀλλὰ καὶ τοὺς καρποὺς κακίους, στόμαχόν τε λυμαίνονται, καὶ τὰ σπλάγχνα σκληροῦσι, καὶ κακοεξίας καὶ κακοχυμίας καὶ ὕδρωπας ἀποτελοῦσι. Κακοὶ δὲ καὶ οἱ πρὸς μετάλλοις τισὶν ὑφεστῶτες· ξηροὶ γὰρ καὶ πνιγώδεις. Οἱ δὲ βαθύγειοι, [o]εὐχυμότεροι ὄντες, ταῖς ξηροτέραις ἁρμόζουσι διαθέσεσιν. Οἱ δὲ ἀργιλλώδεις διαλυτικοὶ τοῦ στομάχου, ἔκλυτον ἔχοντες τὴν ἀναθυμίασιν. Οἱ δὲ [p]πυρρόγειοι, ξηραντικώτεροι τούτων. Οἱ δὲ μελάγγειοι, πάντες ἄριστοι.

19 [a]Ξενοφῶντος ἐν ᾱ Ἀπομνημονευμάτων.

Ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. [b]Τὸ μὲν οὖν ὑπερεσθίοντα ὑπερπονεῖν ἀπεδοκίμαζε· τὸ δ' ὅσα ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε· ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν.

20 [a]Σωκράτους.

Σωκράτης παρῄνει φυλάττεσθαι τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει· καὶ τῶν πομάτων, ὅσα πίνειν μὴ διψῶντας.

[l] θέρους δὲ] κατὰ δὲ τὸ θέρος A. B.
[m] ὑγρότητα] Malim ξηρότητα. GESNER.
[n] δὲ] γὰρ A. B.
[o] εὐχυμώτεροι] εὐχυμότεροι A.
[p] πυρόγειοι] Forte πυρρόγειοι. GESNER. Sic A. B. Mox f. πάντως.

19.
[a] Sic Trinc. Scil. I. 2, 4.
[b] τὸν Trinc. et mox.

20.
[a] Sic A. Deest lemma Trinc. Vid. Xenoph. Mem. I. 3, 6.

21 [a] Γοργίου.

Γοργίας ἐρωτηθεὶς ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν· Οὐδὲν οὐδέποτε, ἔφη, πρὸς ἡδονὴν, οὔτε φαγὼν, οὔτε δράσας.

22 [a] Ἱπποκράτους.

Σιτία, ποτὰ, ὕπνοι, ἀφροδίσια, πάντα μέτρια.

23 [a] Τοιοῦτον τοίνυν ἐστιν, ὦ Χαρμίδη, τὸ ταύτης τῆς ἐπῳδῆς· ἔμαθον δὲ αὐτὴν ἐγὼ ἐκεῖ ἐπὶ στρατείας, παρά τινος τῶν Θρᾳκῶν τῶν Ζαμόλξιδος [b] πολιτῶν, οἳ λέγονται [καὶ] ἀπαθανατίζειν. Ἔλεγε δὲ ὁ Θρᾷξ [c] οὗτος, ὅτι ταῦτα μὲν δὴ οἱ Ἕλληνες ἰατροὶ, ἃ νῦν δὴ ἐγὼ ἔλεγον, καλῶς λέγοιεν· ἀλλὰ Ζάμολξις, ἔφη, [d] λέγει ὁ ἡμέτερος βασιλεὺς, θεὸς ὢν, ὅτι ὥσπερ [e] ὀφθαλμοὺς ἄνευ κεφαλῆς οὐδεὶς ἐπιχειρεῖ ἰᾶσθαι, οὐδὲ κεφαλὴν ἄνευ σώματος, οὕτως οὐδὲ σῶμα ἄνευ ψυχῆς. Ἀλλὰ τοῦτο [f] καὶ αἴτιον εἴη τοῦ διαφεύγειν τοὺς παρὰ τοῖς Ἕλλησιν ἰατροὺς τὰ πολλὰ [g] νοσήματα, ὅτι [h] τοῦ ἄλλου ἀμελοῖεν, οὗ δέοι τὴν ἐπιμέλειαν ποιεῖσθαι, οὗ μὴ καλῶς ἔχοντος ἀδύνατον εἴη τὸ μέρος [i] εὖ ἔχειν. Πάντα γὰρ ἔφη ἐκ τῆς ψυχῆς [j] ὡρμῆσθαι καὶ τἀγαθὰ καὶ τὰ κακὰ τῷ σώματι, καὶ παντὶ τῷ ἀνθρώπῳ· κἀκεῖθεν ἐπιρρεῖν ὥσπερ ἐκ τῆς κεφαλῆς ἐπὶ τὰ ὄμματα. Δεῖν οὖν ἐκεῖνο καὶ πρῶτον καὶ μάλιστα θεραπεύειν, εἰ μέλλει καὶ τὰ τῆς 549
κεφαλῆς καὶ τὰ τοῦ [k] ἄλλου σώματος καλῶς ἔχειν. Θεραπεύεσθαι δὲ τὴν ψυχὴν ἔφη, ὦ μακάριε, ἐπῳδαῖς τισι· τὰς δ' ἐπῳδὰς ταύτας τοὺς λόγους εἶναι τοὺς καλούς.

21.

[a] Sic A. Deest lemma Trinc.

22.

[a] Sic A. Trinc.

23.

[a] Plato Charmid. p. 156. D. Deest hic locus A. Trincavellus Xenophonti tribuit.

[b] ἰατρῶν] πολιτῶν N. Trinc.

[c] οὗτος] οὕτως Trinc.

[d] λέγει] λέγειν Trinc.

[e] ὀφθαλμοὺς] ὀφθαλμὸς N.

[f] καὶ om. N.

[g] νοσήματα] νόμιμα N. Trinc.

[h] τοῦ ἄλλου ἀμελοῖεν] τὸ ὅλον ἀγνοοῖεν Gesn. marg.

[i] εὖ ἔχειν om. N. εὖ om. Trinc.

[j] ὁρμῆσθαι] ὡρμῆσθαι Trinc.

[k] ἄλλου] ὅλου Gesn. marg.

Ἐκ δὲ τῶν τοιούτων λόγων [[1] ἐν] ταῖς ψυχαῖς σωφροσύνην ἐγγίγνεσθαι, ἧς ἐγγενομένης καὶ παρούσης ῥᾴδιον ἤδη εἶναι τὴν ὑγείαν καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι πορίζειν.

24 [a] Τοῦ αὐτοῦ Νόμων ζ.

Ὅτι τὰ [b] σώματα πάντα ὑπὸ τῶν σεισμῶν [c] τε καὶ κινήσεων κινούμενα ἄκοπα ὀνίναται [d] πάντων, ὅσα τε ὑπὸ ἑαυτῶν, ἢ καὶ ἐν [e] ἑώραις, ἢ καὶ κατὰ θάλατταν, ἢ καὶ ἐφ᾽ ἵππων ὀχουμένων, καὶ ὑπ᾽ ἄλλων ὁπωσοῦν [f] δὴ φερομένων τῶν σωμάτων κινεῖται. Καὶ διὰ ταῦτα τὰς τῶν σίτων τροφὰς καὶ ποτῶν κατακρατοῦντα, ὑγίειαν, καὶ κάλλος, καὶ τὴν ἄλλην ῥώμην ἡμῖν δυνατά ἐστι παραδιδόναι.

25 [a] Ξενοφῶντος ἐν ἕκτῳ τῆς Κύρου παιδείας.

Ἡ γὰρ κατὰ μικρὸν [b] ὑπάλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς. Διδάσκει δὲ καὶ ὁ θεὸς ἀπάγων ἡμᾶς κατὰ μικρὸν ἔκ τε τοῦ χειμῶνος εἰς τὸ ἀνέχεσθαι ἰσχυρὰ θάλπη, καὶ ἐκ τοῦ θάλπους εἰς τὸν ἰσχυρὸν χειμῶνα· ὃν χρὴ μιμουμένους, εἰς ὃ [c] δεῖ ἐλθεῖν προειθισμένους ἡμᾶς ἀφικνεῖσθαι.

26 [a] Πλάτωνος.

Κατὰ δὲ ταυτὰ ταῦτα καὶ τὰ μέρη θεραπευτέον, τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. Τοῦ γὰρ σώματος ὑπὸ τῶν εἰσιόντων [b] καιομένου τε ἐντὸς καὶ ψυχομένου, καὶ πάλιν ὑπὸ τῶν ἔξωθεν ξηραινομένου καὶ ὑγραινομένου, καὶ τὰ τούτοις ἀκόλουθα πάσχοντος ὑπ᾽ ἀμφοτέρων τῶν κινήσεων,

[1] ἐν om. N. Trinc.

24.

[a] Sic Trinc. Scil. p. 789. Ἐκ τοῦ Ἀρχιδάμου νόμων ζ. A.

[b] σώματα πάντα] πάντα om. Tr.

[c] τε καὶ] τῶν καὶ A.

[d] πάντως] πάντων A. B. cum πάντως pro v. l. πάντων Trinc.

[e] ἑώραις] αἰώραις B.

[f] δὴ] δὲ B.

25.

[a] Sic fere A. ubi κύπρου Scil. VI. 2, 29. Simpl. Ξενοφῶντος Trinc.

[b] ὑπάλλαξις] μετάλλαξις A. B.

[c] δεῖ] δὴ A. B. διελθεῖν Trinc.

26.

[a] Sic Trinc. Scil. Timæo p. 88. C. Deest locus A. B.

[b] καιομένου τε ἐντὸς] καιομένων ἐντὸς Trinc. Mox ib. ἄγων τῷ.

ὅτ᾽ ἂν μέν τις ἡσυχίαν ἄγον τὸ σῶμα παραδιδῷ ταῖς κινήσεσι, κρατηθὲν διώλετο. Ἐὰν δὲ [c] τήν τε τροφὸν καὶ τιθηνὴν [d] τοῦ παντὸς προσείπομεν μιμῆταί τις, καὶ τὸ σῶμα μάλιστα μὲν μηδέποτε ἡσυχίαν ἄγειν ἐᾷ, κινῇ δὲ, καὶ σεισμοὺς ἀεί τινας ἐμποιῶν αὐτῷ διὰ παντὸς τὰς ἐντὸς καὶ ἐκτὸς [e] ἀμύνηται κατὰ φύσιν κινήσεις, καὶ μετρίως σείων, τά τε περὶ τὸ σῶμα πλανώμενα παθήματα, καὶ μέρη κατὰ ξυγγενείας εἰς τάξιν κατακοσμῇ πρὸς ἄλληλα, κατὰ τὸν πρόσθεν λόγον, ὃν περὶ τοῦ παντὸς ἐλέγομεν, οὐκ ἐχθρὸν παρὰ ἐχθρὸν τιθέμενον [f] ἐάσει πολέμους [g] ἐντίκτειν τῷ σώματι καὶ νόσους, ἀλλὰ φίλον παρὰ φίλον τεθὲν ὑγίειαν ἀπεργαζόμενον παρέξει. Τῶν δ᾽ αὖ κινήσεων ἡ ἐν αὑτῷ ὑφ᾽ ἑαυτοῦ ἀρίστη [κίνησις·] μάλιστα γὰρ τῇ διανοητικῇ καὶ τῇ τοῦ παντὸς κινήσει ξυγγενής· ἡ δὲ ὑπ᾽ ἄλλου [h] χείρων. Χειρίστη δὲ ἡ κειμένου τοῦ σώματος καὶ ἄγοντος ἡσυχίαν δι᾽ ἑτέρων αὐτὸ κατὰ μέρη κινοῦσα. Διὸ δὴ τῶν καθάρσεων καὶ [i] συστάσεως τοῦ σώματος, ἡ μὲν διὰ τῶν γυμνασίων, ἀρίστη· δευτέρα δὲ ἡ διὰ τῶν αἰωρήσεων, κατά τε τοὺς πλοῦς, καὶ ὅπηπερ ἂν ὀχήσεις ἄκοποι γίνωνται· τρίτον δὲ εἶδος κινήσεως σφόδρα ποτε ἀναγκαζομένῳ χρήσιμον, ἄλλως δὲ οὐδαμῶς τῷ νοῦν ἔχοντι προσδεκτέον, τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν.

27 [a] Ἀντύλλου.

Εἴδη τῶν βοηθημάτων κατὰ γένη τέσσαρα· τὰ μὲν ποιού- 550
μενα, τὴν ὠφέλειαν ἔχοντα ἐν τῇ τοῦ κάμνοντος ἐνεργείᾳ· τὰ δὲ προσφερόμενα, ἐν τροφῆς καὶ ποτοῦ μέρει λαμβανό-

[c] τήν τε] ἣν Gesn. marg.

[d] τοῦ παντὸς] τούτου π. προσείπωμεν Trinc. et mox κινεῖ.

[e] ἂν κινεῖται] ἀμύνηται Gesn. ma g.

[f] ἐάσει] ἐᾶσθαι Trinc.

[g] ἐντίκτειν] ἐκτείνειν N. Mox κίνησις om. Tr. et ξυγγενεῖ pro ξυγγενής.

[h] χείρων] χ. οὐχ ὁμοία N. Trinc. Suspicor χείρων esse e gl. Mox κινουμένου Trinc.

[i] συστάσεων] συστάσεος N. συστάσεως Trinc.

27.

[a] Sic A. Ἀντίλλου Trinc.

μενα· τὰ δὲ [b] κενούμενα, ὅσα [c] ἐξάγοντά τι τοῦ σώματος βοηθεῖ· [d] ἔσται δὲ καὶ περὶ τῶν κενουμένων τοῖς εὐσχολοῦσι πολλή τις ἀκριβολογία, τί δή ποτε δὲ οὐχὶ κενοῦντα, ἀλλὰ κενούμενα ὠνόμασται· τὰ δέ ἐστιν ἔξωθεν προσπίποντα τῶν βοηθημάτων.

28 [a] Τοῦ αὐτοῦ.

[b] Καὶ τῶν ἔξωθεν προσπιπτόντων βοηθημάτων τὰ μέν ἐστι λεπτομερῆ, τὰ δὲ παχυμερῆ. Λεπτομερῆ μὲν, ἀήρ τε καὶ ὅσα ἀέρος εἴδη· παχυμερῆ δὲ, τὰ συνεστῶτα. Τῶν δὲ παχυμερῶν τὰ μὲν [[c] γὰρ] γεώδη, τὰ δὲ ὑδατώδη. Γεώδη μὲν καταπλάσματά καὶ μαλάγματα· ὑδατώδη δὲ, λουτρὰ καὶ καταντλήσεις καὶ ἐμβροχαί.

29 [a] Τοῦ αὐτοῦ.

Ἀέρων διαφοραὶ πλείους. Αἱ μὲν γὰρ παρὰ τὰς ὥρας τὰς ἐτησίους, αἱ δὲ παρὰ τὰς μηνιαίους παραλλαγὰς, αἱ δὲ παρὰ τὰς μεταβολὰς τὰς ἡμερησίους τε καὶ νυκτερινὰς, αἱ δὲ παρὰ παχύτητα καὶ λεπτότητα, αἱ δὲ παρὰ κίνησιν ἢ στάσιν, αἱ δὲ παρὰ κίνησιν καὶ ἐπιμιξίαν γεωδῶν ἀναθυμιάσεων. Εἰσὶ δὲ καὶ ἄλλαι μικρότεραι διαφοραὶ, δυνάμεναι τὴν ἀναφορὰν ἐπὶ τὰς [b] ἐγκειμένας λαμβάνειν.

30 [a] Τοῦ αὐτοῦ περὶ τῆς κατὰ μῆνα τῶν ἀέρων διαφορᾶς.

Ἐργάζεται δὲ διαφορὰς ἐν τῷ ἀέρι παραπλησίως [b] τῷ ἀέρι καὶ ἡ σελήνη περιϊοῦσα τὸν τῶν ζωδίων κύκλον. Ἐργάζεται δὲ καὶ αὕτη τέσσαρας ὥρας μηνιαίους, ἀναλογούσας ταῖς ἐτησίοις, ἑβδομαδικῷ δὲ ἀριθμῷ [c] περικυκλεομένας.

[b] κενούμενα] κινούμενα A.
[c] ἐξάγοντα] ἐξάγονται Trinc.
[d] ἔσται] Lego ἔστι. Gesner.

28.

[a] Sic A. Trinc.
[b] τῶν] καὶ τῶν A. Videtur hic locus præcedenti cohærere.
[c] γὰρ om. A. Trinc.

29.

[a] Sic Trinc. Deest locus A.
[b] ἐγκειμένας] Malim προκειμένας. Gesner. F. ἐκκειμένας.

30.

[a] Sic A. Trinc.
[b] τῷ ἀέρι] Videtur abundare. Gesner. ἡλίῳ suprascriptum habet B.
[c] περικυκλεομένας] περικυκλευομένας B. περικυκλεομέναις Trinc.

Ἡ μὲν οὖν πρώτη τοῦ μηνὸς ἑβδομὰς ἀρχὴν μὲν ἀπὸ νεομηνίας ἔχει, πρόεισι δὲ μέχρι διχοτόμου· ἔστι δὲ [d] ἐοικυῖα ἔαρι, ὑγρὰ γὰρ καὶ θερμή. Ἐντεῦθεν καὶ τὸ περιέχον ἐν τῷ καιρῷ τούτῳ, [e] ὑγρότερον· καὶ ὄμβροι τηνικαῦτα ὡς ἐπίπαν καταρρήγνυνται, καὶ οὗτοί γε ὑγροὶ καὶ γονιμώτατοι παραπλησίως τοῖς ἐαρινοῖς. Ἡ δὲ δευτέρα ἑβδομὰς ἄρχεται μὲν ἀπὸ διχοτόμου, πρόεισι δὲ ἄχρι πανσελήνου, θέρει δὲ παραπλήσιος διὰ τοῦτο, ὅτι καρποὺς πέσσει μάλιστα. Ἥτε [f] μὴν μετὰ πανσέληνον ἑβδομὰς, ἕως διχοτόμου φθινούσης τῆς σελήνης, ξηρὰ, καὶ φθινοπώρῳ παραπλήσιος. Ἡ δὲ τελευταία χειμῶνι ἔοικεν. Ὅσα οὖν αἱ τοῦ ἐνιαυτοῦ ὧραι ἐπιφέρουσι, τοσαῦτα καὶ παρὰ τῶν μηνιαίων ἡγητέον ἀπαντᾶν. Ἐκεῖνο μέντοι προσδιαληπτέον, ὅτι ὁ μὲν ἥλιος κατὰ τὴν [g] αὐτοῦ δύναμιν θερμαίνει τὰ σώματα, ἡ δὲ σελήνη μᾶλλον [h] ὑγραίνει. Παρὰ ταύτην οὖν τὴν αἰτίαν τούς τε ἐγκεφάλους διερωτέρους ἀποτελεῖ, καὶ τὰ κρέα σήπει· καὶ τὰ σώματα τῶν [i] αἰθριοκοιτούντων ὑγρότερα καὶ ἀμβλύτερα ἀπεργάζεται, καὶ [k] καρηβαρίας καὶ ἐπιληψίας ἀνακινεῖ κατὰ τὴν ὁμοίαν αἰτίαν.

## ΠΕΡΙ ΙΑΤΡΩΝ, ΚΑΙ ΙΑΤΡΙΚΗΣ. ΡΒ. 551

[a] Ὁμήρου.

Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
ἰούς τ' ἐκτάμνειν, ἐπί τ' ἤπια φάρμακα πάσσειν.

[d] οἰκυῖα] ἐοικυῖα A. Trinc.
[e] ὑγρότερον] ὑγρότατον A. B.
[f] μὴν om. A. B. Mox πανσέληνος Trinc.
[g] αὐτοῦ] οἰκείαν A. B.
[h] ὑγραίνει] ὑγραίνει αὐτὰ A. B. ὑγιαίνει Trinc.
[i] αἰθριοκοπούντων] Forte αἰθριοκοιτούντων. GESNER. αἰθρισκοπούντων Trinc.
[k] καριβαρίας] καρηβαρίας A. Tr.

1.

[a] Sic A. Trinc. Scil. Il. Λ. 514.

2 [a] Εὐριπίδου.

[b] Μέλλοντ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον,
ἰάσατ' ἤδη μᾶλλον, ἢ τεμὼν χρόα.

3 [a] Κατὰ ἰατρῶν Μιμνέρμου Νάννου.

[b] Οἷα δὴ φιλοῦσιν ἰατροὶ λέγειν,
τὰ φαῦλα μείζω, καὶ τὰ δείν' [c] ὑπὲρ φόβον,
πυργοῦντες αὐτούς.

4 [a] Φιλήμονος.

[b] Ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι
ἐστὶν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.
τεκμήριον δὲ, [c] τοὺς ἰατροὺς οἶδ' ἐγὼ
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας· εἶτ' [d] ἐὰν πταίσωσί τι,
[e] αὐτοὺς ποιοῦντας πάνθ', ὅσ' οὐκ εἴων τότε.
[f] ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἔστ' ἴσως.

5 [a] Φιλήμονος.

Οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς, ἂν [b] εὖ σκοπῇς,
τοὺς [c] αὐτὸς αὐτοῦ βούλεθ' ὑγιαίνειν φίλους,
οὔτε στρατιώτης πόλιν ὁρᾶν ἄνευ κακοῦ.

2.

[a] Sic A. Trinc. fr. inc. 67.

[b] μέλλοντ'] μένοντ' B. μέλλοντ' defendi poterit ut recte sic scriptus—mihi quidem perplacet μέλλων γ' ἰατρὸς *medicus qui quidem* prudenter *cunctatur*, τῇ νόσῳ διδοὺς χρόνον, *suos morbo dies relinquens*, atque exspectans τὸν κρίσιμον· tempus illud intermedium ducendo, medicus ille cunctator *sanare* certius *sæpe solet*, *quam si remediis morbum irritaret*. VALCK. Diatr. Eurip. p. 230.

3.

[a] Sic A. Simpl. Μνημνέρμου Tr. Μιμνέρμου κατὰ ἰατρῶν Voss.

[b] οἷα δὴ φ.] Heic in MS. A. incipit novus titulus *Contra Medicos*. GROTIUS. οἱ ἰατροὶ Trinc.

[c] ὑπὲρ φόβον] ὑπέρφοβα B.

4.

[a] Sic A. Cleric. p. 328. cum priore conjungit Trinc.

[b] ἄνθρωπον ὄντα] ἄλλῳ πονοῦντι Bentleius.

[c] τοὺς ἰατροὺς] Hæc et seqq. repetuntur infra CXI. 1.

[d] ἐπὰν] ἐὰν A. Voss. Arsen. Tr.

[e] αὐτοὺς] αὐτοὺς B.

[f] ἑτέρων] ἕτερον A. B.

5.

[a] Sic A. Cleric. p. 356. Deest lemma Trinc.

[b] εὖ om. Voss. οὐδεεὶς ἄνευ κόπου B. ἂν κοπεῖς A.

[c] αὐτὸς αὐτοῦ] αὐτοῦ αὐτὸς A. Voss.

6 [a] Φιλήμονος νεωτέρου.

Τίς οὗτός [b] ἐστ᾽; ἰατρός· ὡς κακῶς ἔχει
ἅπας ἰατρὸς, ἂν κακῶς μηδεὶς [c] ἔχῃ.
μόνῳ δ᾽ ἰατρῷ [d] τοῦτο καὶ συνηγόρῳ
ἔξεστιν, [e] ἀποκτείνειν μὲν, ἀποθνήσκειν δὲ μή.

7 [a] Δημοσθένους Ὀλυνθιακῶν.

Καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε· καὶ γὰρ ἐκεῖνα οὔτε ἰσχὺν ἐντίθησιν, οὔτ᾽ ἀποθνήσκειν ἐᾷ.

8 [a] Πλουτάρχου.

Τῶν δ᾽ ἐλευθερίων τεχνῶν ἰατρικὴ τὸ μὲν γλαφυρὸν καὶ περιττὸν καὶ ἐπιτερπὲς οὐδεμιᾶς ἐνδεέστερον ἔχει, θεωρητικὸν δὲ μέγα τοῖς φιλομαθοῦσι, τὴν σωτηρίαν καὶ τὴν ὑγείαν.

9 [a] Τροφίλου.

Τρόφιλος ἰατρὸς [b] ἐρωτηθεὶς, τίς ἂν γένοιτο τέλειος ἰατρός· Ὁ τὰ δυνατὰ, ἔφη, καὶ τὰ μὴ δυνατὰ δυνάμενος διαγιγνώσκειν.

## ΠΕΡΙ ΕΥΔΑΙΜΟΝΙΑΣ. ΡΓ.

1 [a] Ὁμήρου Ὀδυσσείας.

Ἥβης [b] ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.

[c] Τοῦ αὐτοῦ εἰς αὐτό.

Ὄλβον ἐπικλῶσαι γαμέοντί τε [d] γινομένῳ τε·
αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισι,
υἱέας δ᾽ αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.

6.

[a] Sic A. Deest lemma Trinc.
[b] ἐστιν οὗτος] οὗτός ἐστιν A. B.
[c] ἔχῃ] ἔχει Voss.
[d] τοῦτο] τούτῳ Voss. Tr. Hunc vs. a superioribus distinxit Grotius.
[e] ἀποκτείνειν] ἀποκτεῖναι B.

7.

[a] Sic A. Scil. p. 37. Simpl. Δημοσθένους Trinc.

8.

[a] Scil. II. p. 122. D. Deest lemma Trinc. locus A.

9.

[a] Sic A. Deest lemma Trinc.
[b] ἐρωτηθεὶς] ἐρωτηθεὶς ὑπό τινος A.

1.

[a] Sic A. Scil. Ψ. 212.
[b] ταρπῆναι] τραπῆναι A.
[c] Sic A. Sc. Od. Δ. 208.
[d] γενομένῳ] γεινομένῳ A.

2 [a] Βακχυλίδου Ἐπινικῶν.

Ὄλβιος ᾧ τινι θεὸς μοῖράν τε καλῶν [b] ἔπορε,
σύν τ' ἐπιζήλῳ [c] τύχᾳ ἀφνειὸν βιοτὰν διάγειν.
οὐ γάρ τις ἐπιχθονίων [d] πάντ' εὐδαίμων ἔφυ.

3 [a] Καρκίνου Τηρεύς.

Ἀσκεῖν μὲν ἀρετὴν, εὐτυχεῖν δ' [b] αἰτεῖν θεούς.
ἔχων γὰρ ἄμφω ταῦτα, μακάριός θ' ἅμα 552
κεκλημένος ζῆν [c] κἀγαθὸς δυνήσεται.

4 [a] Καλλιμάχου Ὕμνων.

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν.

5 [a] Σοφοκλέους Ἀντιγόνης.

Εὐδαίμονες [b] οἷσι κακῶν ἄγευστος αἰών.

6 [a] Πινδάρου Θρήνων.

[b] Εὐδαιμόνων
δραπέτας οὐκ ἔστιν ὄλβος.

7 [a] Μενάνδρου Δημιουργοῦ.

Μακάριος, ὅστις οὐσίαν καὶ νοῦν ἔχει·
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.

8 [a] Θεόγνιδος.

Κάλλιστον τὸ δικαιότατον, [b] ῥᾶστόν θ' ὑγιαίνειν,
ἥδιστον [c] δὲ τυχεῖν ὧν τις ἕκαστος ἐρᾷ.

2.

[a] Sic A. Simpl. Βακχυλίδου Tr.
[b] ἔπορε] ἔπορεν Voss.
[c] τύχᾳ] τάχα A.
[d] πάντ'] πᾶν γ' A. πανευδαίμων B. παντευδαίμων Trinc.

3.

[a] Sic fere A. Voss. Arsen. ubi τυρεύς. Simpl. Καρκίνου Trinc.
[b] αἰτεῖν] αἴτει B.
[c] κἀγαθὸς] τἀγαθὸς A. B.

4.

[a] Sic A. Scil. Jov. 95. Simpl. Καλλιμ. Trinc.

5.

[a] Sic A. Scil. v. 582. Simpl. Σοφοκλ. Trinc.
[b] οἷσι] εἰς οἷ A.

6.

[a] Sic A. Simpl. Πινδάρου Trinc.
[b] εὐδαίμων] εὐδαιμόνων A. B. et in fine versus ὄλβος pro ὄλβιος. Hoc recepit Grotius.

7.

[a] Sic A. Cleric. p. 120. Simpl. Μενάνδρου Trinc.

8.

[a] Sic A. Trinc. Scil. v. 255.
[b] ῥᾶστόν θ'] ῥᾶστον δ' ἔσθ' A. δ' pro θ' B.
[c] δὲ τυχεῖν] δ' εὐτυχεῖν B.

9 [a] Σκληρίου.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τρίτον δὲ [b] πλουτεῖν ἀδόλως,
εἶτα τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

10 [a] Σοφοκλέους Ἴωνος.

Ἐν Διὸς κήποις ἀροῦσθαι [b] μόνον εὐδαίμονας ὄλβους.

11 [a] Κρατῖνος ἐν Πλούτοις.

Αὐτόματα τοῖσι θεὸς [b] ἀνίει τἀγαθά.

12 [a] Θεόγνιδος.

Εὐδαίμων εἴην, καὶ θεοῖς φίλος ἀθανάτοισι,
Κύρν', ἀρετῆς δ' ἄλλης [b] οὐδεμιᾶς ἔραμαι.

13 [a] Σωτάδου.

Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος φθονεῖται·
ὁ [b] μέσος δὲ βίος κεκραμένος δίκαιός ἐστιν.
αὐτάρκεια γὰρ πρὸς πᾶσιν ἡδονὴ δικαία.

9.

[a] Sic A. Trinc.

[b] πλουτέειν δ' ἀδόλως τρίτον κ' ἔπειτα] Cum non dubitarem duos versus qui præcedunt Phaleucios esse, sed licentiores, qui in prima sede et trochæum et anapæstum recipiunt, non dubitavi hunc quoque ad eum modum refingere, qui sic legebatur: τρίτον δὲ πλουτεῖν ἀδόλως· εἶτα—eoque magis, quia qui sequitur versus alibi ita citatur ut nos eum posuimus. Grotius. Nec me movet quod e Scolio carmine hæc esse nos docet Athenæus. Nam et is ipse alios versus legibus adstrictos metricis e Scolio citat. Et Scolion ex Alcaicis Eustathius ad H. Odyss. et Schol. Aristoph. ad Vespas. Immo et Phaleuci Scolion hoc habes apud eundem Athenæum, Ἐν Δήλῳ ποτ' ἔτικτε τέκνα Λητώ, Φοῖβον χρυσοκόμαν ἄνακτ' Ἀπόλλων'—Grotius in mss. Videatur Koënius ad Gregorium Dial. Dor. CXLVI. In v. ult. Grotius dedit τέταρτον μετὰ φίλων συνηβᾶν. Vulgata lectio omnino servanda est. In extr. σῶν Tr.

10.

[a] Sic A. Deest nomen fabulæ Trinc. Voss.

[b] μόνον] μοῦνον A.

11.

[a] Sic A. Deest locus Trinc.

[b] ἀνοίγει] ἀνίει A. non ἀνίεται, ut ex eo ms. enotavit Grotius. ἀνίει item B. Valckenærius: αὐτόματ' ἀγαθοῖσι θεὸς ἀνοίγει τἀγαθά. Sana videntur vulgata.

12.

[a] Sic A. Trinc. Scil. v. 653.

[b] οὐδεμιᾶς] οὐδεμιῆς Voss. Arsen.

13.

[a] Sic A. Trinc.

[b] μέσος] μέσως B.

14 [a] Θεόγνιδος.

Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνῶν,
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.
οὐκ ἔραμαι πλουτεῖν, οὐδ᾽ εὔχομαι· ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.

15 [a] Σοφοκλέους Κρεούσης.

Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι·
[b] λῷστον δὲ τὸ ζῆν ἄνοσον· ἥδιστον δ᾽, ὅτῳ
πάρεστι λῆψις ὧν ἐρᾷ καθ᾽ ἡμέραν.

16 [a] Ξενοφῶντος.

Εὐδαιμονίαν νομίζω πολλὰ ἔχοντα καὶ δαπανᾶν.

17 [a] Δημοκρίτου.

Εὐτυχὴς, ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος· δυστυχὴς δὲ, ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος.

18 [a] Σωκράτους.

Σωκράτης ἐρωτηθεὶς, [b] τί ἐστιν εὐδαιμονία, Ἡδονὴ ἀμεταμέλητος, ἔφη.

19 [a] Τοῦ αὐτοῦ.

[b] Σωκράτης ἐρωτηθεὶς τίνες εὐδαίμονες, εἶπεν· Οἷς καὶ φρένες ἀγαθαὶ, καὶ λόγος πρόσεστιν.

20 [a] Διογένους.

Εὐδαιμονία γὰρ μία ἐστὶ τὸ εὐφραίνεσθαι ἀληθινῶς, καὶ μηδέποτε λυπεῖσθαι, ἐν ὁποίῳ [b] δ᾽ ἂν τόπῳ ἢ καιρῷ [c] ᾖ τις.

14.
[a] Sic A. Trinc. Scil. v. 1149. Vide Wyttenbach. ad Plutarch. II. p. 137. B.

15.
[a] Sic A. Scil. fr. 5. Simpl. Σοφοκλέ. Trinc.
[b] λώϊστον δὲ] λῷστον δὲ τὸ B.

16.
[a] Sic A. Deest locus Trinc.

17.
[a] Sic A. Trinc.

18.
[a] Sic A. Deest lemma Trinc.
[b] τι] τι ἐστὶν A.

19.
[a] Sic A. Deest lemma Trinc.
[b] Σωκράτης] ὁ αὐτὸς Voss.

20.
[a] Sic A. Trinc.
[b] δ᾽ om. B.
[c] ᾖ] ὑπάρχῃ A. B.

21 [a] Τοῦ αὐτοῦ.

Εὐδαιμονίαν [b] δὲ ταύτην εἶναι φαμὲν ἀληθινὴν [c] τὸ τὴν διάνοιαν καὶ τὴν ψυχὴν ἀεὶ ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι διατρίβειν.

22 [a] Χρυσίππου.

Ὁ δ' ἐπ' [b] ἄκρον, φησὶ, προκόπτων ἅπαντα πάντως ἀποδίδωσι τὰ καθήκοντα, καὶ οὐδὲν παραλείπει. Τὸν δὲ τούτου βίον οὐκ εἶναί πω φησὶν εὐδαίμονα, ἀλλ' ἐπιγίγνεσθαι αὐτῷ τὴν εὐδαιμονίαν ὅτ' ἂν αἱ μέσαι πράξεις αὗται προσλάβωσι τὸ βέβαιον καὶ ἑκτικὸν, καὶ ἰδίαν [c] πῆξιν τινὰ λάβωσιν.

23 [a] Ἰαμβλίχου Σωπάτρῳ Περὶ Ἀρετῆς.

Εὐδαίμων ἐστὶν, ὁ [b] θεῷ κατὰ τὸ δυνατὸν ὅμοιος, τέλεος, 553
ἁπλοῦς, καθαρὸς, [c] ἐξηρτημένος ἀπὸ τῆς ἀνθρωπίνης ζωῆς.

24 [a] Πλάτωνος.

Ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις φορῆται, ἐξ ὧν ἢ εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν.

25 [a] Δημοκρίτου.

Τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πράσσειν, μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ [b] ἄσσ' ἂν πράσσῃ ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακὴν, ὥστε καὶ τῆς τύχης [c] ἐπιβαλούσης καὶ ἐς τὸ δέον

21.
[a] Sic A. Trinc.
[b] δὲ] γὰρ A.
[c] τὸ] τῷ A.

22.
[a] Sic A. Trinc.
[b] ἄκρων] ἄκρον A. Trinc.
[c] πῆξιν] τῆξιν A.

23.
[a] Sic A. Simpl. Ἰαμβλίχου Tr.
[b] θεῷ] τῷ θεῷ B.
[c] ἐξηρτημένος] ἐξηρημένος vel ἐξηρμένος legendum suspicatur Wyttenbachius Plut. p. 113. B. ἐξηρημένος item Wakefieldus.

24.
[a] Sic Trinc. Scil. Deest locus A. B.

25.
[a] Sic A. Trinc. v. Menag. Diog. Laërt. IX. 46.
[b] ὅσ' ἂν προσῇ] ἄσσ' ἂν πράσσῃ A.
[c] ἐπιβαλούσης] ἐπικαλούσης Arsen.

[d] ὑπηγεομένης τῷ δοκεῖν κατατίθεσθαι, καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν· ἡ γὰρ εὐογκίη ἀσφαλέστερον τῆς μεγαλογκίης.

26 [a] Ἱπποδάμου Θουρίου ἐκ τοῦ Περὶ Εὐδαιμονίας.

[b] Τῶν ζώων τὰ μὲν ἐντὶ δεκτικὰ τᾶς εὐδαιμονίας, τὰ δὲ ἄδεκτα. Καὶ δεκτικὰ μὲν ὅσα λόγον ἔχει· ἁ μὲν γὰρ εὐδαιμονία οὐκ ἄτερθεν ἀρετᾶς, ἁ δὲ ἀρετὰ ἐγγίνεται τῷ λόγον ἔχοντι πρῶτον· [c] ἄδεκτα δὲ . . ὄψιος ἔργον, ἢ τᾶς ὄψιος ἀρετὰν, οὔτε [d] τὸ λόγω ἄμοιρον, ἢ τὸ τῶ λόγον ἔχοντος ἔργον, ἢ τὰν τῶ λόγον ἔχοντος ἀρετάν. Ἁ δ' εὐδαιμονία καὶ ἀρετὰ τῶ λόγον [e] ἔχοντος τὰ μὲν ὡς ἔργον, τὰ δ' ὡς τέχνα τίς ἐντι. Τῶν δὴ λόγον ἐχόντων ζώων, τὰ μέν ἐντι αὐτοτελέα, ὅσα δι' αὐτὰ τέλεά ἐντι, καὶ οὐδενὸς ἐπιδεῆ τῶν ἔξωθεν, οὔτε ποτὶ τὸ ἦμεν, οὔτε ποτὶ τὸ καλῶς ἦμεν· τοιοῦτος δέ κεν εἴη ὁ θεός. Οὐκ αὐτοτελέα δὲ, ὅσα μὴ δι' αὐτὰ τέλεά ἐστι, [f] ποτιδέεται δὲ τᾶς ἔξωθεν αἰτίας· τοιοῦτος δέ κεν εἴη ὁ ἄνθρωπος. Τῶν δὴ οὐκ αὐτοτελέων, τὰ μέν ἐστι τέλεα, τὰ δ' οὐ τέλεα. Καὶ τέλεα μὲν, ὅσα καὶ

[d] ὑφηγεομένης] ὑπηγεομένης A. ὑπαγεομένης Gesn. marg.

26.

[a] Sic A. Trinc.

[b] Τῶν ζώων usque ad ταῖς πράξεσι p. 554, 21. om. A. B.

[c] ἄδεκτα δὲ (ὄψιος ἔργον — τέκνα τις ἐντι)] Inclusa parenthesi corrupta et manca sunt. GESNER. Post ἄδεκτα δὲ inseruit Canterus, ὅσα λόγον οὐκ ἔχει· οὔτε γὰρ τὸ ὄψιος ἄμοιρον, δέχεται τᾶς ὄψιος ἔργον κ. τ. λ.

[d] τὸ λόγῳ] τῷ λ. Trinc. et mox ἢ τὸ τῷ λόγῳ ἔχοντος.

[e] ἔχοντι τὰ μὲν ὡς ἔργον, τὰ δὲ ὡς τέχνα τὶς ἐντί.] Ita hoc loco scribendum, hoc sensu: *Beatitudo et virtus ratione prædito competunt: illa* (beatitudo) *tanquam opus* (cui consequendo omnes homines intenti sunt) *hæc* (virtus) *tanquam ars quædam,* (qua beatitudo vera adquiritur.) Gesnerus edidit, ὁ δ' εὐδαιμονία καὶ ἀρετᾶ τῶ λόγον ἔχοντι κτώμενος ἔργον· τῶ δὲ ὡς τέκνα τις ἐντί. Inde Canterus fecit; ἁ δ' εὐδαιμονία καὶ ἀρετὰ τῶ λόγον ἔχοντος τὸ μὲν ὡς ἔργον, τὸ δὲ ὡς τέχνα τίς ἐντι. Bene quidem τέχνα pro τέκνα, sed male mutavit ἔχοντι in ἔχοντος, et particularum scripturam Doricam non observavit. Sic enim paulo post hic invenimus: συμπεραίνει δὲ τὰς πράξιας ἀρετὰ καὶ τύχα. τὰ μὲν ἀρετὰ καττὰν χρῆσιν· τὰ δ' εὐτυχία καττὰν κατόρθωσιν. M. MEIBOMIUS.

[f] ποτιδέεται δὲ] ποτὶ δέεται καὶ τὰς Trinc.

παρὰ τὴν αὐτῶν αἰτίαν, καὶ παρὰ τὰς ἔξωθεν αἰτίας γίνονται. Καὶ παρὰ μὲν [g] τὴν αὐτῶν, τῷ καὶ φύσιν ἀγαθὰν καὶ προαίρεσιν ποτενέγκασθαι· παρὰ δὲ [h] τὰς ἔξωθεν, τῷ εὐνομίαν καὶ [i] ἐπιστάτας ἀγαθῶς λαβεῖν. Οὐ [k] τέλεα δὲ, τὰ ἤτοι μηδ' ἑτέρω τούτων κοινωνάσαντα, ἢ τινὸς αὐτῶν, ἢ τὸ καθόλου φαῦλα ὑπάρχοντα [l] καττόν γα τρόπον τᾶς ψυχᾶς· τοιοῦτος [m] δέ κα εἴη θάτερος ἄνθρωπος. Τῶν δὲ τελέων ἀνθρώπων δοιαὶ διαφοραί· τοὶ μὲν γάρ ἐντιν αὐτῶν καττὰν φύσιν τέλειοι, τοὶ δὲ καττὸν βίον· καὶ καττὰν φύσιν μὲν μόνοι τοὶ ἀγαθοί· οὗτοι δέ κ' εἶεν, τοὶ ἔχοντες τὰν ἀρετάν· ἁ γὰρ [n] ἀρετὰ τᾶς ἑκάστου φύσιος καὶ ἀκρότας καὶ τελειότας ἐντί· ἁ μὲν τῶ ὀφθαλμῶ, τᾶς τῶ ὀφθαλμῶ φύσιος ἀκρότας καὶ τελειότας· ἁ δὲ τῶ ἀνθρώπω, τᾶς τῶ ἀνθρώπω φύσιος καὶ ἀκρότας καὶ τελειότας· καττὸν βίον δὲ τέλειοι, τοὶ μὴ μόνον ἀγαθοὶ ὄντες, ἀλλὰ καὶ εὐδαίμονες. Ἁ μὲν γὰρ εὐδαιμονία τελειότας ἐντὶ βίω ἀνθρωπίνω· ὁ δὲ βίος ὁ ἀνθρώπινος, σύσταμα τῶν πράξεων· ἁ δ' εὐδαιμονία, συμπεραίνουσα τὰς πράξιας. Συμπεραίνει δὲ τὰς πράξιας ἀρετὰ καὶ τύχα· τὰ μὲν ἀρετὰ, καττὰν χρῆσιν· τὰ δ' εὐτυχία, καττὰν κατόρθωσιν. Ὁ μὲν ὦν θεὸς οὔτε μαθὼν παρά τινος τὰν ἀρετὰν ἀγαθὸς ἐγένετο, 554
οὔτε ἐπισυναρξαμένας αὐτῷ τᾶς τύχας εὐδαίμων· φύσει γὰρ ἦν ἀγαθὸς, καὶ φύσει εὐδαίμων, καὶ ἀεὶ ἦν, καὶ ἐσεῖται, καὶ οὐδέποκα ὑπολείψει τοιοῦτος ἐὼν, ἄφθαρτος ἐὼν, καὶ φύσει ἀγαθός· ὁ δὲ ἄνθρωπος, [o] οὔτε τᾷ φύσει εὐ-

[g] τὴν αὐτῶν] τῶν ἀ. Trinc.

[h] τὰς ἔξωθεν] τὰν ἔ. Trinc.

[i] ἐπιστάτας ἀγαθῶς λαβεῖν] Addenda videntur, τοιοῦτος δέ κεν εἴη ὁ καλοκαγαθὸς ἄνθρωπος. Canter.

[k] τελέα] τέληα Canter.

[l] καττόν γε] καττὸν γὰρ Trinc. Restitui γα. Mox dedi κα pro καὶ.

[m] καὶ εἴη] Fortasse rectius κεν εἴη. Canter.

[n] ἀρετὰ] Deest ἑκάστω. Canter. Vide infra in Euryphami verbis in hoc sermone. Gesner.

[o] οὔτε τᾷ φύσει εὐδαίμων] Deest οὔτε τᾷ φύσει ἀγαθὸς, quod paulo ante vacat. Canter.

δαίμων, ἀλλὰ μαθήσιος καὶ προνοίας ποτιδέεται, ποτὶ μὲν τὸ γενέσθαι ἀγαθὸς, τᾶς ἀρετᾶς· ποτὶ δὲ τὸ γενέσθαι εὐδαίμων, τᾶς εὐτυχίας. Καὶ διὰ τοῦτο ἐκ δύο τούτων ἁ ἀνθρωπίνα εὐδαιμονία συγκεφαλαιοῦται, [p] ἐπαίνω τε καὶ μακαρισμῶ· ἐπαίνω μὲν τῶ ἐξ ἀρετᾶς, μακαρισμῶ δὲ τῶ ἐξ εὐτυχίας. Τὰν μὲν ὦν ἀρετὰν ἔχει διὰ τὰν θείαν μοῖραν· τὰν δὲ εὐτυχίαν, διὰ τὰν θνατάν. [q] Ἐξήρηται δὲ τὰ μὲν θνατὰ ἀπὸ τῶν θεῶν· καὶ τὰ ἐπὶ γῆς, τῶν οὐρανίων· τὰ δὲ χείρονα, ἀπὸ τῶν βελτιόνων. Καὶ διὰ τοῦτο ὁ μὲν ἑπόμενος τοῖς θεοῖς ἀγαθὸς εὐδαιμονεῖ, ὁ δὲ ἑπόμενος τοῖς θνατοῖς κακοδαιμονεῖ. Τῷ μὲν γὰρ τὰν φρόνασιν ἔχοντι ἀγαθὸν εὐτυχία καὶ χρήσιμον· καὶ ἀγαθὸν μὲν διὰ τὰν γνῶσιν τᾶς χρήσιος, ὠφέλιμον δὲ διὰ τὸ συνεργεῖν ταῖς πράξεσι. Καλὸν οὖν [r] ὄκ' ἂν εὐτυχία παρῇ τῷ [s] νόῳ, ὥσπερ [t] οὐρίῳ ἀνέμῳ [v] θέοντα, ποττὰν ἀρετὰν ἀποβλέποντα ποιέεσθαι τὰς πράξιας, ὥσπερ καὶ τὸν κυβερνάταν ποτὶ [w] τὰς τῶν ἄστρων [x] κινάσιας· οὕτω γὰρ οὐ μόνον [y] ἀκολουθάσει τῷ θεῷ, ἀλλὰ καὶ συντάξει τὸ ἀνθρώπινον ἀγαθὸν ποτὶ τὸ [z] θῆον. Καὶ μὰν καὶ τοῦτό γε φανερὸν, ὅτι ἐκ διαθέσιος καὶ πράξιος βίος διαφέρων γίνεται· ἀνάγκα δὲ τὴν μὲν διάθεσιν ἢ σπουδαίαν ἢ φαύλαν ἦμεν, τὰν δὲ πρᾶξιν ἢ εὐδαίμονα ἢ κακοδαίμονα· καὶ σπουδαίαν μὲν τὰν ἀρετᾶς μετειληφυῖαν, φαύλαν δὲ [a] τὰν κακίας· τὰς δὲ πράξιας, εὐδαίμονας μὲν ἐν τᾷ εὐτυχίᾳ· συμπεραίνονται γὰρ ποτὶ τὸν λόγον· κακοδαίμονας δ' ἐν τᾷ [b] ἀτυχίᾳ· ἀποτευκτικὸν γὰρ τῶ συμπεράσματος. Διόπερ οὐ μόνον μα-

[p] V. Archytas 1, 72. p. 13.

[q] ἐξήρηται] Scribendum ἐξήρτηται. MEIBOMIUS. Vide Wyttenbach. Plut. p. 113. B.

[r] ὄκα] ὄκαν A. B.

[s] νῷ] νόω A.

[t] οὐρίῳ] ὀρίω A.

[v] θεόντα] θέων τὰ B.

[w] τὰς om. A. B.

[x] κινήσιας] κινάσιας A.

[y] ἀκολουθήσει] ἀκολουθάσει B.

[z] θεῖον] θῆον A. Hinc desunt reliqua A. B.

[a] τὰν κακίας] τὰς κ. Trinc.

[b] εὐτυχίᾳ] Lego ἀτυχίᾳ. GESNER.

θεῖν δεῖ τὰν ἀρετὰν, ἀλλὰ καὶ κτήσασθαι, καὶ χρήσασθαι αὐτᾷ· ἤτοι [c] ἐσφαλακίαν, ἢ ἐς συναύξασιν, ἢ [d] καὶ μέγιστον, ἐς ἐπανόρθωσιν οἴκων καὶ πολίων. Οὐ γὰρ μόνον τὴν [e] κτᾶσιν ἔχειν δεῖ τῶν καλῶν, ἀλλὰ καὶ τὰν ὄνασιν. Ταῦτα δὲ πάντα ἐσεῖται, αἴκα πόλιος [f] εὐνομουμένας τύχῃ ὁ ἄνθρωπος. Καὶ ταῦτα μὲν ἐγὼ φαμὶ ἦμεν τὸ ὀνομαζόμενον [g] Ἀμαλθείας κέρας· ἐν εὐνομίᾳ γὰρ τὰ πάντα ἐντὶ, καὶ ἄνευ ταύτας οὔτε γεννᾶται τὸ μέγιστον τᾶς ἀνθρωπίνας φύσιος ἀγαθὸν, οὔτε γενναθὲν καὶ αὐξαθὲν [h] δύναιτό κα διαμένεν. Καὶ γὰρ τὰν ἀρετὰν καὶ τὰν φορὰν ποττὰν ἀρετὰν [i] αὐτὰ ἀμπέχει, τῷ καὶ φύσιας ἀγαθὰς γεννᾶσθαι κατταυτάν· καὶ ἤθεα δὲ καὶ ἐπιτηδεύματα καὶ νόμως εἶμεν τῶς ἀρίστως, ἔτι δὲ λόγως ὀρθογνώμονας, καὶ εὐσέβειαν δὲ καὶ ὁσιότητα ποτὶ τὰν τιμιότατα. Ὥστε τῷ μέλλοντι εὐδαιμονήσειν, καὶ ὀρθόπλοον ἕξειν τὸν αὐτῶ βίον, εὐνομίας ὑπαρχούσης, καὶ διαπερᾶσαι δεῖ καὶ διελθεῖν αὐτὸν, εὐνομίαν καταλιπόντα. Ἅμα δὲ καὶ ἀνάγκαν [k] ἐπεμφέρει ὁ λόγος τοῖσιν ἔμπροσθεν εἰρημένοις. Ὁ γὰρ ἄνθρωπος κοινωνίας μέρος ἐντί· καὶ σὺν τούτοις ὁλόκλαρος γίνεται καττὸν αὐτὸν λόγον, σὺν τῷ μὴ μόνον κοινωνὲν, ἀλ- 555
λὰ καὶ καλῶς κοινωνέν. Ἃ μὲν γὰρ ἐν πλείοσιν, ἀλλ' οὐκ ἐν ἑνὶ πέφυκε γίγνεσθαι· ἃ δὲ ἐν ἑνὶ μὲν, οὐ μὰν ἔτι ἐν πλείοσιν· [l] ἃ δὲ καὶ ἐν πλείοσι καὶ ἐν ἑνὶ, καὶ διὰ τοῦτο ἐν ἑνὶ, [m] ὅτι καὶ ἐν πλείοσιν. Ἁρμονία μὲν γὰρ καὶ συμφωνία καὶ ἀριθμὸς ἐν πλείοσιν ἐγγίγνεσθαι πέφυκεν· οὐδὲν γὰρ αὔταρκες, ὃ τούτων τῶν μορίων ποιεῖ τὸ ὅλον· ὀξυκοΐα

[c] ἐσφαλακίαν] Lego ἐς φυλακὴν vel ἀσφάλειαν. GESNER.
[d] καὶ] Malim τὸ. GESNER.
[e] κτᾶσιν] κράσιν N.
[f] εὐνομουμένας] εὐνουμένας Trinc.
[g] ἀμελείας] Lego ἀμαλθαίας. GESNER. Sic N. ἀμαλθείας Can.
[h] δύναιτο καὶ] Reposui κα.
[i] αὐτὰ—αὐτὰν om. N.
[k] ἐπεμφέρει] ἐπαμφέρει Trinc. Supra ἀνομίαν Canter.
[l] ἃ καὶ] ἃ δὲ καὶ Trinc.
[m] ὅτι] ἃ N.

δὲ καὶ ὀξυδορκία, καὶ ποδῶν ὠκύτας, ἐν ἑνὶ μόνον· εὐδαιμονία δὲ καὶ ἀρετὰ ψυχῆς, καὶ ἐν ἑνὶ, καὶ ἐν πλείοσι, καὶ ἐν τῷ ὅλῳ, καὶ ἐν τῷ παντί. Καὶ διὰ τοῦτο ἐν τῷ ἑνὶ, ὅτι καὶ ἐν πλείοσι· καὶ ἐν τοῖς πλείοσιν, ὅτι καὶ ἐν τῷ ὅλῳ καὶ ἐν τῷ παντί· ἅτε γὰρ τᾶς ὅλας φύσιος διακόσμασις καὶ τὸ καθ' ἓν ἕκαστον διακεκόσμακεν, [n] ἁ καθ' ἕκαστον δὲ διακόσμασις τὸ ὅλον καὶ τὸ πᾶν ἐκπεπλήρωκε. Τοῦτο [o] βοᾷ ἀκολουθεῖ, διὰ τὸ τᾷ φύσει πρῶτον εἶμεν τὸ ὅλον τὸ μέρεος, ἀλλ' οὐ τὸ μέρος τῶ ὅλω. Αἴτε γὰρ μὴ ἦ ὁ κόσμος, οὐδ' ἂν ὁ ἥλιος ἦν, οὐδ' ἁ σελάνα, οὐδ' οἱ πλανᾶτες ἀστέρες, οὐδ' οἱ ἀπλανέες· ὄντος δέ γε τῶ κόσμω, καὶ τούτων ἕκαστόν ἐντι. Ἴδοι δὲ καὶ τοῦτο ἄν τις καὶ ἐπ' αὐτᾶς τᾶς τῶν ζώων φύσιος. Αἴκα γὰρ μὴ ἦ ζῶον, οὐδ' ὀφθαλμὸς, οὐδ' ἂν στόμα, οὐδ' ἂν ἀκοά· ὄντος δέ κα ζώω, καὶ τούτων ἕκαστόν ἐντι. Ὡς δὲ ἔχει τὸ ὅλον ποτὶ τὸ μέρος, οὕτω καὶ ἁ τῶ ὅλω ἀρετὰ ποτὶ τὰν τῶ μέρεος. Μὴ ὑπαρχούσας γὰρ ἁρμονίας καὶ ἐπόψιος θείας περὶ τὸν κόσμον, οὐκ ἂν ἐδύνατο συνεῖμεν ἔτι καλῶς ἔχοντα τὰ ἐγκεκοσμαμένα· μὴ ὑπαρχούσας δ' [p] εὐνομίας περὶ τὰς πόλιας, οὐκ ἂν δύναιτό τις ἀγαθὸς ἢ εὐδαίμων πολίτας ἦμεν· μὴ ὑπαρχούσας δ' ὑγείας περὶ τὸ ζῶον, οὐκ ἂν δύναιτο ποὺς ἢ χεὶρ σθεναρά τε καὶ ὑγιεινὰ ἦμεν. Ἔστι γὰρ ἁ μὲν ἁρμονία, ἀρετὰ κόσμω· ἁ δ' [q] εὐδαιμονία, ἀρετὰ πόλιος· ἁ δ' ὑγίεια καὶ ἡ ἰσχὺς, ἀρετὰ σώματος. Καὶ ἕκαστον δὲ τῶν ἐν αὐτοῖς μερέων συντέτακται ποτὶ τὸ ὅλον καὶ τὸ πᾶν. Ὀφθαλμοί τε γὰρ ὁρῶνται ὑπὲρ τῶ παντὸς σώματος, καὶ τἄλλα δὲ μόριά τε καὶ μέρεα ὑπὲρ τῶ ὅλω καὶ τῶ παντὸς συντέτακται.

[n] αἳ] Lego ἁ. GESNER. Sic N.

[o] βοᾷ ἀκολουθεῖ] βοᾷ expungendum videtur. GESNER. δὲ reposuit Canterus.

[p] εὐνοίας] Malim εὐνομίας. GESNER. Sic N.

[q] εὐδαιμονία] Legendum εὐνομία. CANTER.

27 [a] Εὐρυφάμου Πυθαγορείου Περὶ Βίου.

Βίος ἀνθρώπω τελήϊος θεῶ μὲν λείπεται, τῷ μὴ αὐτοτελὴς ἦμεν· ἀλόγων δὲ ζώων καθυπερέχει, τῷ ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρος ἦμεν. Οὔτε γὰρ ὁ θεὸς τᾶς ἔξωθεν αἰτίας ποτιδεής ἐντι· φύσει γὰρ ἀγαθὸς ἐὼν καὶ φύσει εὐδαίμων [b] ἐξ αὐταύτω τελήϊός ἐντι· οὔτε τῶν ἀλόγων ζώων [c] οὐδέν . . Λόγω γὰρ ἄμοιρα ὄντα, καὶ τᾶς ἐς τὰς πράξιας ἐπιστήμας ἄμοιρά ἐντι. Ἀνθρώπω δὲ φύσις, τὰ μὲν ἐκ τᾶς ἰδίας προαιρέσιος, τὰ δὲ καὶ τᾶς ἐκ τῶ θήω γινομένας ἐπικουρήσιος ποτιδεής ἐντι. Τῷ μὲν γὰρ λόγω τυπωτικὸς ἦμεν καὶ καλῶν καὶ αἰσχρῶν νοατικὸς, καὶ τῷ ὀρθῶς ἀπὸ γῆς ἀνακεκλίσθαι, καὶ εἰς τὸν οὐρανὸν ἀποβλέπεν, καὶ θεῶν τῶν ἀνωτάτων νοητικὸς ἦμεν, ταῦτα δὲ καὶ τᾶς ἐκ τῶν θεῶν ἐπικουρήσιος τέτευχε· τῷ δὲ βούλησιν ἔχεν καὶ προαίρεσιν καὶ ἀρχὰν ἐν αὐταύτῳ τοιαύτην, καθ' ἂν κύριος οὗτός ἐντι καὶ ἀρετὰν ἐπιταδεῦσαι, καὶ κακίαν ζαλῶσαι, καὶ θεοῖς [d] ὀπαδῆσαι, καὶ ἀπὸ θεῶν ἀποτραπῆμεν, ταῦτα δὲ καὶ καθ' 556 αὐτὸν κινέεσθαι δυνατός ἐντι. Διὸ καὶ ψόγων καὶ ἐπαίνων, καὶ τιμᾶς καὶ ἀτιμίας, τὰ μὲν τᾶς ἐκ τῶν θεῶν, τὰ δὲ καὶ τᾶς ἐκ τῶν ἀνθρώπων τυγχάνοντί [e] τοι, ἤτοι ἀρετὰν, ἢ κακίαν ζηλώσαντες. Ἔχει γὰρ οὕτως ὁ σύμπας λόγος· τὸ θήϊον ἄνθρωπον πολυτελέστατον ζῶον ἐς τὸν κόσμον ἐσῴκισεν, [f] ἀντίμιμον μὲν τᾶς ἰδίας φύσιος, ὀφθαλμὸν δὲ τᾶς τῶν ὄντων διακοσμάσιος· διὸ καὶ ὀνόματα μὲν ἔθηκε τοῖς πράγμασι, χαρακτὴρ αὐτῶν γενόμενος, ἀνεύρετο δὲ καὶ γράμματα, θησαυροὺς τᾷ μνάμᾳ παρασκευασάμενος, ἐμι-

27.

[a] Sic A. (ubi om. usque ad εὐάρμοστος) Trinc.

[b] ἐξ ἑαυτοῦ] ἐξ αὖ ταυτῷ Trinc. et sic mox pro ἑαυτῷ.

[c] οὐδέν.] Videtur aliquid deesse. Gesner. Idem in versione: *Nec ullum animal brutum (virtutis aut felicitatis capax est.)* Et in marg. "Notata parenthesi de nostro "adjecimus."

[d] Sic Canterus. Vulgo ἀποδῆσαι, et mox ἐκ τᾶς τῶν θεῶν.

[e] τοι] Lego αἰτίας. Gesner.

[f] ἀντίτιμον] ἀντίμιμον Valckenærius ad Callimach. p. 270.

μάσατο δὲ καὶ τὰν τῶ παντὸς διακόσμασιν, δίκαις τε καὶ νόμοις κοινωνίαν πόλεων συναρμοξάμενος. Οὐθὲν γὰρ οὕτω κοσμοπρεπὲς, καὶ θεῶν ἄξιον ἔργον ἀνθρώποις πέπρακται, ὡς πόλιος εὐνομουμένας συναρμογὰ, καὶ νόμων καὶ πολιτείας διακόσμασις. Εἷς γὰρ ἕκαστος ἄνθρωπος αὐτὸς καθ' αὑτὸν οὐδεὶς ἐὼν, [f] οὔτε ποττὸ ζῆν ὁμοφροσύνᾳ ξυνᾷ καὶ ξυναρμογᾷ πολιτείας καὶ αὐτὸς καθ' αὑτὸν ἱκανὸς, γέγονε καὶ ποττὸ ὅλον καὶ τὸ τέληον σύστημα τῆς κοινωνίας εὐάρμοστος. Ἀνθρώπω γὰρ ὁ βίος λύρας ἐξακριβωμένας καὶ κατὰ πᾶν ἐπιτελέος [g] ἐοίσας εἰκών ἐντι· λύρα τε γὰρ πᾶσα χρῄζει τριῶν τούτων τυχέν· ἐξαρτύσιος, συναρμογᾶς, ἐπαφᾶς τινος μωσικᾶς·—ἐξάρτυσις μὲν οὖν ἐντι ἁ τῶν οἰκήων μερέων τῶ σώματος παρασκευὰ πάντων, λέγω δὲ τὰν χορδὰν, καὶ τῶν ὀργάνων τῶν ποτ' εὐφωνίαν καὶ πληγὴν ἐπισυνεργούντων· συναρμογὰ δὲ [h] ἁ πότ' ἀλλάλως σύγκρασις τῶν φθόγγων· ἐπαφὰ δὲ μωσικὰ, ἁ κατὰ συναρμογὰν [i] κίνασις ἤδη τούτων·—οὕτως οὖν καὶ βίος ἀνθρώπων χρῄζει τριῶν τούτων τυχέν. [k] Ἐξάρτυσις μὲν ἁ τῶν τῶ βίω μερέων ἐντὶ συμπλάρωσις· βίω δὲ μέρεα, τά τε σώματος ἀγαθὰ, καὶ τὰ τῶν χρημάτων, καὶ τὰ τᾶς δόξας, καὶ τὰ τῶν φίλων· συναρμογὰ δὲ ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύνταξις· ἐπαφὰ δὲ μωσικὰ, ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύγκρασις, ὀρθοπλοουμένας τᾶς ἀρετᾶς, καὶ μηθὲν ἔξωθεν ἀντιπίπτον ἐχούσας αὐτῇ. Οὐ γὰρ ἐν τῷ ἀπερύκεσθαι τᾶς προθέσιος τῶν ἑκουσίων σκοπῶν πέπτωκε τὸ εὐδαιμονῆν, ἀλλ' ἐν τῷ κατατυγχάνεσθαι· οὐδ' ἐν τῷ ἀδορυφόρατον ἦμεν καὶ ἀνυπηρέτατον τὰν ἀρετὰν,

[f] οὔτε] Lego μετὰ τοῦ ζῆν ἐν. GESNER.

[g] ἐάσαι] ἐεύσας B. Vide supra in Sermone Oeconomico, in Callicratidæ verbis. GESNER. Dedi ἐοίσας.

[h] ἁ πότ' ἀλλήλως] Lego ἁ ποτ-αλλήλως. GESNER. ἁ ποτ' ἀλλάλως B.

[i] κίνησις] κίνασις A.

[k] ἐξάρτυσις usque ad ἀνθρώπω φύσιος om. A. B.

ἀλλ᾽ ἐν τῷ συμπληροῦσθαι ταῖς οἰκήαις δυνάμεσι ποτὶ τὰς πράξιας. Οὐ γὰρ αὐτοτελὴς ἐντὶ ὁ ἄνθρωπος, ἀλλ᾽ [l]ἀτελής· τέλειος δὲ γινόμενος, ἃ μὲν παρ᾽ αὐτὸν, ἃ δὲ καὶ παρὰ τὴν ἔξωθεν αἰτίαν· καὶ τέλειος, ἤτοι κατταν φύσιν, ἢ καττὸν βίον· καὶ κατὰ μὲν τὴν φύσιν, αἴκα ἀγαθὸς γένηται·—ἁ γὰρ ἑκάστω ἀρετὰ, ἀκρότας καὶ τελειότας ἐντὶ τᾶς ἑκάστω φύσιος· οἷον ἁ μὲν τῶν [m]ὀφθαλμῶν φύσις ἀκρότας καὶ τελειότας τᾶς τῶν ὀφθαλμῶν, ἁ δὲ τῶν ὠάτων, τᾶς τῶν ὠάτων· οὕτω δὲ τῶ ἀνθρώπω ἁ ἀρετὰ ἀκρότας ἐντὶ καὶ τελειότας τᾶς ἀνθρώπω φύσιος·—τέλειος δὲ καττὸν βίον, [n]αἴκαν εὐδαίμων γένηται· ἁ γὰρ εὐδαιμονία τελειότας καὶ συμπλάρωσις ἐντὶ τῶν ἀνθρωπίνων ἀγαθῶν. Διὸ πάλιν ἀρετὰ καὶ εὐτυχία [o]μέρεα γίγνονται 557
τῶ ὑπ᾽ αὐτῷ βίω, [p]τᾶς μὲν ἀρετᾶς, ὡς [q]ψυχᾶς, ὑποκειμένας· τᾶς δ᾽ εὐτυχίας, ὡς σώματος· τῶν δὲ συναμφοτέρων αὐτῶν, ὡς ζώω. Τὸ μὲν γὰρ χρέεσθαι καλῶς αὐτόν ἐστι τοῖς κατὰ φύσιν ἀγαθοῖς, τὸ δὲ τὰν χρᾶσιν ἐμπαρέχεν· καὶ χρέεσθαι μὲν ἀρετᾷ, χρᾶσιν δὲ παρέχεν εὐτυχίᾳ· καὶ [s]ἁ μὲν τὰν προαίρεσιν καὶ τὸν λόγον [t]ὀρθὸν παρέχεσθαι, ἁ δὲ τὰς ἐνεργείας καὶ τὰς πράξιας. Τὸ μὲν γὰρ βουληθῆμεν τὰ καλὰ, καὶ [v]ὑποστῆμεν τὰ δεινὰ, τᾶς ἀρετᾶς οἰκῆον ἐντί· τὸ δ᾽ ὀρθοπλοῆσαι τᾶς προαιρέσιος, καὶ ἐπὶ τέλος ἐλθεῖν τὰς πράξιας, τᾶς εὐτυχίας. Ἐνίκασε γὰρ ὁ στραταγὸς καὶ σὺν [w]τἀρετᾷ, καὶ σὺν τᾷ εὐτυχίᾳ· καὶ εὐπλόησεν

[l] ἀτελὴς] τέλειος Valckenær. Diatr. Euripid. p. 41.

[m] ὀφθαλμῶν φύσις] Vide supra in Hippodami Thurii verbis in hoc Sermone. GESNER. Videtur delendum φύσις.

[n] αἴκα] αἴκαν B.

[o] μέρεα] μερέους B.

[p] τᾶς μὲν ἀρετᾶς] τὰς δὲ ἀρετᾶς Tr.

[q] ψυχᾶς κειμένας] ψυχὰς (α superscr.) ὑποκειμένας A. ψυχᾷ ὑποκειμένας B. Mox σώματός A. Deinde τὰς μὲν γὰρ χ.—τᾶς δὲ τὰν Meibomius.

[r] κεκτῆσθαι Arsen. Nescio quo referendum.

[s] ἃ] ἁ B. et sic mox.

[t] ὀρθὸν] ὀρθῶς A. B.

[v] ὑποστᾶμεν] ὑποστῆμεν A. Mox τὰς προαιρέσιας Canterus.

[w] τ᾽ ἀρετᾷ] τᾷ ᾽ρετᾷ B.

ὁ κυβερνάτας καὶ σὺν τᾷ τέχνᾳ, καὶ σὺν τοῖς οὐρίοις πνεύμασιν· καὶ εἶδεν ὁ ὀφθαλμὸς καλῶς καὶ σὺν τᾷ ὀξυδορκίᾳ, καὶ σὺν τῷ φάει. Καὶ ἄριστος ὁ βίος ὁ τῶν ἀνθρώπων ἐγένετο καὶ διὰ τὰν ἀρετὰν αὐτὰν, καὶ διὰ [x] τὰν εὐτυχίαν.

28 [a] Ἐκ τῆς Διδύμου Ἐπιτομῆς.

Τὴν δ' εὐδαιμονίαν ἐκ τῶν καλῶν γίνεσθαι καὶ προηγουμένων πράξεων. Διὸ καὶ δι' ὅλων εἶναι καλὴν, καθάπερ καὶ τὴν ἐν τοῖς ἄλλοις ἐνέργειαν δι' ὅλων ἔντεχνον. Οὐ γὰρ [b] ἐκβιβάζειν τὴν παράληψιν τῶν [c] ὑλικῶν ἀρχῶν τῆς εἰλικρινείας τοῦ καλοῦ τὴν εὐδαιμονίαν, ὡς οὐδὲ τὴν τῆς ἰατρικῆς ἔντεχνον δι' ὅλων ἐνέργειαν τὴν τῶν ὀργάνων χρῆσιν· πᾶσαν μὲν γὰρ πρᾶξιν ἐνέργειαν εἶναί τινα ψυχῆς. Ἐπεὶ δ' ὁ πράττων συγχρῆταί τισι πρὸς τὴν τελειότητα τῆς προθέσεως, [d] μέρη ταῦτα χρὴ νομίζειν τῆς ἐνεργείας· καίτοι γε ἐπιζητούσης ἑκατέρας τῶν εἰρημένων ἑκάτερον, οὐ μὴν ὡς μέρος, ὡς δὲ ποιητικὸν τῆς τέχνης. Τὰ γὰρ ὧν ἄνευ πράττειν ὁτιοῦν ἀδύνατον μέρη τῆς ἐνεργείας λέγειν, οὐκ ὀρθόν. Τὸ μὲν γὰρ μέρος ἐπινοεῖσθαι κατὰ τὸ συμπληρωτικὸν τοῦ ὅλου· τὰ δ' ὧν οὐκ ἄνευ κατὰ τὸ ποιητικὸν, τῷ φέρειν καὶ [e] συνεργεῖν εἰς τὸ τέλος.

29 [a] Πλάτωνος.

Ἆρ' οὖν, ὦ Κλεινία, ἤδη τοῦτο ἱκανὸν πρὸς [b] τὸ εὐδαίμονα ποιῆσαί τινα, τό τε κεκτῆσθαι τὰ ἀγαθὰ, καὶ τὸ χρῆσθαι αὐτοῖς; Ἔμοιγε δοκεῖ. Πότερον, ἦν δ' ἐγὼ, ἐὰν ὀρθῶς χρῆταί τις, ἢ ἐὰν μή; Ἐὰν ὀρθῶς. Καλῶς γε, ἦν δ' ἐγὼ, λέγεις. Πλέον γάρ που (οἶμαι) θάτερόν ἐστιν, ἄν τις χρῆ-

[x] τὰν εὐτυχίαν] τὰν αὐτὰν εὐτυχίαν A. B.

28.

[a] Sic Trinc. Deest locus A.

[b] ἐκβιβάζειν] ἐκβιάζειν N. Sed ἐκβιβάζειν illustrat et defendit Wyttenbachius Plut. p. 243. D.

[c] ὁλικῶν] Forte ποιητικῶν. GESNER. ὑλικῶν citat Wyttenbachius.

[d] μέρη] Addo ἢ. GESNER.

[e] συνενεργεῖν] συνεργεῖν Trinc.

29.

[a] Sic Trinc. Scil. Euthydem. p. 280. D. Deest locus A.

[b] εὐδαιμονίαν Trinc. Mox πότερον —ὀρθῶς om. Trinc.

ται μὴ ὀρθῶς ὁτῳοῦν πράγματι, ἢ ἐὰν ἐᾷ· τὸ μὲν γὰρ κακὸν, τὸ δ' οὔτε κακὸν οὔτ' ἀγαθόν.

30 [a] Πλάτωνος Νόμων Ὄγδοον.

Τοῖς δὲ εὐδαιμόνως ζῶσιν ὑπάρχειν ἀνάγκη πρῶτον τὸ [b] μήτε ἀδικεῖν ἄλλους, μήτε ὑφ' ἑτέρων αὐτοὺς ἀδικεῖσθαι. Τούτοιν δὲ [c] τὸ μὲν οὐ πάνυ χαλεπόν· τοῦ δὲ μὴ ἀδικεῖσθαι [d] κτήσασθαι δύναμιν, παγχάλεπον. Καὶ οὐκ ἔστιν αὐτοτελέως σχεῖν ἄλλως, ἢ τελέως [e] γενόμενον ἀγαθόν.

31 [a] Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.

Οὔτε τὸν ἀρρωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη, [b] οὔτ' αὖ τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

## ΠΕΡΙ ΚΑΚΟΔΑΙΜΟΝΙΑΣ. ΡΔ. 558

1 [a] Ὁμήρου.

Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
[b] δύῃ ἐν ἀργαλέῃ [c] φθίσῃ κακὰ πόλλ' ἐπιδόντα,
υἱέας τ' ὀλλυμένους, [d] ἑλκηθείσας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα [e] προτὶ ἄστυ ἐν αἰνῇ δηϊοτῆτι.

2 [a] Μενάνδρου Ὑδρίας.

Γέροντα [b] δυστυχοῦντα τῶν θ' αὐτοῦ κακῶν
[c] ἐπαγόμενον λήθην ἀνέμνησας πάλιν,
[d] ἐπὶ τἀτυχεῖν τ' ἤγειρας.

30.

[a] Sic A. Trinc. Scil. p. 829.

[b] μήτε] μὴ Voss.

[c] τὸ] ὃ A. B. Voss. Trinc.

[d] κτήσασθαι] κεκτῆσθαι Voss.

[e] γενόμενον] γινόμενον Voss.

31.

[a] Sic A. Deest locus Trinc.

[b] οὔτε] οὔτε αὖ A.

1.

[a] Sic A. Trinc. Scil. Il. χ. 60.

[b] δύῃ] αἴσῃ Gesn. marg.

[c] φθίσῃ] φθείσῃ A. B.

[d] ἑλκυθείσας] ἑλκηθείσας A. B. Trinc.

[e] προτὶ ἄστυ] ποτὶ γαίῃ Gesn. marg. ποτὶ B.

2.

[a] Sic A. Cleric. p. 178. Simpl. Μενάνδρου Trinc.

[b] δυστυχοῦντα τῶν ἑαυτοῦ] δ. τῶν θ' αὐτοῦ A. B.

[c] ἐπαγόμενον] ἐπαγομένων A. Voss. Trinc.

[d] ἔπειτ' ἀτυχεῖν τ'] ἐπὶ τἀτυχεῖν τ' Grotius.

3 [a] Σοφοκλέους Ναυπλίου.

Τῷ γὰρ κακῶς πράσσοντι [b] μυρία μία
νύξ ἐστιν εὖ παθόντα [c] ἡ 'τέρα θανεῖν.

4 [a] Εὐριπίδου.

Κεκλημένῳ δὲ φωτὶ [b] μακαρίῳ ποτὲ
αἱ μεταβολαὶ λυπηρόν· ᾧ δ' αἰεὶ [c] κακῶς
ἔστ', οὐδὲν ἀλγεῖ, συγγενῶς δύστηνος ὤν.

5 [a] Μενάνδρου Παρακαταθήκης.

Εὔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει.
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν,
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί.

6 [a] Ἄμφιδος ἐξ Ἀμπελουργοῦ.

Ἐν οἷς [b] ἂν ἀτυχήσῃ τὶς ἄνθρωπος τόποις,
ἥκιστα τούτοις πλησιάζων ἥδεται.

7 [a] Μενάνδρου Ἐγχειριδίου.

[b] Οὐχ ὅθεν ἂν ᾤμην ἡ τύχη· καὶ πάντα δὲ
τὰ μηδὲ προσδοκώμεν' ἔκστασιν φέρει.

8 [a] Ἰλιάδος ταῦ.

Ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ ἀεί.

3.

[a] Sic A. Scil. fr. 3. Σοφοκλέ. Trinc.

[b] μυρία μία] μυρί' ἂν μία Grotius.

[c] ἡ 'τέρα] εἶθ' ἑτέρα A. B.

Ib. νὺξ ἐστὶν εὖ παθόντι θητέρα θ. Et hoc emendavi, cum esset παθόντα ἡ 'τέρα. Subaudiendum autem ad θανεῖν est ἐστιν. GROTIUS.

4.

[a] Scil. Herc. Fur. 1292. Deest locus A.

[b] μακαρίῳ] μακαρίως Trinc.

[c] κακῶς ἔστ'] κακὸς εἰς B. ὁ—εἰς τοὐδὲν Trinc.

5.

[a] Sic A. Cleric. p. 144. Deest lemma Trinc.

6.

[a] Sic A. Simpl. Ἄμφιδος Trinc.

[b] Grotius p. 429. voculam ἂν male omisit in Amphidis loco. Eadem sententia Phædri, *Nemo libenter recolit, qui læsit, locum.* VALCKEN.

7.

[a] Sic A. Cleric. p. 56. Deest locus Trinc.

[b] οὐδέποτ' ἂν ᾤμην. ἡ τύχη δ' ἄπαντά τε] Ita sensum restitui cum esset, οὔποθεν ἂν ᾤμην, ἡ τύχη καὶ πάντα δὲ. GROTIUS. οὐκ ὅθεν A. B.

8.

[a] Sic A. Scil. v. 290. Deest lemma Trinc.

9 [a] Εὐριπίδου Ἀντιγόνης.

Ἐπ' [b] ἄκραν ἥκομεν γραμμὴν κακῶν.

10 [a] Εὐριπίδου Αἰόλου.

Αἰεὶ τὸ μέν [b] ζῇ, τὸ δὲ μεθίσταται κακὸν,
[c] τὸ δ' οὐκ ἔφηνεν [d] αὖτις ἐξ ἀρχῆς νέον.

11 [a] Φιλήτα Δήμητρος.

Νῦν δ' αἰεὶ πέσσω· τὸ δ' ἀέξεται ἄλλο [b] νεωρὲς
πῆμα, κακοῦ δ' [c] οὔπω γίγνεται ἡσυχίη.

12 [a] Φιλήτου.

Ἦ μὲν δὴ [b] πολέεσσι πεφύρησαι [c] χαλεποῖσι,
θυμὲ, γαληναίη δ' ἐπιμίσγεαι οὐδ' ὅσον ὅσσον,
ἀμφὶ δέ τοι νέαι αἰὲν ἀνίαι τετρήχασιν.

13 [a] Μενάνδρου Ἥρωϊ.

Ὡς οἰκτρὸν [b] ἡ τὰ τοιαῦτα δυστυχῶ μόνη,
ἃ μηδὲ πιθανὰς τὰς ὑπερβολὰς ἔχει.

14 [a] Τοῦ αὐτοῦ.

Ἔξωθεν εἰσὶν οἱ δοκοῦντες εὐτυχεῖν,
[b] τὰ δ' ἔνδον εἰσὶ πᾶσιν ἀνθρώποις ἴσοι.

9.

[a] Sic A. Scil. fr. 13. Simpl. Εὐριπίδου Trinc.

[b] ἄκρων — κακῶν γραμμὴν] ἄκραν — γραμμὴν κακῶν A. B. Trinc.

10.

[a] Sic A. Cum priore conjungit Trinc.

[b] γε ζῇ] γε om. A. B. Trinc.

[c] τό δ' οὐκ ἔφηνεν] τὸ δ' ἐξέφηνεν B.

[d] αὖ τις] αὐτῆς A. αὖθις Grotius.

11.

[a] Sic A. Deest lemma Trinc.

[b] νοερὲς] forte νεαρὸν. Al. νεωρὲς. Gesner. νεωρὲς A. B. Voss. νεαρὲς Arsen. Videatur Jacobsius Animadv. Anthol. VI. p. 393.

[c] οὔπω γίνεται] οὔποτε γίγνεται Voss. Arsen.

12.

[a] Sic Trinc. Deest A.

[b] πολέεσσι] ἴσ. πολλοῖσι B.

[c] χαλεποῖσι] χαλεπῆσι Voss. Arsen.

13.

[a] Sic A. Cleric. p. 76.

[b] ἢ] εἰ B. ex em.

14.

[a] Sic A. Cleric. p. 248.

[b] τὰ δ' ἔνδον εἰσὶ] λαμπροὶ, τὰ δ' ἔνδον Valckenær. Eurip. Hippol. 956.

15 [a] Φιλήτου.

Τῷ [b] οὔ μοι πολέων γαίης ὕπερ, [c] οὐδὲ θαλάσσης,
ἐκ Διὸς ὡραίων [d] ἔσχομεν ὧν ἐτέων.
οὐδ' ἀπὸ μοῖρα [e] μελέω κακῶν φέρει· ἀλλὰ φέρουσιν
ἔμπεδα, καὶ [f] τοῖσιν ἄλλα προσαυξάνεται.

16 [a] Διφίλου.

Ὥσπερ κυαθίζουσ' [b] ἐνίοθ' ἡμῖν ἡ τύχη,
ἓν ἀγαθὸν ἐπιχέασα, τρί' ἐπαντλεῖ κακά.

17 [a] Γαΐου κατὰ Ἀρτεμισίου παιδοφθορίας.

Τὸ μὲν ἀδικεῖσθαι καὶ παντὶ οὖν δεινόν ἐστι· τὸ δὲ καὶ τῶν τοιούτων τὶ παθεῖν, ὃ [b] μηδὲ εἰπεῖν ὁ πεπονθὼς δύναται σαφῶς, δυστυχίας ὑπερβολὴν οὐκ ἔχει.

18 [a] Ἐν τῷ αὐτῷ.

Ὅρα δὴ τὸ τῆς κατηγορίας δύσκολον· ἐν ᾗ καὶ τὸ εἰπεῖν 559
ἀδύνατον, αἰσχρὸν γάρ· καὶ τὸ σιωπῆσαι χαλεπώτερον· πῶς γὰρ ἂν δύναιτό τις ἄνευ λόγου δηλῶσαι τὰ πεπραγμένα;

19 [a] Ἀντιφῶντος.

[b] Ὧι γὰρ ὁ θεὸς μὴ παντελῶς βούλεται ἀγαθὰ διδόναι ἀνδρὶ, χρημάτων πλοῦτον παρασχὼν, τοῦ καλῶς [c] φρονεῖν

15.

[a] Sic Trinc.

[b] τῷ οὔ μοι] Malim αἰεὶ πολέω. Gesn. τὼς δ' οἴμοι πολέω Grotius.

[c] οὐδὲ] Forte ἠδὲ. Gesner.

[d] ἔσχομεν ὧν] ἰσχομένων potius. Gesner.

[e] μελέω] Malim τέλος τι. Gesner. Recepit Grotius, et mox μένουσιν pro φέρουσιν.

[f] τοῖσιν] τοῖς Voss. Videatur Jacobsius Anthol. Animadv. VI. p. 394.

16.

[a] Sic A. Trinc.

[b] ἐνίοθ' ἡμῖν] ἡμῖν ἐνίοθ' Voss. Trinc.

17.

[a] Sic A. Simpl. Γαΐου Trinc.

[b] μηδὲ εἰπεῖν] μηδὲ γαΐου εἰπεῖν Trinc.

18.

[a] Sic A. Deest lemma Trinc.

19.

[a] Sic A. Trinc.

[b] ᾧ γὰρ θεὸς ὁ μὴ] τῷ γὰρ ὁ θεὸς μὴ A. Voss. Trinc. ὅταν γὰρ ὁ θεὸς supra XVI. 29.

[c] φρονεῖν] φθονεῖν A.

πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος, ἀμφοτέρων ἀπεστέρησεν.

20 [a] Δημοκρίτου.

Ἀπορίη ξυνὴ, τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης.

21 [a] Νόσος οἴκου καὶ βίου γίγνεται, ὅκως περ καὶ σκηνέος.

22 [a] Γαΐου ὑπὲρ Παύλου παιδὸς ἰδίου ἐν μανίᾳ ἀνῃρημένου.

Ἔοικε δὲ ὁ βάσκανος δαίμων [b] φιλοτιμότατος εἶναι πρὸς τὰς παραδόξους συμφοράς. Ἕστηκέ σοι παιδοφόνος πατὴρ, τὴν μὲν χεῖρα μιαρώτατος, τὴν δὲ ψυχὴν καθαρώτατος, μανίᾳ [c] διακονησάμενος τὴν συμφοράν.

23 [a] Ἡράκλειτος ἔφη, ὡς ἦθος ἀνθρώπῳ δαίμων.

24 [a] Ξενοκράτους.

Ξενοκράτης ἔλεγεν, ὥσπερ τὸ κακοπρόσωπον αἴσχει προσώπου, καὶ [b] μοχθηρίᾳ τινὶ μορφῆς τὸ δύσμορφον, οὕτω δαίμονος κακίᾳ τοὺς πονηροὺς κακοδαίμονας ὀνομάζομεν.

25 [a] Πλάτωνος ἐκ τοῦ Γοργίου.

Ἀλλὰ μὴν, ὦ Σώκρατες, οὐδέν [b] γε σε δεῖ παλαιοῖς πράγμασιν ἐλέγχειν. Τὰ γὰρ ἐχθὲς καὶ πρώην γεγονότα, ταῦτα [c] ἱκανά σε ἐξελέγξαι ἐστὶ, καὶ ἀποδεῖξαι, ὡς πολλοὶ ἀδικοῦντες ἄνθρωποι εὐδαίμονές εἰσι. Τὰ ποῖα ταῦτα; Ἀρχέλαον δήπου τοῦτον τὸν Περδίκκου, ὁρᾷς ἄρχοντα Μακεδονίας; Εἰ δὲ μὴ, ἀλλ' ἀκούω γε. Εὐδαίμων οὖν σοι δο-

20.

[a] Sic Trinc. Deest A.

21.

[a] Deest lemma Trinc. locus A.

22.

[a] Sic Voss. Arsen. Simpl. Γαΐου Trinc. Deest A.

[b] φιλοτιμώτατος] φιλοτιμότατος Voss.

[c] διακονησάμενος] διακονισάμενος Voss. Arsen.

23.

[a] Deest lemma Trinc.

24.

[a] Sic A. Deest lemma Trinc.

[b] μοχθηρίᾳ — μορφῆς] μοχθηρᾷ — μορφῇ B. μορφῆς om. Trinc.

25.

[a] Sic A. ubi om. usque ad λέγω ὦ Πῶλε. Scil. p. 470. D. Simpl. Πλάτωνος Trinc.

[b] γε σε δεῖ] γε ἔδει Trinc. Mox ib. om. ἐχθὲς.

[c] ἱκανὰ] ἱκανῶς Trinc.

κεῖ εἶναι, ἢ ἄθλιος; Οὐκ οἶδα, ὦ Πῶλε, οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί. Τί δαί; συγγενόμενος ἂν γνοίης, ἄλλως δὲ αὐτόθεν οὐ γινώσκεις, ὅτι εὐδαιμονεῖ; Μὰ Δί', οὐ δῆτα. Δῆλον δὲ, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γινώσκειν φήσεις εὐδαίμονα ὄντα. Καὶ ἀληθῆ γε ἐρῶ· οὐ γὰρ οἶδα παιδείας ὅπως [d] ἔχει καὶ δικαιοσύνης. [[e] Τί δὲ; ἐν τούτῳ πᾶσα ἡ εὐδαιμονία ἐστίν; Ὥς γε ἐγὼ λέγω, ὦ Πῶλε.] Τὸν μὲν γὰρ [f] καλοκαγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονας εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον. Ἄθλιος ἄρα οὗτός ἐστιν ὁ Ἀρχέλαος κατὰ [g] τὸν σὸν λόγον. Εἴπερ γε, ὦ φίλε, ἄδικος.

26 [a] Ἐν τῷ αὐτῷ.

Κατά [b] γε τὴν ἐμὴν δόξαν, ὦ Πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως γε ἄθλιος· ἀθλιώτερος μέντοι ἐὰν μὴ διδῷ δίκην, μηδὲ [c] τυγχάνῃ τιμωρίας ἀδικῶν· ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην, καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ [d] ἀνδρῶν.

## ΟΤΙ ΑΒΕΒΑΙΟΣ Η ΤΩΝ ΑΝΘΡΩΠΩΝ ΕΥΠΡΑΞΙΑ, ΜΕΤΑΠΙΠΤΟΥΣΗΣ ΡΑΔΙΩΣ ΤΗΣ ΤΥΧΗΣ. ΡΕ.

1 [a] Εὐριπίδου.

Ὁρᾷς τυράννους διὰ μακρῶν [b] ἠσκημένους
ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα
τὸν μὲν καθεῖλεν [c] ὑψόθεν, τὸν δ' ἦρ' ἄνω.

[d] ἔχει καὶ] καὶ om. Trinc.
[e] τί δὲ—Πῶλε om. Trinc.
[f] καλὸν κἀγαθὸν] καλοκαγαθὸν A. B.
[g] τὸν σὸν] τὸν δὲ σὸν A.

26.

[a] Sic A. Scil. p. 472. Deest lemma Trinc.
[b] γε] μὲν A. B. Voss.
[c] τυγχάνῃ] τυγχάνει Voss.
[d] ἀνδρῶν] ὑπ' ανων A. B.

1.

[a] Sic Trinc. Scil. Ino 16. Deest lemma A.
[b] ἠσκημένους] ηὐξημένους Philostratus Vit. Apoll. VII. 5. ὁ μὲν ὑποκριτὴς ἐπέραινεν ἤδη τὰ Ἰαμβεῖα, ἐν οἷς ὁ Εὐριπίδης διὰ μακρῶν αὐξηθέντας τοὺς τυράννους ἁλίσκεσθαί φησιν ὑπὸ μικρῶν. Grotius in mss.
[c] ὑψωθέντα δήρ' ἄ.] ὑψόθεν, τὸν δ' ἦρ' ἄνω recte emendarunt Th.

ὑπόπτερος δ' [d] ὁ πλοῦτος· [e] οἷς γὰρ ἦν ποτε, 560
ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.

2 [a] Διονυσίου τυράννου ἐκ Λήδας.

Θνητῶν δὲ μηδεὶς μηδέν' ὄλβιόν ποτε
κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ·
ἐν ἀσφαλεῖ γὰρ τὸν θανόντ' ἐπαινέσαι.

3 [a] Σοφοκλέους Τυνδαρέως.

Οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας
ἀνδρὸς, πρὶν αὐτῷ παντελῶς ἤδη βίος
διεκπερανθῇ, καὶ τελευτήσῃ βίον.
ἐν γὰρ βραχεῖ καθεῖλε [b] κὠλίγῳ χρόνῳ
[c] πάμπλουτον [d] ὄλβον δαίμονος κακοῦ δόσις,
ὅτ' ἂν μεταστῇ, καὶ θεοῖς [e] δοκῇ τάδε.

4 [a] Ἀλέξιδος ἐκ Βρεττίας.

Τοιοῦτο τὸ ζῆν ἐστιν, ὥσπερ οἱ κύβοι.
οὐ [b] ταύτ' ἀεὶ πίπτουσιν· οὐδὲ τῷ βίῳ
ταυτὸν διαμένει σχῆμα, μεταβολὰς δ' ἔχει.

5 [a] Διφίλου ἐκ Ζωγράφου.

Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις [b] πάθος,
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα.

Canter. et Grotius, ut legitur apud Plutarch. T. II. p. 104. A. et in loco quem ex Joannis Lydi libello de mensibus inedito citat Leo Allatius in Socrat. Epist. p. 148. VALCKEN. Diatr. Eurip. p. 177. τὰ—ὑψόθεν. τὰ δ' ἦρ' ἄ. B.

[d] ὁ] οὐ A.

[e] οἷος] οἷς A. ubi ποτε deest.

2.

[a] Sic A. Simpl. Διονυσίου τυράννου Trinc.

3.

[a] Sic A. Simpl. Σοφοκλέ. Trinc.

[b] κὠλίγῳ] κἂν ὀλίγω A.

[c] πᾶν πλοῦτον] Forte πάμπολλον, vel πάμπλουτον. GESNER.

[d] ὅλον βαρυδαίμονος] ὄλβον δαίμονος A. B. Gesn. marg. om. Voss. relicto spatio.

[e] δοκεῖ] δοκῇ Voss.

4.

[a] Sic A. Simpl. Ἀλέξιδος Trinc.

[b] οὐ ταῦτ'] οὔτ' αὖτ' Trinc.

5.

[a] Sic A. Simpl. Διφίλου Trinc.

[b] πάθος] πάθος (ους) Voss. πάθους Tr.

6 [a] Εὐριπίδου.

[b] Οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέως·
οὐκ ἐπὶ πᾶσίν σ' ἐφύτευσ' ἀγαθοῖς,
'Αγάμεμνον, 'Ατρεύς. Δεῖ δέ σε χαίρειν
καὶ λυπεῖσθαι, θνητὸς γὰρ ἔφυς·
κἂν μὴ σὺ θέλῃς,
τὰ θεῶν οὕτω νενόμισται.

7 [a] Σιμωνίδου.

Πάμπαν δ' ἄμωμος οὔτις, οὐδ' ἀκήριος.

8 [a] Εὐριπίδου.

Οὐ χρή ποτ' ὀρθαῖς [b] ἐν τύχαις βεβηκότα
ἕξειν τὸν αὐτὸν δαίμον' εἰσαεὶ δοκεῖν.
ὁ γὰρ θεός πως, [c] εἰ θεόν σφε χρὴ καλεῖν,
κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.
θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ' ὑπέρφρονες,
καὶ τῷ παρόντι τοὐπιὸν πιστούμενοι,
ἔλεγχον ἔλαβον τὴν τύχην ἐν τῷ παθεῖν.

9 [a] Σιμωνίδου Θρήνων.

Ἄνθρωπος ἐὼν μήποτε [b] φήσῃς ὅ τι γίγνεται,
μηδ' ἄνδρα ἰδὼν (ὄλβιον) ὅσσον χρόνον [c] ἔσσεται·

6.

[a] Sic Trinc. Scil. Iph. Aul. 28. Deest locus A.

[b] οὐκ ἄγαμαι] Hæc in Stobæo confusa posui ut apud Euripidem exstant, nisi quod ultimo versu pro τὰ θεῶν οὕτω βουλόμεν' ἔσται melius mihi visum quod apud Stobæum legitur τὰ θεῶν οὕτω νενόμισται, ut sit solennis anapæsti clausula catalectica. Grotius. In Stobæi editionibus hi versus ita digeruntur: Οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέως 'Αγάμεμνον 'Ατρεῦ. δεῖ δέ σε χαίρειν κἂν μὴ σὺ θέλῃς, τὰ θεῶν οὕτω νενόμισται. Οὐκ ἐπὶ πᾶσιν ἔφυς ἀγαθοῖς. Καὶ λυπεῖσθαι, θνητὸς γὰρ ἔφυς.

7.

[a] Sic A. Trinc.

8.

[a] Sic A. Trinc. Scil. fr. 68.

[b] ἐν τύχαις] ταῖς τύχαις Voss.

[c] οἱ] εἰ A.

9.

[a] Sic fere A. ubi Σιμωνίδους. Σιμωνύδου Trinc.

[b] φήσῃς] φήσῃ A. Grotius in mss. inserendum monet αὔριον in fine hujus v. et ὄλβιον post ἰδὼν v. seq. Vide infra n. 62.

[c] ἔσσεται] ἐσσεῖται B.

ὠκεῖα γὰρ, οὐδὲ τανυπτερύγου μυίας
οὕτως ἁ μετάστασις.

10 [a] Μενάνδρου.

Εὕροις δ' [b] ἂν [c] οὐθὲν τῶν ἁπάντων, [d] Δημέα,
ἀγαθὸν, ἐν ᾧ [e] τι μὴ πρόσεστι καὶ κακόν.

11 [a] Εὐριπίδου ἐξ Ἀντιόπης.

Τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·
οὐδ' εὐτυχεῖ τὸ [b] πάμπαν, οὔτε δυστυχεῖ·
εὐδαιμονεῖ τε, καὖθις οὐκ εὐδαιμονεῖ.
τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες
οὐ ζῶμεν ὡς ἥδιστα, μὴ λυπούμενοι;

12 [a] Εὐριπίδου Βελλεροφόντου.

Ποῦ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς;
θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ
[b] βένθος [c] ἅλιον ἰθύνουσι· τύχας δὲ θνητῶν
τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος
μεθίστησι, τὸ δὲ μεῖον αὔξων.

13 [a] Εὐριπίδου ἐκ Χρυσίππου.

Ὦ δέσποτ', οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς
οὔτ' εὐτυχοῦς ἀριθμὸν, οὔτε δυστυχοῦς.

14 [a] Τοῦ αὐτοῦ Ἀνδρομάχης.

Χρὴ δ' οὔ ποτ' εἰπεῖν [b] οὐδέν' ὄλβιον βροτῶν, 561
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
ὅπως περάσας ἡμέραν ἥξει κάτω.

10.

[a] Sic A. Trinc. Cleric. p. 248.
[b] ἂν] om. Voss. Trinc.
[c] οὐθὲν] οὐδὲν B.
[d] ὦ Δημέα] ὦ om. B. et Grotius.
[e] τι om. Voss.

11.

[a] Sic A. Scil. fr. 25. Εὐριπίδου Trinc. ubi om. lemmata usque ad n. 20. inclus.
[b] πάμπαν] παράπαν B.

12.

[a] Sic A. Scil. fr. 20.
[b] βένθους] βένθος Arsen.
[c] ἅλιον] ἅλιαι A. B.

13.

[a] Sic A. Scil. fr. 4.

14.

[a] Sic A. Scil. v. 100.
[b] ὄλβιον οὐδένα] οὐδέν' ὄλβιον A.

15 [a] Εὐριπίδου ἐξ Αὐγῆς.

Πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν [b] μόνον,
ἢ καὶ παραυτίκ' ἢ χρόνῳ δαίμων βίον
ἔσφηλε· κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.

16 [a] Τοῦ αὐτοῦ Σκύριοι.

Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεοὺς,
καὶ πάντ' ἀκριβῶς κἀπὶ φροντίδων βίον
[b] οὕτω δικαίως ζῶσιν αἰσχύνης ἄτερ.

17 [a] Εὐριπίδου Ἀνδρομέδας.

Ὁ μὲν ὄλβιος ἦν, τὸ δ' ἀπέκρυψεν
θεός. [b] Ἐκ κείνων τῶν ποτε λαμπρῶν
νεύει βίοτος, νεύει δὲ τύχα
κατὰ πνεῦμ' ἀνέμων.

18 [a] Τοῦ αὐτοῦ Ἱκετίσι.

Μὴ δῆτ'. Ἔχει [b] γὰρ καταφυγὴν, θὴρ μὲν πέτραν,
[c] δοῦλοι δὲ βωμοὺς θεῶν· πόλις δὲ πρὸς πόλιν
ἔπτηξε χειμασθεῖσα. Τῶν γὰρ ἐν βροτοῖς
οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν.

19 [a] Εὐριπίδου Ἰνοῖ.

Ἄνασσα, πολλοῖς ἐστιν ἀνθρώπων κακὰ,
τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ [b] κίνδυνος μολεῖν.
[c] κύκλῳ γὰρ ἕρπει καρπίμοις τε γῆς φυτοῖς,

15.

[a] Sic A. Scil. fr. 6.

[b] μόνον] μόνοις B.

16.

[a] Sic A. Scil. fr. 2.

[b] οὐ τῷ δικαίῳ] οὕτω δικαίως A. B. Malit σὺν τῷ δικαίῳ Gesnerus.

17.

[a] Sic A. Scil. fr. 19.

[b] ἐκείνων] ἐκ κείνων Grotius, qui et in anapæstos digessit.

18.

[a] Sic A. Scil. v. 266. Deest locus Trinc.

[b] γὰρ — θὴρ μὲν] τοι — καὶ θήρια A. B.

[c] δοῦλοι δὲ βωμοὺς] δοῦλος δὲ βωμὸν A. B. ubi om. πόλις δὲ πρὸς πόλιν.

19.

[a] Sic A. Scil. fr. 17.

[b] κίνδυνος] κίνδυνον A.

[c] κύκλῳ γὰρ ἕρπει καρπίμοις τε γῆ

θνητῶν τε γενεᾷ. Τῶν μὲν αὔξεται βίος·
τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν.

20 [a] Εὐριπίδου Ἑκάβης.

[b] Οὐ τὸν κρατοῦντα χρὴ κρατεῖν ἃ μὴ χρεὼν,
οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν [c] πράξειν ἀεί.
κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι·
τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.

21 [a] Σοφοκλῆς Τηρεῖ.

Μήπω [b] μέγ' εἴπῃς πρὶν τελευτήσαντ' ἴδῃς.

22 [a] Μοσχίωνος.

[b] Συνέσει, δόξῃ πρόσθε καὶ γένει μέγας
Ἄργους δυνάστης, λιτὸς ἐκ τυραννικῶν
[c] δόμων, [d] προσίκτην θάλλον [e] ἠγκαλισμένος,
ἔστειχεν εἰς γῆν [f] ὄμμα συμπαθὲς φέρων,
καὶ πᾶσι δεικνὺς ὡς τὰ λαμπρὰ τῆς τύχης
τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει·
ὃν πᾶς μὲν ἀστῶν ἠλέησεν εἰσιδών·
ἅπας δὲ χεῖρα [g] καὶ προσήγορον φάτιν
ὤρεξε, κάνθους τ' ἐξέτηξε δακρύοις,

φυτοῖς θ. τε γενέα.] κύκλος γὰρ ὠυτὸς καρπίμοις τε γῆς φυτοῖς Θνητῶν τε γέννα Valckenærius Diatr. Euripid. p. 6. e Plutarcho II. p. 104. B. Gataker. M. A. VII. 40. ἕλπει—γῆ Trinc.

20.

[a] Sic A. Scil. v. 282.

[b] οὐ τὸν] οὔ τοι A. B. ubi om. κρατεῖν—εὖ om.

[c] πράττειν] πράξειν A. B.

21.

[a] Sic B. Scil. fr. 10. Deest fabulæ nomen A. Trinc. Ἐν τυροῖ Gesnerus.

[b] μέγαν] μέγ' pro μέγαν Cicero ad Attic. IV. 8. Grotius in mss.

22.

[a] Sic A. Trinc.

[b] συνέσει δόξῃ] σὺν αἶσσι δόξη A. πρόσθεν pro πρόσθε Trinc. et sic infra. Συνέσει γένει τε πρόσθε καὶ δόξῃ μέγας Grotius. Idem in mss. "Sc. "(f. Scaliger aut Schottus) Συνὲς "σύ· δόξῃ πρόσθε κ. γ. μ." Nescio an recte. Συνέσει γε δόξας π. κ. γ. μ. Valck. Eurip. Hippol. 96.

[c] δόμων] θρόνων A. B. Voss. Arsen.

[d] προσίκτην] προΐκτην Valcken.

[e] ἠναγκασμένος] ἠγκαλισμένος A. B. Voss. Arsen.

[f] ὄμμα] σῶμα Arsen. συμπαγὲς, *lumina fixus humo*, pro συμπαθὲς, Sc. apud Grotium in mss.

[g] καὶ προσήγορον] κεὐπροσήγορον Valcken.

τύχαις συναλγῶν· τἀξίωμα γὰρ νοσοῦν
τὸ πρόσθε πολλοῖς οἶκτον εὐπορεῖ βροτῶν.

23 [a] Μενάνδρου Πλοκίων Θαΐδός.

Ὡς [b] Παρμένων οὐκ ἔστιν ἀγαθὸν τῷ βίῳ
[c] φυόμενον ὥσπερ [d] δένδρον ἐκ ῥίζης μιᾶς·
[e] ἀλλ' ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακὸν,
ἐκ τοῦ κακοῦ τ' ἤνεγκεν ἀγαθὸν ἡ φύσις.

24 [a] Ἀρχιλόχου.

Τοῖς θεοῖς [b] τίθει (τὰ) πάντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονὶ,
πολλάκις δ' ἀνατρέπουσι, καὶ μάλ' εὖ βεβηκότας
ὑπτίους [c] κλίνουσ'· ἔπειτα πολλὰ γίγνεται κακά. 562
καὶ βίου [d] χρῇ μὴ πλανᾶται, καὶ νόου παρήορος.

25 [a] Θεοδέκτου.

[b] Πολυσπερὴς μὲν, ὦ γέρον, καθ' Ἑλλάδα
φήμη πλανᾶται καὶ διέγνωσται πάλαι,
[c] τὸ μὴ βεβαίους τὰς βροτῶν εἶναι τύχας.

26 [a] Εὐριπίδου Κρήσσαις.

Τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦτε, πρὶν
θανόντ' ἴδῃ τις, ὡς ἐφήμεραι τύχαι.

23.

[a] Sic A. Cleric. p. 156. Deest locus Trinc.

[b] Παρμένων] Παρμένον A. B. Ex Themistii Serm. III. [XXII. p. 267.] μηδέν ἐ. ἀ. ἐν τ. β. enotavit Grotius in mss.

[c] βιώμενον] φυόμενον A. B.

[d] δένδρου] δένδρον A. B.

[e] Grotius in mss. post alia quædam lectu difficilia, habet hæc: "Julianus ad Sallustium: καὶ "γὰρ πῶς ἔοικεν ἡδονὴ καὶ λύπη τῆς "αὐτῆς κορυφῆς ἐξῆφθαι, καὶ παρὰ "μέρος ἀλλήλοις ἀντιμεθίστασθαι." Scil. p. 240. C. Themistius ἀεὶ δὲ (l. γὰρ) αὐτῷ προσπέφυκέ.

24.

[a] Sic Trinc. Deest locus A.

[b] τίθει πάντα] τίθει τὰ πάντα Grotius. τ' εἰ θεῖα π. B.

[c] κινοῦσ'] κλίνουσ' Valckenærius.

[d] χρῇ μὴ] χρήμη B. χρήζων conjecit Gesnerus, recepit Grotius, probante Valckenærio.

25.

[a] Sic A. Trinc.

[b] Πολυσπερὴς] Πολυσπερεῖ A. Voss. Trinc. πολύσπερῆ Arsen.

[c] Citat Clem. Alex. Strom. VI. [p. 745.] GROTIUS in mss.

26.

[a] Sic A. Sed legend. Ἡρακλείδαις. Scil. v. 865. Deest locus Trinc.

27 [a] Ἀλέξιδος.

Κἂν εὐτυχῇ τις, ὡς ἔοικε, προσδοκᾶν
ἀεί τι [b] δεῖ, καὶ μή τι πιστεύειν τύχῃ.

28 [a] Μενάνδρου Γεωργῷ.

Ὁ δ' ἠδικηκὼς, ὅστις ἔσθ' οὗτός ποτε,
τὴν [b] ὑμετέραν πενίαν κακοδαίμων ἔσθ', ὅτι
τοῦτ' ἠδίκηκεν, οὗ [c] τυχὸν μεταλήψεται.
εἰ καὶ σφόδρ' [d] εὐπορεῖ γὰρ, ἀβεβαίως τρυφᾷ·
[e] τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

29 [a] Κλειτομάχου.

Τοῖς εὖ παθοῦσιν ἀντιπνεύσασ' ἡ τύχη
[b] τὰ πάντα συγχεῖ, πάντα ναυαγεῖν ποιεῖ,

[c] τὰ τῇ φρονήσει καὶ τοῖς λογισμοῖς ὀρθῶς ἐκπεπονῆσθαι δοκοῦντα πρὸς τὸ καλῶς ζῆν.

30 [a] Βάθωνος ἐξ Αἰτωλοῦ.

Ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ
[b] τέρας ἐστὶν, εἴ τις εὐτύχηκε διὰ βίου.

31 [a] Εὐριπίδου Ἀρχελάου.

Πάλαι σκοποῦμαι τὰς τύχας [b] τὰς τῶν βροτῶν,
ὡς εὖ [c] μεταλλάσσουσιν. Ὃς γὰρ ἂν [d] σφαλῇ,

27.

[a] Sic A. Trinc.

[b] δεῖ] δὴ A.

28.

[a] Sic A. Cleric. p. 34. Simpl. Μενάνδρου Trinc.

[b] ὑμετέραν] ἡμετέραν Voss. Arsen.

[c] τυχὸν] τυχὼν N.

[d] εὐπορεῖ] εὖ ποιεῖ Arsen.

[e] τὸ τῆς] Citat Etymol. in Πότμος. Grotius in mss.

29.

[a] Sic A. Trinc.

[b] πάντα] τὰ πάντα Grotius, et sic B.

[c] τὰ τῇ φρονήσει] Videntur sequentia non esse versus, ut putabat Grotius. Clitomachus philosophus erat, non poeta. Duos itaque, qui præcedunt, senarios minoribus literis excudendos curavi, utpote a Clitomacho ornamenti gratia citatos.

30.

[a] Sic A. Simpl. Βάθωνος Trinc. Αἰτωλῶν Voss.

[b] τέρας] πέρας A.

31.

[a] Sic A. Scil. fr. 26. Simpl. Εὐριπίδου Trinc.

[b] τῶν] τὰς τῶν B.

[c] μεταλλάσσουσιν] μεταβάλλουσιν A.

[d] σφαλῇ] ἀσφαλῶς A.

εἰς ὀρθὸν ἔστη, [e] χὼ πρὶν εὐτυχῶν, [f] πιτνεῖ.

32 [a] Εὐριπίδου Ἀνδρομέδας.

Οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν,
ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ [b] συνθέλει.

33 [a] Εὐριπίδου Ἀλεξάνδρου.

Ὥστ' οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ.

34 [a] Τοῦ αὐτοῦ Ἑκάβης.

Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.

35 [a] Εὐριπίδου Ἑκάβης.

Φεῦ· οὐκ ἔστιν οὐδὲν πιστὸν, οὔτ' εὐδοξία,
οὔτ' αὖ καλῶς [b] πράξαντα μὴ πράξειν κακῶς.

36 [a] Ἡσιόδου Ἔργων.

Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.

37 [a] Σοφοκλέους Αἴαντι.

Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα [b] τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

38 [a] Σοφοκλέους Τραχινίαις.

Λόγος μὲν ἔστ' ἀρχαῖος ἀνθρώπων φανεὶς,

---

[e] χ'] οὐχ Arsen.
[f] πιτνεῖ] πίπτει A.

32.

[a] Sic A. Scil. fr. 20. Deest locus Trinc.
[b] σὺν τέλει] συνθέλει A. B.
Ib. ὃν μὴ τὸ θεῖον ὡς τὸ τέλος ἀπολλύει] Ita ex conjectura succurri huic loco affecto, legebatur enim ὡς τὰ πολλὰ συντέλει. Nec est quod συντελεῖν heic quisquam dictum putet pro *conficere* aut *destruere*. Id enim Judæorum est Hellenistarum, non Græcorum. GROTIUS.

33.

[a] Sic A. Scil. fr. 16. Deest lemma Trinc.

34.

[a] Sic A. Scil. v. 805. Deest lemma Trinc.

35.

[a] Sic A. Sc. v. 956.
[b] πράξαντα] πράσσοντα Gesn. marg.

36.

[a] Sic A. Scil. v. 823. Simpl. Ἡσιόδου Trinc.

37.

[a] Sic A. Scil. v. 131. Simpl. Σοφοκλέ. Trinc.
[b] τἀνθρώπεια] τἀνθρώπινα A. B.

38.

[a] Sic A. Scil. init. Deest lemma Trinc.

ὡς οὐκ ἂν αἰῶν᾿ [b] ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνῃ τὶς, οὔτ᾿ εἰ χρηστὸς, οὔτ᾿ εἴ τῳ κακός.

39 [a] Σοφοκλέους Φαίδρα.

[b] Τὸ δ᾿ εὐτυχοῦντα πάντ᾿ ἀριθμῆσαι βροτῶν,
οὐκ ἔστιν [c] ὄντως ὅντιν᾿ εὑρήσεις ἕνα.

40 [a] Εὐριπίδου.

Βέβαια δ᾿ οὐδεὶς θνητὸς εὐτυχεῖ γεγώς.

41 [a] Σοφοκλέους Τραχινίαις.

Ὅμως δ᾿ [b] ἔνεστι τοῖσιν εὖ σκοπουμένοις,
ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.

42 [a] Σοφοκλέους Ἀλήτης.

Τίς δή ποτ᾿ ὄλβον ἢ μέγαν θείη [b] βροτῶν,
ἢ [c] σμικρὸν, ἢ τὸν μηδαμοῦ τιμώμενον;
οὐ γάρ ποτ᾿ αὐτῶν οὐδὲν ἐν ταυτῷ μένει.

43 [a] Εὐριπίδου Ἱππολύτῳ.

Ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ
τίκτουσαν ὕβριν τὴν πάροιθ᾿ εὐπραξίαν.

44 [a] Τοῦ αὐτοῦ Οἰδίποδος.

Πολλάς γ᾿ ὁ δαίμων τοῦ βίου μεταστάσεις
ἔδωκεν ἡμῖν, μεταβολάς τε τῆς τύχης. 563

[b] ἐκμάθοι] ἐκμάθοι̃ A.

39.

[a] Sic A. Scil. fr. 7. Deest locus Trinc.

[b] τὸν δ᾿ εὐτυχοῦντα πάντ᾿ ἀριθμήσας βροτοὺς] Ita sensum aliquem elicui, qui nullus videbatur in eo quod exstabat, τὸ δ᾿ εὐτυχοῦντα πάντ᾿ ἀριθμῆσαι βροτῶν. Grotius. εὐτυχοῦν A. B.

[c] ὄντως] οὗτος A. B.

40.

[a] Sic A. Scil. inc. 69. Deest locus Trinc.

41.

[a] Sic A. Scil. v. 296. Deest lemma Trinc.

[b] ἔν ἐστι] ἔνεστι A. B. Gesn. marg.

42.

[a] Sic fere A. ubi Ἀλείτης. Scil. fr. 6. Deest lemma Trinc.

[b] βροτοῦ] βροτῶν A.

[c] σμικρὸν] μικρὸν B.

43.

[a] Sic A. Scil. fr. 11. Simpl. Εὐριπίδου Trinc.

44.

[a] Sic A. Scil. fr. 11. Deest lemma Trinc.

45 [a] Ἐν τῷ αὐτῷ.

Ἀλλ' [b] ἡμέρα τοι μεταβολὰς πολλὰς ἔχει.

46 [a] Εὐριπίδου Μελέαγρος.

Φεῦ. Τὰ τῶν εὐδαιμονούντων ὡς [b] τάχιστα στρέφει θεός.

47 [a] Διφίλου.

Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ·
βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.

48 [a] Νικοστράτου.

Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
νὴ τὴν Ἀθηνᾶν συντόμως γε, φίλτατε
Εὐριπίδη, τὸν βίον ἔθηκας εἰς στίχον.

49 [a] Ἀπολλοδώρου.

Οὐκ οἶδ' ὅτῳ πέποιθας ἀργυρίῳ, πάτερ.
ὁ καιρὸς ὁ τυχὼν τοῖς μὲν οὐ κεκτημένοις
ἔδωκε, τῶν κεκτημένων δ' ἀφείλετο.

50 [a] Φιλήμονος.

Πολλάκις ἔχων τὶς οὐδὲ τἀναγκαῖα νῦν
αὔριον ἐπλούτησ', ὥστε χἀτέρους τρέφειν.
θησαυρὸν εὑρὼν σήμερόν [b] τις, αὔριον
ἅπαντα τἀκ τῆς οἰκίας ἀπώλεσεν.

51 [a] Τραγικὸν Ἐπεισόδιον.

Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον,
καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ·

45.

[a] Sic A. Scil. fr. 12. Deest locus Trinc.

[b] ἡμέρα] ἦμαρ A.

46.

[a] Sic A. Scil. fr. 16. Deest locus Trinc.

[b] τάχιστα] τάχα Grotius.

47.

[a] Sic A. Trinc.

48.

[a] Sic A. Trinc.

49.

[a] Sic A. Trinc.

50.

[a] Sic A. Cleric. p. 356.

[b] τῆς] τις Porsonus Append. Eurip. Hec. 1169. et sic Tyrwhittus. Supra οὐδὲ Porsonus pro οὔτε.

51.

[a] Sic A. Deest lemma Trinc.

οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν [b] θνητῷ γένει,
ὃ [c] περιέτρεψεν, ἢ χρόνος τὶς, ἢ φθόνος,
ἐπὰν ἐπ' ἄκρον τὶς τοῦ καλῶς πράττειν δράμῃ.
ἡ δὲ [d] μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα,
[e] τῷ [f] μήτε λίαν ἐν ταπεινῷ τῆς [g] τύχης
μέρει φέρεσθαι, μήτ' ἐν ὑψηλῷ [h] πάλιν.
κἂν γὰρ πέσῃ τὶς ἐξ ἐλάττονος μέτρου,
εὐπερικάλυπτον ἔσχε τὴν [i] δυσπραξίαν.
ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα.
πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται,
[k] σφάλλει δ' ἐκείνους, οὓς ἂν ὑψώσῃ [l] τύχη.

52 [a] Ἰσοκράτους πρὸς Δημόνικον.

Νόμιζε μηδὲν εἶναι τῶν [b] ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν, περίλυπος.

53 [a] Ἡροδότου.

Ὡς κύκλος τῶν ἀνθρωπηΐων ἐστὶ πρηγμάτων· περιφερόμενος δὲ οὐκ ἐᾷ αἰεὶ τοὺς αὐτοὺς εὐτυχεῖν.

54 [a] Τοῦ αὐτοῦ.

Πᾶν ἐστιν ἄνθρωπος συμφορή.

55 [a] Ὀουθέου.

Εἰ δέ τις ὑπείληφε βεβαίως ἔχειν τὸν πλοῦτον καὶ οὐδέποτε προλείψειν αὐτὸν, οὗτος ἔοικε τύχης καὶ παραδόξων πραγμάτων καταπεφρονηκέναι, καὶ οὐκ εἰδέναι ὅτι πεπλανημένον τὸ εὖ πράττειν, καὶ οὐκ ἀεὶ παρὰ τοῖς αὐτοῖς.

[b] θνητῷ] θνητῶν Voss. Arsen.
[c] περιέτρεψεν] περιέστρεψεν A. Gesn. marg.
[d] μεσότης] πεσότης Arsen.
[e] τῷ] τὸ A. Voss. Arsen.
[f] μήτε λίαν] μὴ τελείαν Trinc.
[g] ψυχῆς] τύχης Grotius, et sic B.
[h] πάλιν] πάλιν εἶναι Trinc.
[i] δυσπραξίαν] εὐπραξίαν A.
[k] σφάλλει] σφάλῃ Voss. Arsen.
[l] τύχη] ψυχὴ A.

52.
[a] Sic A. Simpl. Ἰσοκράτους Tr.
[b] ἀνθρωπίνων] ἐν ἀνθρωπίνων Trinc.

53.
[a] Sic A. Trinc. Scil. I. 207.

54.
[a] Sic A. Sc. I. 32. Deest lemma Tr.

55.
[a] Sic A. Οὐθέου Trinc. Videtur legendum Πυθέου. Hoc nomen in suo exemplari invenit Photius.

56 [a] Βίωνος.

Βίων ἔφη, Τὰ χρήματα τοῖς [b] πλουσίοις ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικεν.

57 [a] Ἐκ τῶν Πορφυρίου περὶ Στυγός.

Ἥ τε γὰρ [b] αἴγειρος, ὥς φασιν ἄλλοι τε καὶ Πλούταρχος, φιλοπενθὴς, καὶ [c] ἀτελὴς πρὸς καρπογονίαν. Διὸ καὶ Σοφοκλῆς ἔν τισι φησίν·

Οὐ χρή ποτ' ἀνθρώπων 50
μέγαν ὄλβον [d] ἀποβλέψαι·
τανυφλοίου γὰρ [e] ἰσαμέριος
ὅστις αἰγείρου βιοτὰν ἀποβάλλει.

58 [a] Σωκράτους.

Ταυτόν ἐστιν ἐπ' εὐτυχίᾳ μέγα φρονεῖν, καὶ ἐπὶ ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν.

59 [a] Δημοκρίτου.

Οὐκ ἔστιν οὕτως ἀσφαλὴς πλούτου πυλεὼν, ὃν οὐκ ἀνοίγει τύχης καιρός.

60 [a] Ἀπελλοῦ.

Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθεὶς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, Οὐχ ἕστηκε γὰρ, εἶπε.

61 [a] Αἰσώπου. 564

[b] Αἴσωπος ἐρωτηθεὶς ὑπό τινος τῶν ἐν ἐξουσίᾳ, τί οἱ θεοὶ πράττουσιν, Τὰ μὲν οἰκοδομεῖν, ἔφη, τὰ δὲ πάλιν καταβάλλειν.

56.

[a] Sic A. Deest lemma Trinc.
[b] πλουσίοις] πολλοῖς Trinc.

57.

[a] Sic A. Deest locus Trinc.
[b] αἴγειρος] ὡς αἴγειρος A.
[c] ἀτελὴς] εὐτελὴς A.
[d] ἀποβλέπειν] ἀποβλέψαι A. B.
[e] ἰσαμόριος] ἰσαμέριος A. B. Vide Sophoclis Fragm. Inc. 34.

58.

[a] Sic A. Trinc.

59.

[a] Sic A. Trinc.
[b] ἀνοίγει] ἐπανοίγει A. B.

60.

[a] Sic A. Deest lemma Trinc.

61.

[a] Sic A. Deest lemma Trinc.
[b] Ita exhibet A. Αἴσωπος ἐρωτηθεὶς ὑπό τινος τῶν ἐν ἐξουσίᾳ ὄντων εἰ οἶδέ τι πράττουσιν οἱ θεοί· Τὰ μὲν οἰκοδομοῦσιν, ἔφη, τὰ δὲ πάλιν καταβάλλουσιν. In Trinc. desunt ὑπό τινος τ. ἐ. ἐ.

62 [a] Φαβωρίνου.

Ἄνθρωπος ὢν μηδέποτ' [b] εἴπης, ὅ τι γίνεται
αὔριον· μὴ δ' ἄνδρα ἰδὼν ὄλβιον, [c] ὅσσον χρόνον ἔσεται·

ἀλλὰ μηδὲ οἶκον· ὥσπερ ἀμέλει ὁ ποιητὴς διεξέρχεται τὴν τῶν Σκοπάδων ἀθρόαν ἀπώλειαν. Ἤδη δὲ καὶ πόλεις, [d] παρ' ὃ προσεδόκησαν, ἀνάστατοι γεγόνασιν αἰφνίδιον· αἱ μὲν ὑπὸ πυρὸς, αἱ δ' ὑπὸ σεισμοῦ, αἱ δὲ τῆς θαλάττης ἐπελθούσης. Ποῦ μοι Ἑλίκη; Κατεπόθη. Ποῦ [e] Βοῦρα; Καὶ αὐτὴ κατεπόθη. Δύο πόλεις [f] Ἑλληνίδες ἀπώλοντο ὥσπερ πλέουσαι.

63 [a] Ἡροδότου ἱστορίας πρώτης.

Κροῖσος δὲ σπερχθεὶς, εἶπεν· Ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδὲν, ὥστε οὔτε ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμᾶς ἐποίησας; Ὁ δὲ Σόλων εἶπεν· Ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες [b] ἐπηρώτας ἀνθρωπηΐων πρηγμάτων πέρι; Ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μέν ἐστιν ἰδεῖν τὰ μή τις [c] ἐθέλει, πολλὰ δὲ καὶ παθεῖν. Ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζωῆς ἀνθρώπῳ προτίθημι. Τουτέων τῶν ἁπασέων ἡμερέων τῶν εἰς τὰ ἑβδομήκοντα ἔτεα ἐουσέων [[d] πεντήκοντα καὶ διηκοσίων καὶ ἑξακισχιλίων καὶ δισμυρίων,] ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὅμοιον εἰσάγει πρῆγμα. Οὕτω, ὦ Κροῖσε; [e] πᾶν ἐστιν ἄνθρωπος συμφορή. Ἐμοὶ δὲ [f] καὶ σὺ πλουτέειν μὲν μέγα [g] φαίνεαι, καὶ βασι-

62.

[a] Sic Trinc. Φαβουρίνου A.
[b] φῇς] εἴπης A. B.
[c] ὅσον χρόνον] ὅσσον χρόνου A. B.
[d] παρὸ] παρ' ὃ A. B.
[e] βοῦρα] βορὰ A. B. βάρα Trinc.
[f] Ἑλληνίδες] Ἑλληνίδες Ἀχαΐδες A. B. In fine pro ὥσπερ πλέουσαι Koënius ad Gregor. de Dial. Ion. LIX. conjicit ὡς παραπλέουσαι.

63.

[a] Sic A. Scil. I. 32.
[b] ἐπηρώτας] ἐπειρωτᾷς Gesn. marg.
[c] ἐθέλει] ἐθέλῃ Trinc.
[d] πεντήκοντα—δισμυρίων om. A. Trinc.
[e] πᾶν ἐστιν] πάρεστιν A. B.
[f] σὺ καὶ] καὶ σοὶ A. σοι B. καὶ σὺ Trinc.
[g] φαίνεαι] φαίνεται A. B.

λεὺς πολλῶν εἶναι ἀνθρώπων· ἐκεῖνο δὲ τὸ [h] εἴρεό με οὔκω σε λέγω, πρὶν τελευτήσαντα καλῶς [i] τὸν αἰῶνα πύθωμαι. Οὐ γάρ [k] τι ὁ μέγα πλούσιος μᾶλλον τοῦ [l] ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστιν, εἰ μή οἱ τύχη ἐπίσποιτο ἔχοντα πάντα καλὰ τελευτῆσαι [m] εὖ τὸν βίον. Πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων [n] ἀνόλβιοί εἰσι· πολλοὶ δὲ μετρίως ἔχοντες βίου, εὐτυχέες. Ὁ μὲν δὴ μέγα πλούσιος, ἄνολβος δὲ, [o] δυοῖσι προέχει τοῦ εὐτυχέος μούνοισιν· οὗτος δὲ τοῦ πλουσίου καὶ ἀνόλβου, πολλοῖσιν. Ὁ μὲν ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην προσπεσοῦσαν [p] ἐνεῖκαι δυνατώτερος· ὁ δὲ τοῖσδε προέχει ἐκείνου, ἄτην [q] δὲ καὶ ἐπιθυμίην οὐχ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι· ταῦτα δὲ ἡ εὐτυχίη [r] οἱ ἀπερύκει· ἄπειρος δέ ἐστιν, ἄνουσος, [s] ἀπαθὴς, εὔπαις, εὐειδής. Εἰ δὲ πρὸς τούτοισιν ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος, τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι· πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχεῖν, μηδὲ καλέειν [t] κω ὄλβιον, ἀλλ' εὐτυχέα. Τὰ πάντα μὲν νῦν ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα ἀδύνατόν ἐστιν, ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα· ἀλλ' ἄλλο μὲν ἔχει, ἑτέρου δὲ [u] ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, αὕτη ἀρίστη. Ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὔταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ [w] ἐνδεές ἐστιν· ὃς δ' ἂν [x] αὐτῶν πλεῖστα ἔχων διατελέῃ, καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τοὔνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐστι φέρεσθαι. Σκοπέειν δὲ χρὴ παντὸς χρή- 565

[h] εἴρεο] ἤρεο A.
[i] τὸν om. A. Mox πήθωμαι Tr.
[k] τι] τις A.
[l] ἐφ'] ἐπ' A.
[m] εὖ] ἐς A. B.
[n] ἀνόλβιοι] ἄνολβοι B.
[o] δυοῖσι] Forte δοιοῖσι. GESNER.
[p] ἐνεῖκαι] ἔνι καὶ A. N. Trinc. et sic mox.
[q] μὲν] δὲ A. Trinc.
[r] οἱ] οἵ' B. Mox δὲ om. Trinc.
[s] ἀπαθὴς] Al. additur κακῶν. GESNER.
[t] κω] πω B. καὶ Trinc.
[u] ἐπιδέεται] ἐπιδεύεται A. B.
[w] ἐνδεές] ἐνδεής B.
[x] αὐτῶν] αἰτῶν B.

ματος τὴν τελευτὴν, [y] κῆ ἀποβήσεται· πολλοῖσι γὰρ δὴ [z] ὑποδέξας ὄλβον ὁ θεὸς [a] προρρίζους ἀνέτρεψε.

## ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΑΞΙΑΝ ΕΥΤΥΧΟΥΝΤΩΝ. Ρϛ.

1 [a] Εὐριπίδου Βελλεροφόντης.

Τιμή σ' ἐπαίρει τῶν πέλας μᾶλλον φρονεῖν.
Θνήσκοιμ' ἄν· οὐ γὰρ ἄξιον λεύσσειν φάος,
κακοὺς [b] ὁρῶντας ἐκδίκως τιμωμένους.

2 [a] Τοῦ αὐτοῦ Δικτύος.

Πολλοῖς [b] παρέστην κἀφθόνησα δὴ βροτῶν,
[c] ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ,
λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών.
[d] τὸ δ' ἦν ἄρ' οὐκ ἀκουστὸν, οὐδ' ἀνασχετὸν
σιγᾶν, κλύοντα δεινὰ πρὸς κακιόνων.

3 [a] Εὐριπίδου Οἰνοῖ.

Ὅτ' ἂν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς,
ἄγαν κρατοῦντες, [b] κοὐ νομίζοντες δίκην
δώσειν, ἔδρασαν πάντ' ἐφέντες [c] ἡδονῇ.

4 [a] Εὐριπίδου Ἱκετίδων.

Ἤδη νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,

[y] κῆ] ἦ B.
[z] ὑποδέξας] ὑποδείξας B.
[a] προρρίζους] προσρίζους Gesn. marg.

1.

[a] Sic A. Scil. fr. 23. Simpl. Εὐριπίδου Trinc. ubi om. lemmata usque ad n. 6.
[b] Male hunc locum tractavit Valckenærius Diatr. Eurip. p. 166. Sanum omnino videtur ὁρῶντας. Accusativus satis frequenter post dativum legitur: nam dativum ἡμῖν post ἄξιον subintelligi, nihil opus ut moneam. Vide modo Herodotum p. præced. v. 4.

2.

[a] Sic A. Scil. fr. 13.
[b] παρέστην] πάρεστι A. B.
[c] ὅστις] ὅς τι Trinc.
[d] τὸ] τοῦ A. B.

3.

[a] Sic A. v. Oenei fr. 9. Legendum vel Οἰνεῖ, vel Ἰνοῖ.
[b] κοὐ νομίζοντες] κοὐκ ὀνειδίζοντες Trinc.
[c] ἡδονῇ] ἡδον A.

4.

[a] Sic A. Scil. v. 425.

ὅτ' ἂν πονηρὸς ἀξίωμ' ἀνὴρ ἔχῃ
[b] γλώσσῃ κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν.

5 [a] Τοῦ αὐτοῦ Ἑλένῃ.

Ἐσθλῶν κακίους ἐνίοτ' εὐτυχέστεροι.

6 [a] Εὐριπίδου Ἱκετίδων.

Φεῦ φεῦ· κακοῖσιν ὡς ὅτ' ἂν δαίμων διδῷ
καλῶς, ὑβρίζουσ', ὡς ἀεὶ [b] πράξοντες εὖ.

7 [a] Εὐριπίδου Τημενίσι.

Πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ' ὅπως
δείξωσιν αὐτοὺς τῶν κακῶν ἐξουσίᾳ.

8 [a] Μενάνδρου Θεοφορουμένου.

Εἴ τις προσελθών μοι θεῶν λέγοι, [b] Κράτων,
ἐπὰν ἀποθάνῃς αὖθις ἐξ ἀρχῆς ἔσῃ·
ἔσῃ δ' ὅ τι ἂν βούλῃ, κύων, πρόβατον, τράγος,
ἄνθρωπος, ἵππος· [c] δὶς βιῶναι γάρ σε δεῖ,
εἱμαρμένον τοῦτ' ἐστίν· ὅ τι βούλει δ' [d] ἑλοῦ·
ἅπαντα μᾶλλον, εὐθὺς εἰπεῖν ἂν δοκῶ,
ποίει με, πλὴν ἄνθρωπον· ἀδίκως εὐτυχεῖ,
κακῶς τε πράττει τοῦτο τὸ ζῶον μόνον.
ὁ κράτιστος ἵππος ἐπιμελεστέραν ἔχει
ἑτέρου θεραπείαν· ἀγαθὸς ἂν γένῃ κύων,
ἐντιμότερος [e] εἶ τοῦ κακοῦ κυνὸς πολύ.
ἀλεκτρυὼν γενναῖος ἐν ἑτέρᾳ τροφῇ

[b] γλώσσῃ κατασχὼν δῆμον] γλώσσης κατάρχων δόμων A. Trinc.

5.

[a] Sic A. Scil. v. 465.

6.

[a] Sic A. Scil. v. 1233. Deest locus Trinc.

[b] πράξοντες] πράξαντες A.

7.

[a] Sic A. Scil. Fr. 14.

8.

[a] Sic A. Cleric. p. 248. Simpl. Μενάνδρου Trinc.

[b] κρατῶν] Forte Κράτων proprium. Gesn. Pro Κράτων l. Κρίτων, vel Στράτων, quod est in Nauclero Menandri. Valcken. Non video quare quid mutemus. Κράτων habet Menander apud Suidam in v. Φίλιος.

[c] διαβιῶναι] δὶς βιῶναι A. Gesn. marg.

[d] αἵρου καὶ ἕλου A.

[e] εἶ] ἧ A.

ἐστίν· [f] ὁ δ' ἀγεννὴς, καὶ δέδιε τὸν κρείττονα.
[g] ἄνθρωπος ἐὰν ᾖ χρηστὸς, εὐγενὴς, σφόδρα
γενναῖος, οὐδὲν ὄφελος ἐν τῷ νῦν γένει.
πράττει δ' ὁ κόλαξ ἄριστα πάντων, δεύτερα
ὁ συκοφάντης, ὁ κακοήθης [h] τρίτα λέγει.
ὄνον γενέσθαι κρεῖττον, ἢ τοὺς χείρονας
ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον.

9 [a] Θεόγνιδος.

Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
[b] ἕσπετο, καὶ τιμῆς τὶς κακὸς ὢν ἔλαχεν.

10 [a] Τοῦ αὐτοῦ.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον 566
ἐσθλὸν, ὃς [b] οὐδ' αὐτῷ βέλτερος οὐδὲν ἐὼν,
οὐδὲ φίλοις· ἀρετῆς δὲ μέγα κλέος οὔ ποτ' ὀλεῖται.
αἰχμητὴς γὰρ ἀνὴρ γῆν [c] τε καὶ ἄστυ σάοι.

11 [a] Σοφοκλέους Ἀλήτης.

[b] Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν ἄπο
βλαστόντας, εἶτα τούσδε μὲν πράσσειν καλῶς·
τοὺς δ' ὄντας ἐσθλοὺς, ἔκ τε γενναίων ἅμα
γεγῶτας, εἶτα δυστυχεῖς πεφυκέναι.
οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι
πράσσειν· ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν
ἔχειν τὶ κέρδος ἐμφανὲς θεῶν πάρα,
τοὺς δ' ὄντας ἀδίκους [c] τοῖσδε τὴν ἐναντίαν

[f] ὁ δ'] οὐδ' A.

[g] ἄνθρωπος ἔαν ᾖ χρηστὸς] ἐὰν ᾖ ἄνθρωπος χρηστὸς A.

[h] τρίτα λέγει] τὰ τρίτ' ἔχει Grotius. Male, ut docuit Bentleius.

9.

[a] Sic A. Trinc. Scil. v. 665.

[b] ἅπτετο] ἕσπετο A. B. Gesn. marg. Mox τις om. A. Trinc.

10.

[a] Sic A. Scil. v. 863. Deest lemma Trinc.

[b] οὐδ'] om. A. Trinc.

[c] τε καὶ] τε om. Trinc.

11.

[a] Sic fere A. ubi ἀλείτης. v. fr. 7.

[b] δεινόν γε] δεινὸν μὲν A. δεινὸν δὲ B. γε om. Trinc.

[c] τῶνδε] τοῖς δὲ A. τούς δε Gesn. marg.

δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν·
κοὐδεὶς ἂν οὕτως [d] εὐτυχοῖ κακὸς γεγώς.

12 [a] Δημοσθένους Ὀλυνθιακῶν ᾱ.

Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται.

13 [a] Δημοσθένους Φιλιππικῶν.

Αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων εἰσίν· εἰ δέ [b] τι πταίσει, τότ' ἀκριβῶς διακαλυφθήσεται ταῦτα πάντα.

14 [a] Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.

Ἔοικεν ὁ βίος θεάτρῳ· διὸ πολλάκις χείριστοι τὸν κάλλιστον ἐν [b] αὐτῷ κατέχουσι [c] τόπον.

## ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΑΞΙΑΝ ΔΥΣΤΥΧΟΥΝΤΩΝ. ΡΖ.

1 [a] Μενάνδρου.

[b] Οὐθέν με λυπεῖ μᾶλλον ἢ χρηστὸς τρόπος,
εἰς χαλεπὸν ὅτ' ἂν ᾖ συγκεκλεισμένος βίον.

2 [a] Τοῦ αὐτοῦ.

Οἰκτρότατόν ἐστι πεῖραν ἐπὶ [b] γήραος οὐδῷ
ἀδίκου τύχης δίκαιος εἰληφὼς [c] τρόπος.

[d] εὐτύχει] εὐτυχῇ A. Verum videtur εὐτυχοῖ.

12.

[a] Sic A. Scil. p. 16. Simpl. Δημοσθένους Trinc.

13.

[a] Sic A. Scil. p. 23.
[b] τις πταίσει] τι πταίσει Trinc.

14.

[a] Sic A. Ἐκ τῶν ἀρίστων Trinc.
[b] αὐτῷ] αὐτοῖς Trinc.
[c] τόπον] πλοῦτον ἢ τόπον A.

1.

[a] Sic A. Trinc. Cleric. p. 250.
[b] Οὐθὲν] οὐδὲν Voss.

2.

[a] Sic A. Cleric. ib. Deest lemma Trinc.
[b] γήρως ὁδῷ] γήρως posui pro γήραος, quod id versui melius conveniret, ὁδῷ pro οὐδῷ eodem significatu, sed ut versui consuleretur, Scaliger emendaverat. Grotius. γῆρας ὁδοῦ A. B. Vulgatum retinendum censet Bentleius.
[c] τρόπος] τρόπον Voss. Arsen.

3 [a] Μενάνδρου.

Ὦ μεταβολαῖς χαίρουσα παντοίαις τύχη,
σόν ἐστ' ὄνειδος τοῦθ', ὅτ' ἄν [b] τις ὢν ἀνὴρ
δίκαιος ἀδίκοις περιπέσῃ συμπτώμασιν.

4 [a] Ἀλέξιδος.

Οὐκ ἔσθ' ὅπως ἔχουσιν αἱ τύχαι φρένας·
οὐδεὶς γὰρ [b] ἂν τοιοῦτος ἠτύχει ποτέ.

5 [a] Ἀντιφάνους.

Οἴμοι τάλας, ὡς ἄδικον, ὅτ' ἂν ἡ μὲν τύχη
λίπῃ τινὸς τὴν τάξιν, ὁ δὲ τρόπος [b] μένῃ.

6 [a] Εὐριπίδου Ἡρακλειδῶν.

Τὴν δ' εὐγένειαν τῆς τύχης νικωμένην
νῦν δὴ μάλιστ' ἐσεῖδον· οἵδε γὰρ πατρὸς
ἐσθλοῦ γεγῶτες δυστυχοῦσ' ἀναξίως.

7 [a] Μενάνδρου Ὀλυνθιακῶν.

Ὡς ἄδικον ὅτ' ἂν ἡ μὲν φύσις
ἀποδῷ [b] τι σεμνὸν, τοῦτο δ' ἡ τύχη κακοῖ.

8 [a] Τοῦ αὐτοῦ.

Πολλοὺς [b] δι' ἀνάγκην γὰρ πονηροὺς οἶδ' ἐγὼ
ὅτ' ἂν [c] ἀτυχήσωσιν γεγονότας, οὐ φύσει
ὄντας τοιούτους.

3.

[a] Sic A. Cleric. ib. Deest lemma Trinc. ubi ὡς μεταβ.

[b] οὗτος] οὕτως Grotius. ὅτ' ἀνὴρ Arsen. οὗτος om. Voss. ὅταν τις ὢν ἀνὴρ B. et sic Porsonus.

4.

[a] Sic A. Trinc.

[b] ἂν om. Voss. Trinc.

5.

[a] Sic A. Deest locus Trinc.

[b] μένει] μένῃ A.

6.

[b] Sic A. Scil. v. 234. Simpl. Εὐριπίδου Trinc.

7.

[a] Sic A. M. ὀλυνθιακοῖς B. Cleric. fr. Ὀλυνθίας p. 134. Deest locus Tr.

[b] τι—ἡ τύχη] τὸ—εἰ τύχοι A.

8.

[a] Sic A. Μενάνδρου Tr. Cleric. p. 250.

[b] δι' ἀνάγκην] δ' ἀνάγκῃ B.

[c] ἀτυχήσωσι] ἀτυχηάσωσι A.

9 [a] Εὐσεβίου.

Πολλοὶ τῶν ἀνθρώπων, ἐπειδ' ἂν δοκέωσι παρ' [b] ἀξίην 567 πρήσσειν, δυσανασχετέοντες, ἔπειτα δεινολογεόμενοι πρὸς ἑωυτοὺς καὶ τοὺς πλησιάζοντας, τοιάδε διαλέγονται· Ὁ μὲν γαμέει καὶ ἐξ οἴκων τῶν εὐδαιμόνων, ἐγὼ δὲ ἄγαμος· καὶ ὁ μὲν οἰκίην ἔχει μεγάλην, καὶ οἰκοδομέει μεγαλοπρεπῶς, καὶ ἀγροὺς κέκτηται πολλούς· ἐγὼ δὲ ἀνέστιος, καὶ ἀκτήμων· καὶ τῷ μὲν πάρα πολλὰ χρήματα, ἐμὲ δὲ [c] ἀχρηματίη πᾶσα ἔχει· [d] καὶ ὅδε μὲν καὶ ὅδε ἄρχουσι καὶ [e] τετιμέαται, [f] τὸ δ' ἐμὸν ἐν ἰδιωτέω λόγῳ καὶ ἀτίμῳ. [g] Πρὸς οὓς χρὴ παραμυθεύμενον [h] τάδε λέγειν· ὡς οὐ χρὴ ἐπ' ἄλλων εὐτυχίῃ ἄχθεσθαι, ἀλλὰ ἥδεσθαι διὰ τὸ ὁμογενές· εἰδέναι δὲ ὅτι καὶ [i] αὐτοὶ πολλῶν, ἔς τε τὰ [k] ἑωυτῶν [l] ἐγκύψαντες καὶ τὰ ἐκείνοις [m] παρέοντα ἐπιφρασάμενοι, [n] εὑρήσουσιν ἑωυτοὺς ἄμεινον πρήσσοντας· καὶ ὅτι οὐδεὶς ὑπὸ τῆς [o] τοῦ πέλας εὐτυχίας, τῆς ὀφειλευμένης [p] ἑωυτῷ εὐπρηγίης ἀποστερέεται.

10 [a] Ἡροδότου Ἱστορίας θ.

Ξεῖνε, ὅ τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ· οὐδὲ γὰρ πιστὰ λέγουσι θέλει πείθεσθαι οὐδείς.

9.

[a] Sic A. Trinc.

[b] ἀξίαν] ἀξίην A.

[c] ἀχρηματίη] ἀχρητίη Arsen.

[d] καὶ ὅδε—καὶ ἀτίμῳ om. Trinc.

[e] τιμέονται B. τετιμέωνται A.

[f] τόδ'— ἀτίμῳ om. Voss. Arsen.

[g] πρὸς οὓς] πῶς οὐ B. Mox παραμυθεύομενον A.

[h] τάδε] τόδε Voss. Arsen. ταῦτα A. B.

[i] αὐτοὶ] αὐτὸ A. B.

[k] ἑαυτῶν] ἑωυτῶν A.

[l] ἐγκρύψαντές] ἐγκύψαντες Voss. Arsen. Trinc.

[m] παρέοντα] Al. additur ἐπιφραιάμενοι. forte ἐπισκεψάμενοι aut ἐπιφρασάμενοι aut simile quid legendum. Gesner. ἐπιφρεάμενοι A. B.

[n] εὑρίσκουσιν] εὑρήσουσιν A. B. Voss. Arsen. Trinc.

[o] τοῦ om. A.

[p] ἑαυτῷ] ἑωῦτῷ A. De hoc loco consulantur Wesselingius et Valckenærius ad Herodot. VII. 152. Jacobsius in Athen. p. 19.

10.

[a] Sic A. Scil. IX. 16. Simpl. Ἡροδότου Trinc.

Ταῦτα δὲ Περσέων συχνοὶ ἐπιστάμενοι, ἑπόμεθα, ἀναγκαίῃ [b] ἐνδεδεμένοι. Ἐχθίστη δὲ ὀδύνη ἐστὶ τῶν ἐν ἀνθρώποις αὕτη, πολλὰ φρονέοντα μηδενὸς κρατέειν.

## ΟΤΙ ΔΕΙ ΓΕΝΝΑΙΩΣ ΦΕΡΕΙΝ ΤΑ ΠΡΟΣΠΙΠΤΟΝΤΑ ΟΝΤΑΣ ΑΝΘΡΩΠΟΥΣ, ΚΑΙ ΚΑΤ' ΑΡΕΤΗΝ ΖΗΝ ΟΦΕΙΛΟΝΤΑΣ. ΡΗ.

1 Φιλήμονος.

Εἰ τὰ δάκρυ' ἡμῶν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
[b] ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
[c] νῦν δ' οὐ προσέχει τὰ πράγματ', οὐδ' ἀποβλέπει,
ἐάν τε κλαίῃς, [d] ἄν τε μὴ, πορεύεται.
τί δὴ ποιεῖς πλέον; Οὐδέν· ἡ λύπη [e] δ' ἔχει,
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν, τὸ δάκρυον.

2 [a] Τοῦ αὐτοῦ.

Ἐγὼ δὲ λυποῦμαι μὲν εἰς ὑπερβολὴν
ἐπὶ τοῖς παροῦσιν, ἐν δὲ τῇ λύπῃ φρονῶ.
[b] τοῦτό με τὸ τηροῦν ἐστι κἄνθρωπον ποιοῦν.

3 [a] Εὐριπίδου Ἀντιγόνη.

[b] Μὴ οὖν θέλε λυπεῖν σαυτὸν, εἰδὼς πολλάκις

[b] ἐνδεδεμένοι] ἐνδεδυμένοι A. B.

1.

[a] Sic A. Trinc. Cleric. p. 328.

[b] ἀλλαττόμεσθ'] ἠλλαττόμεσθ' A. ex em. B. Mox χρυσίῳ B.

[c] νῦν] νυνὶ A.

[d] ἐάν τε μὴ] ἄν τε μὴ A.

[e] δ' ἔχει] σ' ἔχει A. m. p. B.

2.

[a] Sic A. Trinc. Cleric. p. 356.

[b] τοῦτό με] καὶ τοῦτό με B. τοῦτο τό με Grotius.

3.

[a] Sic A. Scil. fr. 14. Simpl. Εὐριπίδου Trinc.

[b] μὴ οὖν ἔθελε] Ita malui quam quod vulgo μὴ οὖν θέλε λυπεῖν, quia versus est tragicus, in quo anapæstum sede secunda vix reperias: coalitionem autem vocalis η in μὴ cum vocali vocis sequentis sæpe. Grotius. Ita constituit Valckenær. Diatr. Eurip. p. 155. μὴ νῦν θέλε Λυπεῖν σεαυτὸν, Αἷμον, εἰδὼς πολλάκις Ὅτι καὶ τὸ λυποῦν ὕστερον χαρὰν ἄγει. In B. legitur, εἰδὼς τοῦθ' ὅτι πολλάκις τὸ λυποῦν ὑ. χ. ἀ. In A. Tr. εἰδὼς ὅτι πολλάκις. Forte corrigend. μὴ νῦν θέλε Λυπεῖν σεαυτὸν, τοῦτό γ' εὖ εἰδὼς ὅτι Πολλάκι τὸ λ. ὑ.

ὅτι τὸ λυποῦν ὕστερον χαρὰν ἄγει,
καὶ τὸ κακὸν ἀγαθοῦ γίγνεται παραίτιον.

4 [a] Χαιρήμονος.

Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός.

5 [a] Μενάνδρου.

Πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν.

6 [a] Τοῦ αὐτοῦ.

[b] Ἄνδρα τὸν ἀληθῶς εὐγενῆ καὶ τἀγαθὰ
καὶ τὰ κακὰ δεῖ πταίοντα γενναίως φέρειν.

7 [a] Φιλήμονος ἐκ Κορινθίας.

Εἰ τὰ παρὰ τοῖς ἄλλοισιν [b] εἰδείης κακὰ,
ἄσμενος ἔχοις ἂν, Νικοφῶν, [c] ἃ νῦν ἔχεις.

8 [a] Φιλήμονος Πτωχῆς ἢ Ῥοδίας.

Εἰ πάντες [b] ἀποθανούμεθ', οἷς μὴ γίγνεται 568
ἃ βουλόμεσθα, πάντες ἀποθανούμεθα.

9 [a] Διφίλου Ἀδελφοῖς.

Ὦ μακάρι', ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο,
ἵν' αὐτὰ τἀναγκαῖα δυστυχῇς μόνον·
πλείω δὲ διὰ τὴν ἀμαθίαν μὴ προσλάβῃς.

10 [a] Φιλιππίδου Φιλαδέλφων.

Ὅτ' ἂν ἀτυχεῖν σοι συμπέσῃ τὶ, δέσποτα,

χ. ἀ. Expleretur et versus legendo τοῦτο γιγνώσκων pro εἰδώς. Aliquid excidisse pene certum est.

[c] ὅτι τὸ] ὅτι καὶ τὸ Grotius.

4.

[a] Sic A. Trinc.

5.

[a] Sic A. Trinc. Cleric. p. 250.

6.

[a] Sic A. Cleric. ib. Deest locus Trinc.

[b] τὸν ἀληθῶς ἄνδρα] τὸν ἄνδρ' ἀληθῶς Grotius. Secutus sum Porsonum.

7.

[a] Sic A. Cleric. p. 310. Deest locus Trinc.

[b] εἰδοίης] εἰδείης A. Videatur Porsonus ad Euripid. Phœniss. 1366.

[c] ἃ] τὰ A.

8.

[a] Sic fere A. ubi Ῥωδίας. Cleric. p. 324. Tanquam Menandri Tr.

[b] ἀποθανοίμεθ'] Et heic et in versu sequenti ἀποθανοίμεθα legendum, non ἀποθανούμεθα, a Scaligero notatum erat. Grotius.

9.

[a] Sic A. Simpl. Διφίλου Trinc.

10.

[a] Sic fere A. ubi Φιλίππου. Simpl. Φιλιππίδου Trinc.

Εὐριπίδου μνήσθητι, καὶ ῥάων ἔσῃ·
οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
εἶναι δ' ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα.

11 [a] Εὐριπίδου Ὑψιπύλῃ.

[b] Ἔφυ μὲν οὐδεὶς, ὅστις οὐκ ἀεὶ πονεῖ,
[c] θάπτειν τε τέκνα, χἄτερα κτᾶσθαι πάλιν,
[d] αὐτοὺς δὲ θνήσκειν, κᾆτα δ' ἄχθονται βροτοὶ
εἰς γῆν φέροντες [e] γῆν, ἀναγκαίως δ' ἔχει
βίον θερίζειν ὥστε κάρπιμον στάχυν·
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή· τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;

12 [a] Εὐριπίδου Ἡρακλεῖ.

Τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται,

11.

[a] Sic A. Scil. fr. 4.

[b] De hoc fragmento consulatur in primis Valckenærius Diatr. Eurip. p. 213.

Ib. Ἅ γ' οὖν παραινῶ, ταῦτά μοι δέξαι, γύναι. Ἔφυ μὲν] Hoc quantivis pretii fragmentum, quod tum apud Stobæum tum apud Clem. Strom. IV. tum apud Plutarch. Consolatione ad Apollonium corruptum exstabat, nitori suo reddidimus. Primus versus et ultimus apud Clementem exstant: ultimus et apud Plutarchum: in Stobæo deerant. Itaque addidimus. Grotius. Stobæi lectiones ubique retinendas judicavi. Scripturæ varietatem enotarunt Euripideorum fragmentorum editores.

[c] Θάπτειν τε τέκνα χἄτερ' αὖ κτᾶσθαι πάλιν] Rectius hoc cum superioribus cohæret, quam quod apud Clementem legitur, θάπτει τε τέκνα καὶ ἕτερα σπείρειν νέα. Addidimus αὖ ex Plutarcho, apud quem male κτᾶται pro κτᾶσθαι. Grotius.

[d] αὐτός τε θνήσκειν· κᾆτα δ' ἄχθονται βροτοί] In Stobæo erat αὐτοὺς δὲ θνήσκειν· κατὰ δ' ἄχθονται βροτοί. In Clemente et Plutarcho αὐτός τε θνήσκει καὶ τάδ' ἄχθονται βροτοί. Ex utraque lectione mendosa veram eruimus: κᾆτα est indignantis. Grotius.

[e] εἰς γῆν φέροντες γῆν· ἀναγκαίως δ' ἔχει] Hic versus in Clemente non est: at in Stobæo et Plutarcho legebatur, Εἰς γῆν φέροντες· τὴν ἀναγκαίως ἔχει. Ut autem constet lectori non male a nobis hos versus reconcinnatos, apponam versionem Latinam Ciceronis quæ exstat Tusculanarum tertio: *Mortalis nemo est, quem non attingat dolor Morbusque: multi sunt humandi liberi, Rursum creandi, morsque est finis omnibus, Quæ generi humano angorem nequicquam adferunt: Reddenda est terræ terra, tum vita omnibus Metenda ut fruges. Sic jubet necessitas.* Grotius.

12.

[a] Sic A. Scil. v. 1349.

θνητὸς πεφυκὼς, ὃν τρόπον χρεὼν φέρειν·
οὐδ᾽ ἀνδρὸς [b] ἂν δύναιθ᾽ ὑποστῆναι βέλος.

13 [a] Εὐριπίδου Ἀντιγόνης.

Ὅστις δὲ πρὸς τὸ πίπτον εὐλόγως φέρει
τὸν [b] δαίμον᾽, οὗτος [c] ἧσσόν ἐστιν ὄλβιος.

14[a] Μεταβαλλομένου δαίμονος, ἀνέχου.
πλεῖ κατὰ πορθμὸν, πλεῖ κατὰ δαίμονα.

15 [a] Εὐριπίδου.

Θνητὸς γὰρ ὢν, καὶ θνητὰ [b] πείσεσθαι δόκει.
θεοῦ βίον ζῆν [c] ἀξιοῖς ἄνθρωπος ὤν.

16 [a] Εὐριπίδου Ἱππολύτῳ στεφανηφόρῳ.

Θάρσει τέκνον, καὶ μὴ χαλεπῶς
μετάβαλλε δέμας.
ῥᾷον δὲ νόσον [b] μετά θ᾽ ἡσυχίας
καὶ γενναίου λήματος οἴσεις·
μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.

17 [a] Εὐριπίδου Ἀλεξάνδρου.

Πάντων τὸ θανεῖν· τὸ δὲ κοινὸν ἄχος
μετρίως [b] ἀλγεῖν σοφία μελετᾷ.

18 [a] Εὐριπίδου Ἀλκμήνης.

Ἀλλ᾽ εὖ φέρειν χρὴ συμφορὰς τὸν [b] εὐγενῆ.

[b] ἂν δύναιθ᾽ ὑποστᾶναι] δύναιτ᾽ ἂν ἀνθυποστῆναι A. B. δύναιτ᾽ ἀνθυποστᾶναι Trinc.

13.

[a] Sic A. Scil. fr. 15.

[b] δαίμον᾽] δαίμονα δ᾽ A. B.

[c] ἧσσον] Lego μᾶλλον. GESNER. ἧσσόν ἐστ᾽ ἀνόλβιος Grotius, e Scaligeri emendatione.

14.

[a] Scil. Troad. 101.

15.

[a] Sic A. Scil. inc. 70.

[b] πείσεσθαι] πήσεσθαι A.

[c] ἀξιοῖς] ἄξιος Trinc.

16.

[a] Sic fere A. ubi E. Ἱππολύτῳ στεφάνῳ. Scil. v. 204.

[b] μεθ᾽] μετά θ᾽ A.

17.

[a] Sic A. Scil. fr. 17.

[b] ἀλγεῖν] ἀλβεῖν Trinc.

18.

[a] Sic A. Scil. fr. 10.

[b] εὐμενῆ] εὐγενῆ A. B.

19 [a] Τοῦ αὐτοῦ Αἰόλου.

Μοχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας
ὅστις φέρει κάλλιστ', ἀνὴρ οὗτος σοφός.

20 [a] Εὐριπίδου Βελλεροφόντου.

Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' [b] οὑντυγχάνων,
τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς.

21 [a] Σοφοκλῆς Θυέστῃ.

[b] Ἔχεις μὲν ἀλγεῖν, οἶδα· [c] πειρᾶσθαι δὲ χρὴ,
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου [d] φέρειν.
ἐκ τῶν τοιούτων χρή τιν' ἴασιν λαβεῖν.

22 [a] Εὐριπίδου Ἑλένης.

Ἔχεις μὲν ἀλγεῖν, οἶδα· σύμφορον δέ σοι
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

23 [a] Πάντων ἄριστον μὴ βιάζεσθαι θεοὺς,
στέργειν δὲ μοῖραν· τῶν ἀμηχάνων δ' ἔρως
πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν.

24 [a] Εὐριπίδου Μελανίππης.

Τὰ τυγχάνοντα δ' ὅστις εὖ φέρει βροτῶν,
σοφὸν νομίζω, σωφρονεῖν τ' ἐμοὶ δοκεῖ.

25 [a] Εὐριπίδου.

Πέπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν.

19.

[a] Sic A. Scil. fr. 17.

20.

[a] Sic A. Scil. fr. 24.

[b] οὑν τυγχάνων] ὁ τυγχάνων Grotius.

21.

[a] Sic A. Deest locus Trinc.

[b] ἔχεις] ἔχει A. B. Mox ἀλγεῖν ἃ A.

[c] πειρᾶσθαι δὲ χρὴ] σύμφορον δέ σοι A. σύμφωνον δέ σοι Gesn. marg.

[d] φέρειν] φέρειν. Ἐκ τῶν τοιούτων χρὴ τὴν ἴασιν λαβεῖν A. B. qui versus Grotio παρεμβεβλημένος videtur. Gesnerus in marg.: "Hi "versus apud Sophoclem etiam "in Thyeste leguntur."

22.

[a] Sic A. Scil. v. 261.

23.

[a] Habet hoc fr. Trinc. inter alia Euripidis. Brunckius tribuit Sophocli Thyest. 3. Gesneri margine, ut puto, deceptus. Mihi videtur Euripidis esse. Credo abesse A.

24.

[a] Sic A. Scil. fr. 16.

25.

[a] Sic A. Scil. inc. 71.

τὰς γὰρ παρούσας οὐχὶ σώζοντες τύχας 569
ὤλοντ' ἐρῶντες μειζόνων ἀβουλίᾳ.

26 [a] Βακχυλίδου Προσωδιῶν.

Εἷς ὅρος, μία βροτοῖσίν ἐστιν εὐτυχίας ὁδὸς,
θυμὸν εἴ τις ἔχων [b] ἀπενθῆ δύναται διατελεῖν βίον.
[c] ὃς δὲ μυρία μὲν ἀμφιπολεῖ φρενὶ, τὸ δὲ
[d] πᾶν ἦμάρ τε καὶ νύκτα μελλόντων χάριν ἑὸν
ἰάπτεται κέαρ, ἄκαρπον [e] ἔχει πόνον.

27 [a] Πυθαγόρου.

Ὅσσα δὲ δαιμονίαισι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
ὧν ἂν μοῖραν ἔλῃς, ταύτην φέρε, μηδ' ἀγανάκτει.

28 [a] Ἀντιφάνους Ἡνιόχῳ.

Ἀνδρὸς διαφέρει τοῦτ' ἀνήρ· ὁ μὲν κακῶς
πράττων, τὸ λυποῦν ἤγαγ' εἰς παράστασιν·
ὁ δ' ἐμφρόνως δεξάμενος, ἤνεγκεν καλῶς.

29 [a] Ἀντιφάνους.

[b] Τὰ τύχης φέρειν δεῖ γνησίως τὸν [c] εὐγενῆ.
[d] τὸ μὲν ἀτυχῆσαι παντὸς εἶναί μοι δοκεῖ·
ἀνδρὸς δ' ἐνεγκεῖν ἀτυχίαν [e] ὀρθοῦ τρόπου.

30 [a] Μενάνδρου Κανηφόρῳ.

Ἀλογίστου τρόπου

26.

[a] Sic A. Simpl. Βακχυλίδου Tr.

[b] ἀπενθῆ] ἀπευθῆ Trinc.

[c] οἷς δὲ] Grotius reposuit ὃς δέ.

[d] παρ' ἦμάρ τε καὶ νύκτα μελλόντων χάριν ἑὸν Ἰάπτεται] Fecimus sensum commodum ex verbis intricatissimis levi mutatione. Sic enim habebant, παρόμαρτε νύκτα μελλόντων χάριν ἀόνι ἅπτεται. Versus autem sunt exleges, quamquam subjuncti duobus tetrametris: quod et sæpe in Bacchylide deprehendas. Grotius. ἀόνι om. Trinc. ᾧ δὲ—τὸ δὲ πᾶν ἦμάρ τε καὶ νύκτα et mox δάπτεται H. Steph. Fr. Lyric. p 253.

[e] ἔχει] ἔχειν B.

27.

[a] Sic A. Trinc.

28.

[a] Sic A. Simpl. Ἀντιφάνους Tr.

29.

[a] Sic A. Deest lemma Trinc.

[b] τὰ τύχης] τὰ τῆς τύχης B. γνησίως pro ἠπίως ex Menandro infra p. 570, 26. reponit Jacobsius in Athen. p. 322.

[c] εὐγενῆ] εὐμενῆ Trinc.

[d] τὸ μὲν] Deest hic versus B.

[e] ὀρθοῦ τρόπου] ὀρθῷ τρόπῳ Grotius.

30.

[a] Sic A. Cleric. p. 94. Deest Tr.

ἀτύχημα φεύγειν ἐστὶν οὐκ αὐθαίρετον.

31 [a] Μενάνδρου.

Ἔνεγκ' ἀτυχίαν καὶ βλάβην εὐσχημόνως.
τοῦτ' ἔστιν ἀνδρὸς νοῦν ἔχοντος, [b] οὐκ ἄνω
[c] ἀνασπάσας τὶς τὰς ὀφρῦς, [d] εἰ μὴ λαλεῖ,
[e] ἀλλ' ὃς τὰ αὐτοῦ πράγματ' ἐγκρατῶς φέρει.

32 [a] Μενάνδρου Πλοκίῳ.

Ἀεὶ τὸ λυποῦν ἀποδίωκε τοῦ βίου·
[b] μικρόν τι τὸ βίου, καὶ στενὸν ζῶμεν χρόνον.

33 [a] Φιλήμονος.

Μείζω τὰ κακὰ ποιοῦσι πολλοὶ, δέσποτα,
αὐτοὶ δι' αὐτοὺς, ἢ πέφυκε τῇ φύσει.
οἷον, τέθνηκεν υἱὸς ἢ μήτηρ τινὶ,
ἢ νὴ Δί' ἄλλων τῶν ἀναγκαίων γέ τις,
[b] εἰ μὲν λάβῃ τοῦτ', Ἀπέθαν', ἄνθρωπος γὰρ ἦν,
[c] τοσοῦτο γέγονε τὸ κακὸν, ἡλίκον περ ἦν.
[d] ἐὰν δ', Ἀβίωτος ὁ βίος, οὐκ ἔτ' ὄψομαι,
[e] ἀπόλωλ', ἐν ἑαυτῷ τοῦτ' ἐὰν σκοπῇ, κακὰ
[f] πρὸς τοῖς κακοῖσιν οὗτος ἕτερα συλλέγει.
ὁ δὲ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν,

31.

[a] Sic A. Cleric. p. 250.

[b] οὐκ ἄνω] οὐχ ὃς ἂν B.

[c] ἀνασπάσας τις λαλεῖ] ἀνασπάσαντα—λαλεῖν Grotius.

[d] εἰ μὴ] ἐμοὶ B. οἴμοι conj. Gesnerus, recepit Grotius.

[e] ὃς τὰ αὐτοῦ] Forte ὅστις αὐτοῦ. Wakefieldius, ὅστις ἑαυτοῦ.

32.

[a] Sic A. Cleric. p. 158.

[b] μικρόν τι τὸ βίου] Versus hoc postulat, non quod legebatur μικρόν τι τοῦ βίου, aut quod in MS. A. est, μικρὸν τὸν τοῦ βίου. GROTIUS.

33.

[a] Sic A. Cleric. p. 356.

[b] εἰ μὲν λάβῃ] ὁ μὲν λάβῃ A. εἰ μὲν λάλῃ Bentleius.

[c] τοσοῦτον] τοσοῦτο Bentleius.

[d] ἐὰν δ'] δ' om. A.

[e] ἀπόλωλεν, ἐν ἑαυτῷ τοῦτο ἐὰν σκοπῇ—συλλέγει κακά.] ἐν ἑαυτῷ ἐὰν τοῦτο σκ. Grot. ἐν ἑαυτῷ τοιοῦτος ἂν σκοπῇ Bent. ἀπόλωλεν ἐν ἑαυτῷ τις ἣν τοῦτο σκοπῇ Porsonus Eurip. Hec. 1169. addend. B. in marg. pro conjectura, ἓν τοῦτ' αὐτὸ μόνον, ἐὰν σκοπῇ. Hunc et sequentem versum ita corrigit Tyrwhittus: ἀπόλωλ'· ἐν ἑαυτῷ τοῦτ' ἐὰν σκοπῇ, κακὰ Πρὸς τοῖς κακοῖσιν οὗτος ἕτερα συλλέγει. Et sic, simplicitate emendationis permotus, reposui.

[f] πρὸς τοῖς κακοῖς] πρὸς τοῖς κακοῖσιν Bentleius.

τὸ κακὸν [g] ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει.

34 [a] Φιλήμονος.

Οὕτως ἄνανδρος γέγονας· οὐκ εὐψυχία
τοῦτ' ἐστὶν ὃ ποιεῖς νῦν γὰρ, ἀλλ' ἀνανδρία,
τὸ μὴ δύνασθαι καρτερεῖν λυπούμενον.

35 [a] Τοῦ αὐτοῦ.

Πόλλ' ἔστιν ἐν πολλαῖσιν οἰκίαις κακὰ,
ἃ καλῶς ἐὰν ἐνέγκῃς, ἀγαθὰ γενήσεται.

36 [a] Ἀπολλοδώρου.

Χαλεπὸν [b] τύχη 'στὶ πρᾶγμα, χαλεπόν· ἀλλὰ δεῖ
αὐτὴν φέρειν κατὰ τρόπον, ὥσπερ φορτίον.

37 [a] Φιλήμονος.

Ἐνταῦθ' ἀνὴρ [b] γάρ ἐστιν ἀνδρὸς διάφορος,
ἐν τῷ τό τε κακὸν [c] εὖ φέρειν καὶ τἀγαθόν.

38 [a] Μενάνδρου Ἀνδρογύνου.

Τὰ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ
ἄνθρωπον ὄντα· παραμένει γὰρ οὐδὲ ἕν.

39 [a] Φιλήμονος.

[b] Ἀγνώς τις ἔστ' ἄνθρωπος, εὐδαίμων ἔσῃ.
τέθνηκέ τις; μὴ δεινὸν ἔστω τοῦτό σοι.
[c] κεκύηκέ τις; οὐ κεκύηκέ τις; ἠτύχηκέ τις;

[g] ἀφαιρεῖται, ἀγάθον] ἀφαιρεῖ, τἀγαθὸν A. B. ut Bentleius. ἐφαιρεῖτ', ἀγ. Trinc.

34.

[a] Sic A. Cleric. p. 358. Διφίλου Trinc.

35.

[a] Sic A. Cleric. ib.

36.

[a] Sic A. Trinc.

[b] τὶ πρᾶγμα] Malim τὸ. GESNER. Sic B. Dedi τύχη 'στὶ auctore Porsono.

37.

[a] Sic A. Cleric. p. 359.

[b] γὰρ om. A. B.

[c] εὖ φέρειν] εὐφραίνειν A.

38.

[a] Sic A. Cleric. p. 16. Simpl. Μενάνδρου Trinc.

39.

[a] Sic A. Trinc. Cleric. p. 359.

[b] ἂν γνῷς τι] Ita emendavi pro ἀγνώς τις. GROTIUS.

[c] κεκύηκέ τις. οὐ κεκύηκέ τις; ἠτύχηκέ τις, Βήττει τις· οἰμώζει τις· ἡ φύσις φέρει] Restituimus hæc verba legibus versuum. Vulgo post κεκύηκέ τις repetebatur μὴ δεινὸν ex glossemate; et κεκύηκέ τις pessi-

βήττει τις; οἰμώζει τις; ἡ φύσις φέρει
ἅπαντα ταῦτα· φεῦγε [d] τὰς λύπας μόνον.

40 [a] Σωτάδου.

Πλειστάκις ἀδικούμενός τις ἐν ἀδικοῦντι καιρῷ
ἀνέχεταί τις ὃ μὴ θέλει διὸ φέρει γενέσθαι.

41 [a] Μενάνδρου Μισογύνου.

Ἂν [b] ἐκλέγῃ
ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς
τῶν προσδοκωμένων, ὀδυνήσῃ διὰ τέλους.

42 [a] Μενάνδρου ἐκ Βοιωτίας.

Πολλὰ δύσκολα
εὕροις ἂν ἐν τοῖς πᾶσιν, ἀλλ' εἰ πλείονα
τὰ συμφέροντ' ἔνεστι, τοῦτο δεῖ σκοπεῖν.

43 [a] Εὐριπίδου.

Ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν,
[b] κἂν τοῖσι δεινοῖς μὴ τεθυμῶσθαι θεοῖς.

me versum finiebat. Nec minus inepte ἡ φύσις φέρει addito δ' versum ultimum inchoabat. Grotius.

[d] λύπας μόνον] Illud μόνον et versu postulante et auctoritate MS. A. addidimus. Grotius. Nescio unde illud μόνον arripuerit Grotius, certe non exstat in A. Recte tamen, opinor, retinui.

40.

[a] Sic A. Deest locus Trinc.

41.

[a] Sic A. Cleric. p. 122. Deest locus Trinc.

[b] ἐκλέγῃς] De horum versuum emendatione egimus supra ad Tit. LXIX. Grotius.

42.

[a] Sic A. Cleric. p. 30.

[b] εὕροις ἂν ἐν τοῖς πᾶσιν] Hunc verborum ordinem præbet A. et puto B. etsi ex eo codice nihil reperio enotatum a collatore. Vulgo ἐν τοῖς πᾶσιν εὕροις ἄν. Videatur Brunckius ad Aristoph. Eccles. 82.

43.

[a] Sic A. Trinc. Scil. inc. 72.

[b] τοῖς δεινοῖσι] τοῖσι δεινοῖς correxit Grotius. Hoc fragmentum Æschylo tribuit Plutarchus II. p. 116. F. notante Valckenærio Diatr. Euripid. pag. 230. necnon Grotio in mss.

44 [a] Μενάνδρου Μισογύνου.

Τὰ δυσχερῆ γὰρ καὶ τὰ [b] λυπήσαντά σε
ὁρᾷς ἐν αὐτῷ, τἀγαθὰ δ' οὐκέτι βλέπεις.
εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε,
ἀγαθὸν, ὅπου τὶ μὴ πρόσεστι καὶ κακόν.

45 [a] Μενάνδρου Ἡνιόχῳ.

Ὧν δὲ μὴ αἴτιος τρόπος,
[b] τό γ' ἀπὸ τῆς τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ.

46 [a] Μενάνδρου Εὐνούχῳ.

Καὶ μὴ [b] θεομάχου, μὴ δὲ προσάγου τῷ πράγματι
χειμῶνας ἑτέρους, τοὺς δ' ἀναγκαίους φέρε.

47 [a] Ἀλέξιδος ἐκ Συρακουσίου.

Τοῖς γὰρ κακοῖς
τοὺς μὴ μαχομένους ῥᾷστα χρωμένους ὁρῶ.

48 [a] Μενάνδρου Κονιαζομέναις.

Ὥστε μηθεὶς πρὸς θεῶν
πράττων κακῶς λίαν ἀθυμήσῃ ποτέ.
ἴσως γὰρ ἀγαθοῦ τοῦτο [b] πρόφασις γίγνεται.

49 [a] Βακχυλίδου Προσωδιῶν.

Τί γὰρ ἐλαφρὸν ἔτ' ἐστ' [b] ἄπρακτ' ὀδυρόμενον δονεῖν καρδίαν;

44.

[a] Sic A. Cleric. p. 122. Simpl. Μενάνδρ. Trinc.

[b] λυπήσαντα] λυπήσοντα A. B.

45.

[a] Sic A. Cleric. p. 72. Deest lemma Trinc.

[b] τόγ' ἀπὸ] Ita A. ut vulgo: τά γ' malit Gesnerus. Male digessit Grotius, ὧν δὲ μὴ τρόπος αἴτιος Τὰ τύχης etc. Nec recte Jacobsius in Athen. p. 187.

46.

[a] Sic A. Cleric. p. 70. Deest lemma Trinc.

[b] θεομάχει] θεομάχου B. καὶ in principio versus delevit Grot. qui minus recte versu altero omisit δ'.

47.

[a] Sic A. Deest locus Trinc.

48.

[a] Sic A. Gesn. marg. Cleric. p. 108. Deest locus Trinc.

[b] πρόσφασις] πρόφασις A.

49.

[a] Sic A. Deest locus Trinc.

[b] ἄπρακτ'] Illud ἄπρακτ' addit MS. A. Grotius. Sic et B.

50 [a] Φιλήμονος.

Ἄνθρωπος [b] εἶ δήπουθεν· οὐκ ἔστ' οὐδὲ εἷς
ᾧ μὴ κακόν τι γέγονεν, ἢ γενήσεται.
ὁ ποιῶν δ' [c] ἐλάχιστον τὸ γεγενημένον (κακὸν),
ἀμφότερον οὗτος εὐτυχεῖ τε καὶ φρονεῖ.

51 [a] Σοφοκλέους.

Στέργειν δὲ [b] τἀκπεσόντα, καὶ θέσθαι πρέπει
σοφὸν [c] κυβευτὴν, ἀλλὰ μὴ στένειν τύχην.

52 [a] Ἀλέξιδος ἐκ Φιλοτραγῳδοῦ.

Σοφοῦ γὰρ ἀνδρὸς τὰς τύχας [b] ὀρθῶς φέρειν.

53 [a] Σοφοκλέους Φαίδρᾳ.

Αἴσχη μὲν, ὦ γυναῖκες, οὐδ' ἂν εἷς φύγοι
βροτῶν ποθ', ᾧ [b] καὶ Ζεὺς ἐφορμήσοι κακά.
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν.

54 [a] Τίν' ἡμῖν ἥκεις τοῦ θεοῦ φήμην φέρων;
Ἐσθλήν. [b] λέγων γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι
κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.

55 [a] Σοφοκλέους Αἴαντι.

Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς 571
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

50.

[a] Sic A. Trinc. Cleric. p. 359.

[b] ἄνθρωπος εἶ] ἄνθρωπος ὢν Gesnerus, ἄνθρωπος οὐ Grotius. Bentleius, ὧν ἔστ' οὐδεεὶς. Vulgatum omnino retinendum.

[c] ἐλάχιστον τὸ γεγεννημένον] Bentleius: ὁ ποιῶν δ' ἐλαχίστου τὸ γεγενημένον κακόν. Wyttenbachius Plut. p. 103. A. probat κακὸν, sed retinet ἐλάχιστον.

51.

[a] Sic A. Trinc. Scil. inc. 28.

[b] τἀμπεσόντα] τἀκπεσόντα A. Trinc.

[c] κυβευτὴν] κυβερνήτην Trinc.

52.

[a] Sic A. Simpl. Ἀλέξιδος Trinc.

[b] ὀρθῶς] εὖ Trinc.

53.

[a] Sic A. Scil. fr. 8. Simpl. Σοφοκλέ. Trinc.

[b] κε—ἐφορμήσῃ] καὶ—ἐφορμήσοι A. γε—ἐφορμήσοι Brunck.

54.

[a] Deest lemma Trinc. v. Sophocl. Œd. Tyr. 86.

[b] λέγων] λέγω Grotius.

55.

[a] Sic A. Scil. v. 362. Deest lemma Trinc.

56 [a] Σοφοκλέους Ἀκρισίῳ.

Θάρσει, γύναι· τὰ πολλὰ τῶν δεινῶν, ὄναρ
πνεύσαντα νυκτὸς, ἡμέρας μαλάσσεται.

57 [a] Μενάνδρου.

[b] Οὐδὲν πέπονθας δεινὸν, ἂν μὴ προσποιῇ.

58 [a] Σοφοκλέους Τηρεῖ.

Ἀλγεινὰ, Πρόκνη, δῆλον· ἀλλ' ὅμως χρεὼν
τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν.

59 [a] Σωτίωνος ἐκ τοῦ Περὶ Ὀργῆς.

[b] Μῦθός τις περιφέρεται γυναικός· ὅτι ἡ λύπη παρ' οἷς ἂν τρέφεται, καὶ αὔξεται παρ' ἐκείνοις ἡδέως καὶ μένει. Ὁ δὲ Κλεάνθης ἔλεγε τὴν λύπην, ψυχῆς παράλυσιν. Ὁ δὲ φρόνιμος ἐρεῖ,

> [c] τολμήεις μοι [d] θυμὸς, ἐπεὶ μάλα πολλὰ πέπονθα·
> . . . . . μετὰ καὶ τόδε τοῖσι γενέσθω.

60 [a] Ῥούφου ἐκ τῶν Ἐπικτήτου Περὶ Φιλίας.

Ὅτι τοιαύτη ἡ τοῦ κόσμου φύσις, καὶ ἦν, [b] καὶ ἔστι, καὶ ἔσται· καὶ οὐχ οἷόν τε ἄλλως γίγνεσθαι τὰ γιγνόμενα, ἢ ὡς νῦν ἔχει· καὶ ὅτι ταύτης τῆς τροπῆς καὶ [c] μεταβολῆς οὐ [d] μόνον οἱ ἄνθρωποι μετειλήφασι, καὶ τἄλλα ζῶα τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ θεῖα, καὶ, νὴ Δί', αὐτὰ τὰ [e] τέσσαρα στοιχεῖα ἄνω καὶ κάτω τρέπεται, καὶ μεταβάλλει· καὶ γῆ τε ὕδωρ γίνεται, καὶ ὕδωρ ἀήρ· οὗτος δὲ πάλιν εἰς

56.

[a] Sic A. Scil. fr. 6. Deest lemma Trinc.

57.

[a] Sic A. Cleric. p. 252. Deest locus Trinc.

[b] μηδὲν] οὐδὲν A.

58.

[a] Sic A. Scil. fr. 11. Deest lemma Trinc.

59.

[a] Sic A. Σωτάδου Trinc.

[b] μῦθος] Videatur Wyttenbachius ad Plutarch. p. 111. F. Pro ἂν τρέφεται f. ἐντρέφεται.

[c] τολμήσεις] τολμήεις B.

[d] μῦθος] Lego θυμὸς. GESNER. Sic B. v. Od. ρ. 284.

60.

[a] Sic A. Tr. Fr. Schweigh. 134.

[b] καὶ ἔστι] καὶ om. A. B.

[c] μεταβολῆς] τῆς μεταβολῆς A. B.

[d] μόνου] μόνον A. B.

[e] τέσσαρα] τέτταρα A.

[f] αἰθέρα μεταβάλλει· καὶ ὁ αὐτὸς τρόπος τῆς μεταβολῆς ἄνωθεν κάτω. Ἐὰν γοῦν πρὸς ταῦτα τὶς ἐπιχειρῇ [g] ῥέπειν τὸν νοῦν, καὶ πείθειν ἑαυτὸν ἑκόντα δέχεσθαι τὰ ἀναγκαῖα, πάνυ μετρίως καὶ μουσικῶς διαβιώσεται τὸν βίον.

61 [a] Θουκυδίδου Δημηγορία Περικλέους.

[b] Ὡς οἵ τινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσι.

62 [a] Αἰλιανοῦ Ἱστοριῶν.

Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ σπουδάζοντι πρὸς τοὺς ἑταίρους προσελθὼν ἔφη τεθνηκέναι οἱ τοὺς δύο παῖδας, οὕσπερ οὖν καὶ εἶχεν μόνους ὁ Ἀναξαγόρας. Ὁ δὲ μηδὲν διαταραχθεὶς, εἶπεν· Ἤιδειν θνητοὺς γεγεννηκώς.

63 [a] Αἰλιανοῦ.

Ξενοφῶντι θύοντι ἧκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι. Κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων. Ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε [b] τῷ προτέρῳ λόγῳ, ὅτι νικῶν τέθνηκεν, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον.

64 [a] Δημοκρίτου.

[b] Ἀλογιστίη μὴ ξυγχωρέειν ταῖσι κατὰ τὸν βίον ἀνάγκαις.

[f] ἕτερα] αἰθέρα B. suprasc. A. quomodo emendat Wyttenbachius Plut. p. 97. A. Mox γοῦν om. Trinc.

[g] ῥέπειν] Forte τρέπειν. GESN.

61.

[a] Θουκυδίδου Trinc. Δημ. Περικ. A. Utrumque conjunxi v. II. 64.

[b] ὡς οἵ] ὅσοι B.

62.

[a] Sic A. Scil. III. 2. Deest locus Trinc.

63.

[a] Sic A. Trinc. Scil. III. 3.

[b] τῷ προτέρῳ λόγῳ, ὅτι νικῶν τέθνηκεν, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον] τῷ προτέρῳ λόγῳ καὶ ἐκεῖνον τὸν λέγοντα ὅτι νικῶν μέντοι τέθνηκεν, πάλιν ὁ Ξενοφῶν ἐπέθηκε τῇ κεφαλῇ τὸν στέφανον A. B.

64.

[a] Sic A. *Demetrii* Gesner. Deest locus Trinc.

[b] Hæc sunt Democriti. Hujus nomen ponendum loco Demetrii. VALCKEN.

65 [a] Ἀρριανοῦ Ἐπικτητίου.

Ὁ τοῖς παροῦσι καὶ δεδομένοις ὑπὸ τῆς τύχης δυσχεραίνων, ἰδιώτης ἐν βίῳ· ὁ δὲ ταῦτα γενναίως φέρων, καὶ [b] εὐλογίστως τὰ ἀπ' αὐτῶν, ἀνὴρ ἀγαθὸς ἄξιος νομίζεσθαι.

66 [a] Τοῦ αὐτοῦ.

Πάντα ὑπακούει τῷ κόσμῳ καὶ ὑπηρετεῖ, [b] καὶ γῆ καὶ θάλασσα καὶ ἥλιος, καὶ τὰ λοιπὰ ἄστρα, καὶ τὰ γῆς φυτὰ, καὶ ζῶα. Ὑπακούει δὲ αὐτῷ καὶ τὸ ἡμέτερον σῶμα, καὶ νοσοῦν καὶ ὑγιαῖνον, ὅτ' ἂν ἐκεῖνος θέλῃ, καὶ [c] νεάζον καὶ γηρῶν, καὶ τὰς ἄλλας διερχόμενον μεταβολάς. Οὐκ οὖν εὔλογον, καὶ ὃ ἐφ' ἡμῖν ἐστι, τουτέστι τὴν κρίσιν, 572
μὴ [d] ἀντιτείνειν μόνην πρὸς αὐτόν. Καὶ γὰρ ἰσχυρός ἐστι, καὶ κρείσσων, καὶ ἄμεινον ὑπὲρ ἡμῶν βεβούλευται, μετὰ τῶν ὅλων καὶ ἡμᾶς συνδιοικῶν· πρὸς δὲ τούτοις καὶ ἡ ἀντίπραξις μετὰ τοῦ ἀλόγου, καὶ πλέον οὐδὲν ποιοῦσα πλὴν τὸ διακενῆς σπᾶσθαι, καὶ περιπίπτειν ὀδύναις καὶ λύπαις ποιεῖ.

67 [a] Δημοκρίτου.

Λύπην ἀδέσποτον ψυχῆς ναρκώσης λογισμῷ ἔκκρουε.

68 [a] Τοῦ αὐτοῦ.

Μέγα τὸ ἐν [b] συμφορῇσι φρονεῖν ἃ δεῖ.

69 [a] Τοῦ αὐτοῦ.

Μεγαλοψυχίη, τὸ φέρειν πρᾴως πλημμέλειαν.

65.

[a] Sic A. Fr. 135. Deest locus Trinc.

[b] εὐλογίστως] εὐλογίστω A.

66.

[a] Sic A. Ἀρριανοῦ Tr. Fr. 136.

[b] γῆ] καὶ γῆ A. B.

[c] νεάζων] νεάζον A. Trinc.

[d] ἀντιτείνειν] ἂν τείνειν A. B.

67.

[a] Sic A. Trinc. ubi om. lemmata 67—73.

68.

[a] Sic A.

[b] συμφοραῖσι] συμφορῇσι A.

69.

[a] Sic A.

70 [a] Τοῦ αὐτοῦ.

Πενίην ἐπιεικέως φέρειν, [b] σωφρονέοντος.

71 [a] Διογένους.

[b] Διογένης περιπεσὼν ἔν τισι συμπτώμασιν ἔλεγεν, Εὖ γε, ὦ τύχη, ὅτι μου ἀρρένως προέστηκας· ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τερετίζων ἀνεφώνει.

72 [a] Χείλωνος.

Χείλων, λυπουμένου τινὸς ἐπὶ τοῖς [b] αὐτοῦ κακοῖς, εἶπεν, Εἰ τὰ πάντων κατανοήσεις, ἧττον ἐπὶ [c] τοῖς σεαυτοῦ δυσφορήσεις.

73 [a] Πιττακός.

Πιττακὸς συνετῶν μὲν ἀνδρῶν εἶπεν ἔργον, ἵνα μὴ γένηται κωλῦσαι· ἀνδρείων δὲ, γενόμενα φέρειν ἐγκρατῶς.

74 [a] Σωκράτους.

Σωκράτης διαλεγόμενος, καί τινος προσαγγείλαντος, ὅτι ὁ υἱὸς αὐτοῦ τέθνηκε, συμπεραιώσας τὴν διάλεξιν, Ἀπίωμεν, ἔφη, Σωφρονίσκῳ τὰ νενομισμένα πληρώσοντες.

75 [a] Θεοβούλου.

Τὰς τῆς τύχης μεταβολὰς γενναίως πειρῶ φέρειν· καὶ μήτε εὐτυχῶν ὑπερήφανος ἔσο, μήτε ἀπορῶν, ταπεινός· ἀλλὰ γίνου [b] ταπεινὸς ἐφ᾽ ἑκατέρας τῆς τύχης.

76 [a] Φαβωρίνου.

[b] Ἀνὴρ δὲ ἐν μεγαλοψυχίᾳ ἀληθινῇ καὶ φιλοσοφίᾳ τε-

70.

[a] Sic A.

[b] σωφρονέοντος] σωφρονέοντα A.

71.

[a] Sic A.

[b] Διογένους. Περιπεσὼν δ᾽ ἀντισι σ. A.

72.

[a] Sic A.

[b] αὐτοῦ] σεαυτοῦ B.

[c] τοῖς σεαυτοῦ] τῶν σ. Trinc.

73.

[a] Sic A.

74.

[a] Sic A. Extr. πληρώσαντες Tr.

75.

[a] Sic A. Trinc.

[b] ταπεινὸς] Malim μέτριος. GESNER. ἱκανὸς Jacobsius.

76.

[a] Sic Trinc. Φαβουρίνου A.

[b] ἀνὴρ δὲ] δὲ om. Trinc.

θραμμένος πρὸ τῶν ξυμφορῶν τὴν [c] εὐθυμίαν ἐν τῇ γνώμῃ ἀπόθετον ἔχει. Τὸ δὲ ἐπὶ τοῖς δεινοῖς τῆς ἐξ ἑτέρου παρηγορίας χρῄζειν, τὸν καιρὸν τῆς εὐθυμίας ὑπερβαίνει.

77 [a] Διονυσίου Ἁλικαρνασέως ἐκ λόγων.

[b] Ἡ Ξανθίππη ἔφη, μυρίων μεταβολῶν τὴν πόλιν καὶ 53
αὐτοὺς κατασχουσῶν, ἐν πάσαις ὅμοιον τὸ Σωκράτους
πρόσωπον, καὶ προϊόντος ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος, θεάσασθαι. Ἥρμοστο γὰρ δηλονότι πρὸς πάντα ἐπιεικῶς· τοιγάρτοι οὐδὲν πώποτε ἐλύπησεν αὐτόν.

78 [a] Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου.

Ὅτ' ἂν κλαίοντα ἴδῃς ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ 573
ἀπολωλεκότος τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος τοῦ ἀνθρώπου, ἀλλ' εὐθὺς [b] πρόχειρον ἔστω, ὅτι τοῦτον θλίβει, οὐ τὰ συμβεβηκότα (ἄλλον γὰρ οὐ θλίβει) ἀλλὰ τὰ δόγματα. Μέχρι μέντοι λόγου μὴ ὄκνει συμπεριφέρεσθαι αὐτοῖς, κἂν οὕτω τύχῃ, ἐπιστενάξαι· λίαν δὲ προσέχων, μὴ καὶ ἔσωθεν στενάξῃς.

79 [a] Τοῦ αὐτοῦ.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτὸ, ἀλλ' ὅτι 10
ἀπέδωκα. Τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. [[b] Τὸ χωρίον ἀφῃρέθη; οὐκ οὖν καὶ τοῦτο ἀπεδόθη; Ἀλλὰ κακὸς ὁ ἀφελόμενος.] Τί δέ [c] μοι μέλει [d] διά τι με ὁ δοὺς ἀπῄτησε; [e] μέχρι δ' ἂν [f] διδῶται, [g] ἐπιμελοῦμαι ὡς τοῦ πανδοχείου.

[c] εὐθυμίαν] ἐπιθυμίαν Trinc.

77.

[a] Sic A. Vide Ælian. V. H. IX. 7. Simpl. Διονυσίου ἁλικαρνασέως Trinc.

[b] Vide Perizonium ad Fragmenta ex Stobæo p. 1054. sive vol. II. p. 371. ed. Kuehn.

78.

[a] Sic A. Trinc. Scil. c. 16.

[b] πρόχειρον] τὸ χεῖρον A. Trinc.

79.

[a] Sic Trinc. Scil. c. 11.

[b] τὸ χωρίον — ἀφελόμενος om. A. Trinc.

[c] σοι] μοι A. Trinc. μέλλει Trinc.

[d] διὰ τίνος σε] διά τί με A. B. διότι Trinc.

[e] μέχρι δ' ἂν] δ' om. A. μέχρις ἂν B.

[f] δίδοται] δίδωται A. Trinc.

[g] ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ ὡς

80 [a] Ἀρριανοῦ Ἐπικτητίου ἐκ τοῦ Περὶ Προνοίας.

Ἀλλὰ γίγνεταί τινα ἀηδῆ καὶ χαλεπὰ ἐν τῷ βίῳ. Καὶ τί οἴει, ὅτι ὁ Ἡρακλῆς ἂν ἀπέβη τοιοῦτος, εἰ μὴ λέων οὗτος ἐγένετο, καὶ ὕδρα, καὶ ἔλαφος, καὶ σῦς, καὶ ἄδικοί τινες ἄνθρωποι καὶ θηριώδεις, οὓς ἐκεῖνος ἐξήλαυνε καὶ ἐκάθαιρε; Καὶ σὺ τούτων αἰσθανόμενος, βλέψον εἰς τὰς δυνάμεις καὶ ἀφορμὰς, δι' ὧν κοσμήσεις σαυτόν. Οὔ· ἀλλὰ κάθησθε, τὰ μὲν μὴ συμβῇ τρέμοντες, περὶ δὲ τῶν συμβαινόντων ὀδυρόμενοι· εἶτα τοῖς θεοῖς ἐγκαλεῖτε. Τί γάρ ἐστιν ἄλλο ἀκόλουθον τῇ τοιαύτῃ ἀγεννείᾳ, ἢ ἀσέβεια; καίτοι [b] ὅ γε θεὸς οὐ μόνον ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ' ἃς οἴσομεν πᾶν τὸ ἀποβαῖνον, μὴ ταπεινούμενοι, μηδὲ συγκλώμενοι· ἀλλ' ὃ ἦν ἀγαθοῦ βασιλέως, καὶ ταῖς ἀληθείαις πατρὸς, ἀκώλυτον τοῦτο ἔδωκε, καὶ ὅλον αὐτὸ ἐφ' ἡμῖν ἐποίησεν.

81 [a] Ἱππάρχου Πυθαγορίου ἐκ τοῦ Περὶ Εὐθυμίας.

Ὡς πρὸς τὸν ξύμπαντα αἰῶνα ἐξετάζοντι βραχύτατον ἔχοντες οἱ ἄνθρωποι τὸν τᾶς ζωᾶς χρόνον, κάλλιστον ἐν τῷ βίῳ οἱονεί τινα παρεπιδημίαν ποιησοῦνται, ἐπ' εὐθυμίᾳ καταβιώσαντες. [b] Ταύταν δὲ ἕξοντι, μάλιστα πάντων ἀκριβῶς ἐπιστάμενοι καὶ ἐπεγνωκότες ἑαυτοὺς, ὅτι ἐντὶ θνατοὶ καὶ σάρκινοι, εὐαδίκητον καὶ φθαρτὸν κεκτημένοι σῶμα, καὶ πάντων χαλεπωτάτων αὐτοῖς ἐπικρεμαμένων μέχρις ἐσχάτας ἀναπνοᾶς. Καὶ [c] πρᾶτόν [d] γ' ἐπένθωμεν ἐπὶ τὰ συμβαίνοντα· περὶ τὸ σῶμα, πλευρίτιδες, περιπλευ-

τοῦ πανδοκίου οἱ παριόντες] ἐπιμελοῦμαι ὡς τοῦ πανδοκίου A. Trinc.

80.

[a] Sic Trinc. Deest locus A. Vide ed. Schweighæuser. I. 6.

[b] ὅγε] ὅτε Trinc.

81.

[a] Sic A. Trinc.

[b] ταῦτα] ταύταν A. B.

[c] πρῶτον] πρᾶτον A.

[d] πενθῶμεν] γενέσθαι A. B. σκοπῶμεν οἷα τὰ σ. malit Gesnerus. Verum videtur γ' ἐπένθωμεν, Dorice pro ἐπέλθωμεν, ut emendavit Jacobsius.

μονίαι, φρενίτιδες, ποδάγραι, στραγγουρίαι, δυσεντερίαι, ληθαργίαι, ἐπιληψίαι, σηπεδόνες, ἄλλα μυρία· περὶ δὲ τὰν ψυχὰν, πολλῷ μείζονα καὶ χαλεπώτερα· πάντα γὰρ τὰ κατὰ τὸν βίον ἄθεσμα, κακὰ, παράνομα, καὶ ἀσεβήματα, ἐκ τῶν κατὰ τὰν ψυχὰν παθημάτων ἐντί. Διὰ γὰρ τὰς παρὰ φύσιν ἀμέτρους ἐπιθυμίας πολλοὶ εἰς [e] ἀκατασχέτους ὁρμὰς ἐξώκειλαν· καὶ οὔτε τᾶς ἐκ τῶν θυγατέρων, οὔτε τᾶς ἐκ τῶν ματέρων ἀνοσιωτάτας ἡδονᾶς ἀπέσχοντο· ἀλλὰ καὶ ἐπὶ πατροκτονίᾳ παρεγένοντο, καὶ πολλοὶ τὰ ἴδια τέκνα κατέσφαξαν. [f] Τί λέγω τὰ ἀπὸ τῶν ἐκτὸς [g] ἐπηρτημένα κακὰ, τὰς ἐπομβρίας, καὶ αὐχμὼς, ὑπερβολὰς καυμάτων, ὑπερβολὰς ψύξιος, ὥστε πολλάκις ἐκ τᾶς
574
κατὰ τὸν ἀέρα ἀνωμαλίας λοιμόν τε καὶ λιμὸν γίγνεσθαι, καὶ ποικιλίαν [h] παντοδαπῶν συμπτωμάτων, καὶ ὅλας πόλεις ἐρημοῦσθαι; Πολλῶν οὖν τοιούτων ἐπικρεμαμένων, μήτε ταῖς κατὰ τὸ σῶμα εὐαμερίαις ποτέχοντες σεμνυνόμενοι [i] ἐπαιρώμεθα, αἵ τινες ὀλίγῳ πυρετῷ ἐπιγενομένῳ, [k] ἀνθέων τρόπῳ, συντόμως μαραίνονται· μήτε ταῖς ἐκτὸς [l] νομιζομέναις εὐτυχίαις, [m] αἳ καὶ αὐταὶ πολλάκις τάχιον ἀπόλλυσθαι ἢ γίνεσθαι [n] πεφύκαντι· πάντα γὰρ ταῦτα, ἄστατά τε καὶ ἀβέβαια [o] Εὐρίπου τρόπον, ἐν πολλαῖς καὶ ποικίλαις μεταβολαῖς [p] γινόμενα παρειλήφαμεν· καὶ οὐδὲν αὐτῶν μένον, οὐδὲ ἀκίνητον, οὐδὲ βέβαιον, οὐδὲ [q] ἀδιαίρετον.

[e] ἀκατασχέτους] κατασχέτους Tr.

[f] τί δὲ ἀπὸ] τί λέγω ἀπὸ A. B. Gesn. marg. τίλε τὰ ἀπὸ Trinc.

[g] ἐπηρτημένα] ἐπηρτημένων A. B. Mox κακὰ pro κατὰ Canterus.

[h] παντοδαπῶν] παντοδαπᾶν B.

[i] ἐπαιρώμεθα] ἐπαιρόμεθα A. Tr.

[k] σὺν θεῶν τρόπῳ] ἀνθέων τρόπῳ præclara est Hemsterhusii emendatio proposita ad Lucian. I. p. 513. Videatur Wyttenbachius ad Plutarch. p. 113. D.

[l] νομιζομέναις] κομιζομέναις Gesn. marg.

[m] καὶ αὗται] αἳ καὶ αὐταὶ Hemsterhusius et Wyttenbachius.

[n] πεφύκασι] πεφύκαντι A.

[o] εὗρε τὸν τρόπον] Εὐρίπου τρόπον Hemsterhusius, Wyttenbachius, et Jacobsius.

[p] γινόμενα] γενόμενα A. B.

[q] ἀδιαίρετον] Retinet Hemsterhusius. ἀναφαίρετον Wyttenbach.

Διὸ ταῦτα μὲν ἐνθυμηθέντες, νομίζοντες [r] εἰ τὰ παρέοντα καὶ δεδομένα [s] καὶ τὸν ἐλάχιστον χρόνον διαμεῖναι δύναιτο, ἐν εὐθυμίᾳ διάξομεν γενναίως φέροντες τὰ προσπίπτοντα. Νῦν δὲ πολλοὶ πάντα τὰ ὑπὸ φύσιος καὶ τύχας παρέοντα καὶ δεδομένα αὐτοῖς ἐπὶ τὸ βέλτιον [t] προαναπλάσαντες, καὶ οὐχ οἷά ἐστι λογισάμενοι, ἀλλ᾽ οἷα ἐπ᾽ ἄκρον ἐπιτυγχανόμενα δύναται γενέσθαι, ἄφνω στερόμενοι, πολλοῖς καὶ μεγάλοισι καὶ ἀθέσμοις καὶ ἀνοήτοις κακοῖς καταφορτίζοντι τὰν ψυχάν· καὶ οὕτω συμβαίνει αὐτοῖς πικρότατον [v] ἔχεν τὸν βίον καὶ χαλεπώτατον. Ταῦτα δὲ γίνεται, ἐπί τε ἀποβολαῖς χρημάτων, ἢ φίλων θανόντων, ἢ τέκνων, ἢ τινῶν ἄλλων τῶν νομιζομένων [w] τιμιωτάτων ἦμεν. Εἶτα κλαίοντες καὶ ὀδυρόμενοι, λέγοντι αὐτοὺς μόνους ἀτυχεστάτους καὶ κακοδαίμονας, οὐ μεμναμένοι ὅτι κατταυτὰ καὶ ἄλλοις πολλοῖς ἐγένοντο, καὶ νῦν [x] γίνονται· οὔτε δυνάμενοι κατανοῆσαι τόν τε τῶν παρεόντων βίον, καὶ τὸν τῶν [y] παρεξητακότων ἐν ὅσαις συμφοραῖς καὶ κακῶν τρικυμίαις καὶ νῦν ἐντι πολλοὶ, καὶ πρὸ τοῦ ἐγένοντο. Ἐπιλογισάμενοι οὖν ὅτι πολλοὶ [z] ἀποβαλόντες χρήματα ὕστερον διὰ τὰν τῶν χρημάτων γενομέναν ἀπώλειαν αὐτοὶ περιεσώθησαν, ἢ λῃσταῖς διὰ τοῦτο μέλλοντες [a] περιπεσεῖν ἢ τυράννῳ, πολλοὶ δὲ φιλήσαντές τινας, καὶ καθ᾽ ὑπερβολὴν [b] εὐνοήσαντες, ἐν

[r] εἰ] δὲ malit Gesnerus, τε Wyttenbachius. νομίζοντες δὲ (εὖ ἔχεν) Meibomius.

[s] καὶ τὸν] Lego μηδὲ, et post aliqua verba δύνασθαι. GESNER. δύνασθαι recipit Wyttenbach. cæterum nil mutat. Jacobsius: λογίζοντές τε ὅτι τὰ π. κ. δεδομένα ἡμῖν τὸν ἐλάχιστον χρόνον δ. δύναται.

[t] προαναπλάσαντες] προαναπλήσαντες Trinc.

[u] ἀθέσμοις] ἀθέμοις A.

[v] ἔχειν] ἔχεν A.

[w] τιμιωτάτων] τιμιωτάτω A.

[x] γίνονται] γίνεται A. Suspicor item reponendum supra ἐγένετο. Videatur Wyttenbachius ad Plutarch. pag. 115. A.

[y] παρεξεστακότων] Potius προεξεστακότων. GESNER. παρεξηκότων A. B. Gesnerianam emendationem recepit Wyttenbachius.

[z] ἀποβαλόντες] ἀποβάλλοντες A. B.

[a] περιπίπτειν] περιπεσεῖν A. B.

[b] εὐνοήσαντες] ἐννοήσαντες A.

τῷ μετέπειτα χρόνῳ μεγάλως ἐμίσησαν· ἃ δὴ πάντα ἀναλογισάμενοι ἐκ τᾶς [c] παραδεδομένας ἁμῖν ἱστορίας, καὶ μαθόντες ὅτι καὶ ὑπὸ τέκνων καὶ φίλων μάλιστα φιληθέντων πολλοὶ ἀπώλοντο· καὶ ἀντιπαραβάλλοντες τὸν αὐτῶν βίον πρὸς τὸν τῶν πρασσομένων φαυλότερον, καὶ τὰ προσπίπτοντα ἀνθρώπινα νομίζοντες, καὶ μὴ μόνοις συμβαίνοντα, εὐθυμότερον διάξομεν. Οὐδὲ γὰρ θέμις ἄνθρωπον [d] μὲν ὄντα τὰ τῶν ἀλλοτρίων συμπτώματα εὔφορα νομίζειν, ἀλλὰ καὶ [e] τὰ ἴδια κάδεα, ἰδόντας ὅτι πολλαὶ κᾶρες κατὰ πάντα τὸν βίον πεφύκαντι. Οἱ δὲ κλαίοντες καὶ κατοδυρόμενοι, πρὸς τῷ μὴ δ᾽ ἡντινοῦν ὠφέλειαν τῷ [f] ἀπολλυμένῳ ἢ τῷ ἀποιχομένῳ περαίνεσθαι, ἐς μείζονα παθήματα τὰν ψυχὰν [g] ἐλαύνοντι, μέσταν πολλῶν φαύλων φυσιωμάτων οὖσαν. Προσήκει οὖν ἐκνίπτοντας καὶ ἀνακαθαίροντας ἀπορρύπτεσθαι πάσαις μηχαναῖς τὰς [h] ἐγκατεσκιρρωμένας 575 κηλῖδας τῷ κατὰ φιλοσοφίαν λόγῳ. Ποιήσομεν δὲ τοῦτο, ἀντεχόμενοι φρονήσιος καὶ σωφροσύνας, καὶ [i] μεταποιούμενοι τοῖς παρεοῦσι, καὶ μὴ πολλῶν ὀρεγόμενοι. Οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ παρασκευαζόμενοι, ὡς οὐκ ἔστι ζῆν μετὰ τὸν τᾶς ζωᾶς χρόνον, [k] ἄξεστι γενέσθαι, χρησώμεθα παρουσίᾳ τῶν ἀγαθῶν, ἐκ δὲ τᾶς φιλοσοφίας [l] καὶ λαβρότερον ἀπληστευώμεθα· ἀπληστευόμενοι γὰρ τῶν ἐκ φιλοσο-

[c] παραδεδομένας] παραδιδομένας A.

[d] ὄντα τῶν] μὲν ὄντα τὰ τῶν A. B. τὰ τῶν dedit Jacobsius in Athen. p. 19.

[e] τὰ ἴδια κάδεα ἰδόντας] τὰ ἴδιά κα δεῖ, ἰδόντα, ὅτι—i. e. ἀλλά γε καὶ τὰ ἴδια δεῖ συμπτώματα εὔφορα νομίζειν. VALCKEN. in Theocr. pag. 204. C. τὰ ἴδια κάδε αἰδόντας Tr.

[f] ἀπολλυμένῳ] ἀπολλομένω A. Tr.

[g] ἐλαύνοντι] ἐλαύνοιντο A. B. μεστὰν pro μέσαν Meibomius.

[h] ἐγκατασκιρρωμένας] ἐγκατασκληρωμένας A. ἐγκατεσκληρωμένας B. ἐγκατεσκηρωμένας Trinc.

[i] μεταποιούμενοι] καταρκούμενοι Canter.

[k] ἄξεστι γενέσθαι] Locus videtur mutilus. GESNER. ἅξεστι A. B. ἂς ἔξεστι Jacobsius in Athen. p. 140.

[l] καὶ λαυρότερον — ἐκ φιλοσοφίας ex A. levi cum mutatione recepi quæ vulgo desunt.

φίας καλῶν καὶ σεμνῶν, καὶ τῆς ἐκ τῶν φαύλων ἀπολυθησόμεθα ἀπληστίας.

82 [a] Ἐκ τῶν Τέλητος Περὶ Περιστάσεως.

Ἡ τύχη, ὥσπερ ποιήτριά τις οὖσα, παντοδαπὰ ποιεῖ πρόσωπα· ναυαγοῦ, πτωχοῦ, φυγάδος, ἐνδόξου, ἀδόξου. Δεῖ οὖν τὸν ἀγαθὸν ἄνδρα πᾶν, ὅ τι [b] ἂν αὐτὴ περιθῇ, καλῶς ἀγωνίζεσθαι. Ναυαγὸς γέγονας, εὖ τὸν ναυαγόν· πένης ἐξ εὐπόρου, εὖ τὸν πένητα· [c] ἄρμενος ἐν μικροῖσι, καὶ ἄρμενος ἐν μεγάλοισιν· ἀρκούμενος καὶ ἐσθῆτι τῇ τυχούσῃ, καὶ διαίτῃ, καὶ διακονίᾳ, ὥσπερ ὁ Λαέρτης

γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτίθει·

καὶ ἐκοιμᾶτο χαμαὶ ἐπὶ στιβάδος· φύλλων δὲ κειμένων,

χθαμαλαὶ βεβλήατο εὐναί.

Ἀρκεῖ γὰρ ταῦτα καὶ εἰς τὸ προσηνῶς, καὶ εἰς τὸ ὑγιεινῶς, ἐὰν μή τις τρυφᾶν βούληται·

οὐ γὰρ ἐν γαστρὸς βορᾷ
τὸ χρηστὸν εἶναι,

οὐδέ γε ἐν χλανίδος κατασκευῇ, οὐδὲ ἐν στρωμνῆς μαλακότητι. Οὐκ ἀηδῶς γὰρ Εὐριπίδης,

[d] τρυφῇ δέ τοι
πολλῶν ἐδεστῶν μηχανὰς θηρεύομεν·

καὶ οὐ μόνον ἐδεσμάτων, ἀλλὰ καὶ ὀσφραντῶν καὶ ἀκουστῶν. Οὐ δεῖ δὲ τρυφᾶν [e] οὐδὲν τῶν πραγμάτων μὴ φερόντων· ἀλλ' ὥσπερ οἱ ναυτικοὶ [f] πρὸς τοὺς ἀνέμους, καὶ πρὸς τὴν περίστασιν ὁρῶντες, [g] ἐκποιεῖ, χρῆσαι· οὐκ ἐκποιεῖ, παῦ-

82.

[a] Sic A. et fere Trinc. ubi περιστάσεων.

[b] ἂν αὐτὴ] ἂν om. Trinc.

[c] ἀράμενος] ἀρασάμενος bis A. ἀρκούμενος B. Valckenærius: Lege ἄρμενος. Epic. in Pind. apud Plutarch. II. 1030.

[d] τροφῇ] τρυφῇ A. Gesn. marg. τι pro τοι A. B. Trinc.

[e] οὐδὲ] L. οὐδὲν Wakefield.

[f] πρὸς om. B.

[g] ἐκποιεῖ χρῆσαι, οὐκ ἐκποιεῖ παῦσαι] Locus in Græco obscurus. GESNER. Qui vertit: *Sed quemadmodum navigantes ventos et aëris tempestatem respicientes, utendumne navigatione, an cessan-*

σαι· καὶ ὥσπερ ἐπὶ στρατείας, ὁ μὲν ἵππον ἔχων ἱππεὺς ἀγωνίζεται, ὁ δὲ ὅπλα, ὁπλίτης, ὁ δὲ μηδὲν ἔχων, ψιλός· καὶ ὥσπερ ἐκεῖσε ὅτ᾽ ἂν [h] ἐπικέωνται οἱ πολέμιοι καὶ βάλλωσιν, εἰς τὰ ὅπλα ἀναχωρεῖς ψιλὸς ὤν· οὕτως αὖ δεῦρο ἐπίκειται ἐνίοτε πόλεμος, ἀπορία, ἀρρωστία, [i] ἀναχωρεῖ εἰς μονοσιτίαν, εἰς αὐτοδιακονίαν, εἰς τρίβωνα, ἔσχατον εἰς ᾅδου.

83 [a] Ἐκ τῶν Τέλητος Περὶ Εὐπαθείας.

Μή ποθ᾽ ὃν τρόπον [b] ἀπύρηνος ῥοὰ λέγεται, καὶ ἀτράχηλοι καὶ ἄπλευροι ἄνθρωποι, οὕτω καὶ ἄλυποι καὶ ἄφοβοι ἄνθρωποι λέγονται; Βούλει οὖν τοῖς αὐτοῖς παραδείγμασι [c] χρησάμενοι, ὃν τρόπον ἀπύρηνος ῥοὰ λέγεται, καὶ ἄπλευροι καὶ ἀτράχηλοι ἄνθρωποι, οὕτω καὶ ἀναμάρτητοι καὶ ἄφθονοι λέγονται; καὶ ὃν τρόπον ἐκεῖ ἄπλευρος οὐ κατὰ στέρησιν πλευρῶν, ἀλλὰ τοιούτων πλευρῶν λέγεται· οὕτω καὶ ὁ ἄφρων καὶ ὁ ἄνους, οὐ κατὰ στέρησιν φρενῶν καὶ νοῦ, ἀλλὰ τοιούτων φρενῶν καὶ τοιούτου νοῦ; καὶ [d] ὥσπερ πάλιν τὸν ἄπλευρον ἔχειν μὲν φαμὲν πλευρὰς, μοχθηρὰς δέ· οὕτω καὶ τὸν ἄνουν ἔχειν μὲν νοῦν, μοχθηρὸν δέ· καὶ τὸν ἄφρονα ἔχειν μὲν φρένας, μοχθηρὰς δέ; Ἢ παντάπασι τὸ πεπεῖσθαι ταῦτα γελοῖον; ἀλλ᾽ ὥσπερ ἀναμάρτητος [e] ὁ ὢν ἐκτὸς ἁμαρτίας, καὶ [f] ἄφθονος ὁ ἀβάσκανος, καὶ ἀπερίεργος καὶ

*dum, consultant.* Jacobsius in Athenæum p. 271. legendum suspicatur, ὁποίᾳ (περιστάσει) χρὴ σαλεύειν, καὶ ὁποίᾳ πλεῦσαι. Nescio tamen an vulg. retineri debeat, hoc fere sensu: ut nautæ ventos, ita nos circumstantiam respicientes, si pro nobis facit, utamur; sin contra, cessemus. Toupius, ἢ ἐκποιεῖ χ. ἢ ἐκποιεῖ π.

[h] ἐπίκεινται] ἐπικέωνται Jacobsius in Athen. p. 28.

[i] ἀναχωρεῖ] ἀναχωρεῖ. B. et paullo ante βάλλουσιν. F. ἀναχωρεῖς.

83.

[a] Sic A. et fere Trinc. ubi ἀπαθείας.

[b] ἀπύρηνος] ἀπύρῖνος A. B. Mox αὐτοῖς sine τοῖς Trinc.

[c] χρησάμενοι] χρησάμενοι λέγομεν B.

[d] ὥσπερ] ὥσπερ πάλιν A. B.

[e] ὁ ἐκτὸς] ὁ ὢν ἐκτὸς A. B.

[f] ἄφθονος] ὁ ἄφθονος καὶ ἀβ. A. ὁ ἄφθονος καὶ ὁ βάσκανος B.

ἀμεμψίμοιρος ἐκτὸς [g] ἑκατέρων τούτων· οὕτω καὶ ἄλυπος 576 καὶ ἄφοβος, ἐκτὸς λύπης καὶ φόβου; οὕτω γὰρ καὶ εὐδαίμων ἔσται, ὁ ἐκτὸς τοῦ πάθους καὶ ταραχῆς ὤν. Ὅστις δὲ ἐν ὀδύνῃ καὶ λύπῃ ὤν, καὶ φόβῳ [h] ἐστὶ, πῶς ἂν ἐκεῖνος εὐαρεστοίη τῷ βίῳ; [i] ἢ μὴ εὐαρεστῶν, πῶς ἂν εἴη εὐδαίμων; [k] ἢ εἰ λύπη ἅψεται, πῶς οὐ καὶ φόβος, καὶ ἄγνοια, καὶ ὀργὴ, καὶ ἔλεος; ὧν γὰρ ὑπαρξάντων ἄνθρωποι λυποῦνται, τούτων ἐν προσδοκίᾳ γενόμενοι, φοβοῦνται, καὶ ἀγωνιῶσι, καὶ τοὺς ἀναξίως δοκοῦντας περιπίπτειν, [l] τούτους ἐλεοῦσι· καὶ τοῖς κατὰ προαίρεσιν [m] ὑπερβάλλουσιν ὀργίζονται καὶ θυμοῦνται, καὶ ὑφορῶνται· καὶ οὓς μισοῦσι, τούτους ὁρῶντες εὖ πράττοντας, ζηλοτυποῦσι καὶ φθονοῦσι· καὶ ἀκούσαντες [n] ἔχοντάς τι κακὸν, ἐπιχαίρουσιν. Εἰ οὖν ἐν λύπῃ ἔσται, πῶς ἐκτός τινος ἔσται πάθους; ἢ μηδενὸς ἐκτὸς ὤν, πῶς ἀπαθὴς ἔσται, ὅπερ δεῖ τὸν μακάριον εἶναι; Ὥστε οὖν μήτε ἐπὶ φίλου, μήτε ἐπὶ τέκνου τελευτῇ [o] λυπηθῆναι, εἴπερ μηδὲ ἐπὶ τῇ αὑτοῦ. Ἢ οὐκ ἄνανδροί σοι δοκοῦσιν εἶναι, οἱ τὸν ἑαυτῶν θάνατον ἀγεννῶς καὶ μὴ εὐθαρσῶς προσδεχόμενοι; ἢ οὐ δεῖ τὸν [p] εὔψυχον καὶ ἀνδρεῖον [q] εὐψύχως τὴν ἑαυτοῦ τελευτὴν [r] φέρειν, ὥσπερ Σωκράτης, μὴ δυσφοροῦντα μηδὲ δυσκολαίνοντα; ἢ δυσχερέστερόν τι κρίνειν τὴν ἄλλου τελευτὴν τῆς ἑαυτοῦ; ἢ οὐχ ὁμοίως αὑτὸν ἀγαπᾷ καὶ στέργει; καὶ τὸν φίλον [s] μᾶλλον, ἢ τὰ τέκνα, ἢ ἑαυτόν; Καὶ [t] ταύτην μὲν ἐπαινοῦσιν ἐντελλομένην, Σὺ δ' ὦ τεκοῦσα μὴ τὴν σὴν λιβάσι κατάσπενδε [v] παρηΐδα· τὴν δὲ

[g] ἑκατέρων] ἑκατέρου A.
[h] ἐστι om. B.
[i] εἰ μὴ] Lego ἤ. GESNER.
[k] ἢ εἰ] εἰ ἢ B.
[l] τούτους] τούτοις A. B.
[m] ὑποβάλλουσιν] ὑπερβάλλουσιν A. B.
[n] ἔχοντας] ἔχοντα A.
[o] λυπηθῆναι] Addo χρή. GESNER.
[p] εὔψυχον] ἔμψυχον A.
[q] εὐτυχῶς] εὐψύχως conj. Gesnerus, et sic B. ex emend.
[r] φέρειν] φέρει A.
[s] μᾶλλον] μάλα Trinc.
[t] ταύτην] ταύτην μὲν A. B. σὺ δ' ὦ—ἡ δόξα om. Trinc.
[v] παρηΐδα] ἑταιρίδα B. κατάσπενδαι ἑταιρηΐ A.

κατακολουθοῦσαν ὤμην φησὶν ἡ δόξα. Ἐπεὶ καὶ ταυ-
τασὶ τὰς Λακωνικὰς γυναῖκας πᾶς τις ἐπαινεῖ ὡς [w] εὐ-
ψύχους. Ἀκούσασά τις τὸν ἑαυτῆς υἱὸν σεσωσμένον, καὶ
πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ· Κακὰ φάμα
τεῦ κακκέχυται· τὺ ὦν ἢ ταύταν [x] ἀπότριψαι, ἢ μὴ δ'
ἀμῖν φάνευ. Οὐχ ὡς ἂν Ἀττικὴ γυνὴ ἀκούσασα σε-
σωσμένον, ἔγραψεν ἄν· Εὖ τέκνον, ὅτι σαυτόν μοι ἔσω-
σας· ἀλλ' ἐκ τῶν ἐναντίων· Κακὰ φάμα τεῦ κακκέχυ-
ται· τὺ ὦν, ἢ ταύταν ἀπότριψαι, ἢ μὴ δ' ἀμῖν φάνευ·
τοῦτο δέ ἐστιν, [y] ἄπαγξαι. Καὶ ἄλλη πάλιν ἀπαγγεί-
λαντος αὐτῇ τοῦ κήρυκος, [z] ὅτι ὁ υἱὸς ἐν τῇ παρατάξει τετε-
λεύτηκε, Ποῖός τις, [a] φησι, γενόμενος; Ἀνὴρ ἀγαθὸς, ὦ μῆ-
τερ. Εὖγε, ὦ τέκνον, φησί· τούτου γὰρ ἕνεκά σε, φησὶν,
ἐγέννησα, ἵνα χρήσιμος καὶ βοηθὸς ἦσθα [b] τᾷ Σπάρτᾳ.
Οὐκ ἔκλαιε καὶ ἐδεινοπάθει, ἀλλὰ καὶ ἀκούσασα ὅτι εὐ-
ψύχως, ἐπήνεσε. Καὶ ἐκείνη δὲ πάλιν ἡ Λάκαινα, ὡς γεν-
νική· φυγόντων γὰρ αὐτῆς τῶν υἱῶν ἐκ τῆς μάχης, καὶ πα-
ραγενομένων πρὸς αὐτὴν, Ποῦ φησιν [c] ἥκετε φεύγοντες, ἢ
δεῦρο καταδυσόμενοι ὅθεν ἐξέδυτε; ἀνασυραμένη καὶ δείξασα
αὐτοῖς. [d] Ὅρα οὖν εἰ καὶ τῶν παρ' ἡμῖν τις γυναικῶν τοῦτ'
ἂν ποιήσειεν, ἀλλ' οὐκ ἀσμένη ὄψεται σεσωσμένους. Ἐκεῖ-
ναι δ' οὔ· ἀλλὰ ἀποθανόντας [e] εὐψύχως, ἥδιον. Καὶ ἐπι- 577
γράφουσι Λακεδαιμόνιοι, οὔτε

[w] εὐψύχους] ἐμψύχους A. B.

[x] ἀποτρίψαι] ἀποτρέψαι B. et sic mox A.

[y] ἄπαγξαι] ἀπάγξαι A.

[z] ὁ υἱὸς] ὅτι ὁ υἱὸς A. B.

[a] ἔφη] φησὶ A. Trinc.

[b] τῇ σπάρτῃ] τᾷ σπάρτᾳ A. B.

[c] οἱ καταφεύγοντες] ἥκετε φεύγοντες B. ἥκατε φ. Trinc. Valckenærio legendum videtur, ποῦ—ἥκετε δραπετεύσαντες κακὰ ἀνδράποδα, ἢ δεῦρο—E Plutarcho Scil. II. p. 241. B. Vide Wesseling. Diodor. Sic. I. 87.

[d] ὅρα] ὅρα οὖν A. B.

[e] εὐτυχῶς] εὐψύχως Valckenærius, ut supra. Locum mutilum ita supplet Wyttenbachius in Plutarch. II. p. 110. B. ἀλλ' ἀποθανόντας εὐψύχως ἥδιον ἤκουον ἢ σωζομένους αἰσχρῶς. Mox ἐπιγράφονται — ἐπιτελέσαι Valckenærius

τὸ ζῆν θέμενοι καλὸν, οὔτε τὸ θνήσκειν·
ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι.

Πῶς δὲ οὐκ ἀλόγιστον καὶ ἄλλως μάταιον, τὸ τελευτήσαντος τοῦ φίλου καθῆσθαι κλαίοντα καὶ λυπούμενον, καὶ ἑαυτὸν προσκαταφθείροντα; δέον, ἵνα καί [f] τις μᾶλλον φιλόσοφος δόξῃ παρὰ τοῖς ἀποπλήκτοις, [g] πρὸ τοῦ [h] τελευτῆσαι τὸν φίλον [i] ὀδυνᾶσθαι καὶ κλαίειν, ἐνθυμούμενον ὅτι αὐτῷ ὁ φίλος θνητὸς ἐγένετο καὶ ἄνθρωπος. Οὐ γὰρ ὀρθῶς φησι βουλευομένους ὁ [k] Στίλπων τὸ διὰ τοὺς ἀπογενομένους τῶν ζώντων ὀλιγωρεῖν· γεωργὸς οὐ ποιεῖ τοῦτο, οὐδὲ ἂν τῶν δένδρων [l] τι ξηρὸν γένηται, καὶ τὰ ἄλλα προσεκκόπτει· ἀλλὰ τῶν λοιπῶν ἐπιμελόμενος πειρᾶται τὴν τοῦ ἐκλελοιπότος χρείαν ἀναπληροῦν. Οὐδ' ἡμεῖς ἐπὶ τῶν ἡμετέρων μερῶν· γελοῖον γὰρ ἔσται, [m] εἰ ἐὰν τὸν ἕτερόν τις ὀφθαλμὸν ἀποβάλῃ, δεήσει καὶ τὸν ἕτερον προσεκκόψαι· [n] κἂν ὁ εἷς πους κυλλὸς, καὶ τὸν ἕτερον ἀνάπηρον ποιεῖν· κἂν ἕνα ὀδόντα, καὶ τοὺς ἄλλους προσεκλέξαι· ἀλλ' ἐπὶ μὲν τούτων εἴ τις οὕτως οἴοιτο, μαργίτης· τοῦ δὲ υἱοῦ τελευτήσαντος ἢ τῆς γυναικὸς, αὐτοῦ τε ὀλιγωρεῖν ζῶντος, καὶ τὰ ὑπάρχοντα [o] προσκαταφθείρειν. Καὶ εἰ μὲν τῶν γνωρίμων τινὸς υἱὸς, ἢ γυνὴ ἀπέθανε, παρεκάλεσεν ἂν, οἰόμενος δεῖν [p] ἀνδρωδῶς καὶ θαρσαλέως καὶ μὴ βαρέως φέρειν· αὐτὸς δὲ τοῖς αὐτοῖς περιπεσὼν συμπτώμασιν, οὕτως οἴει δεῖν δυσφορεῖν, ἀλλ' οὐ πρᾴως; καὶ εἴπερ ἕτερον παρακαλεῖν μέτριον ἐν στενοχωρίᾳ

quem miror versus non deprehendisse.

[f] τις] τι A. Trinc. Mox τοῖς om. Trinc.

[g] πρὸ] πρὸς, forte ὑπὲρ. GESNER.

[h] τελευτῆσαι] τὸν βίον addit A.

[i] οὐ δύνασθαι κλαίειν] ὀδυνᾶσθαι καὶ κλαίειν Jacobsius Athen. p. 63. Wyttenbach. Plut. p. 121. E.

[k] στίλπων] στίλπνων A. B.

[l] ξηρόν τι] τι ξηρὸν A.

[m] εἰ] ἢ A. Trinc.

[n] κἂν ὁ] καὶ εἰ ὁ B. καὶ ὁ Trinc. Mox ib. καὶ ἕνα.

[o] προσκαταφθείρειν] Videtur aliquid desiderari. GESNER. Qui in versione addit, *Non idem judicium est in re simili.*

[p] ἀνδρωδῶς] ἀνδρωδῶν Trinc.

καὶ [q] ἀπειρίᾳ μὴ δυσκολαίνειν, μηδὲ ἀβίωτον τὸν βίον νομίζειν· ἀλλὰ τῷ δοκοῦντι κακῷ τὸ δοκοῦν ἀγαθὸν [r] ἀνατιθέναι καὶ ἐξισοῦν. Ἀπογέγονεν ὁ φίλος· καὶ γὰρ γέγονε. Σὺ δὲ, ὅτι μὲν ἀπογέγονεν, ἀκληρεῖν οἴει· ὅτι δὲ ἐγένετο, οὐκ εὐκληρεῖν. Καὶ εἰ μὲν μηκέτι παρέξεται χρείας ἀπογενόμενος, ἄθλιον· ὅτι δὲ παρείχετο γενόμενος, οὐ μακάριον. Ναί· ἀλλ' οὐκέτι ἔσται. Οὐδὲ γὰρ ἦν μυριοστὸν ἔτος, οὐδ' ἐπὶ [s] τῶν Τρωϊκῶν· οὐδὲ γὰρ κατὰ τοὺς προπάππους σοῦ. Σὺ δὲ ἐπὶ μὲν τούτων [t] οὐδ' ὅλως ἄχθῃ· ὅτι δὲ εἰς ὕστερον οὐκ ἔσται, δυσχεραίνεις. Χρειῶν γὰρ ἐστέρημαι· καὶ γὰρ ὑπουργιῶν, ἃς αὐτὸς ἐλειτούργει ζῶντι, τῷ τέκνῳ, καὶ τῷ φίλῳ, καὶ κακοπαθῶν καὶ [u] κινδυνεύων. [w] Ἄδηλον γάρ φησιν ὁ Σωκράτης οὐ μόνον τῷ [x] καλὴν εἶ ἐπὶ ταύτῃ πλείω, ἀλλὰ καὶ τῷ τέκνα καὶ φίλους εἰ περὶ [y] τούτους πλείω. Ἔπειτα δὴ [z] καὶ ἀποδημοῦντος αὐτοῦ χρειῶν στερηθήσῃ· καὶ στρατευομένου ὑπὲρ τῆς πατρίδος, καὶ πρεσβεύοντος, καὶ ἱερεύοντος, καὶ ἀρρωστήσαντος, καὶ πρεσβυτέρου γενομένου. Ἀλλ' εἰ ἐπὶ πᾶσι τούτοις δυσκολαίνοις, τί τοῖς γραϊδίοις ἀπολείψεις; Ἄλογον δὲ καὶ ἅμα μὲν ἐπιβάλλουσαν ἡγεῖσθαι τὴν στρατείαν καὶ τὴν ἀποδημίαν τῷ φίλῳ, καὶ αὐτὸν συνεκπίπτειν, καὶ εἰ μὴ ἀποδημοίη, ἐγκαλεῖν ὡς ἁμαρτάνοντι· ἅμα δὲ δυσφορεῖν, [a] εἰ ἀποδημήσει ἢ στρατεύσηται. Καλῶς τὸ τοῦ [b] κυβερνήτου ἐκείνου, Ἀλλ' [c] οὖν γε, ὦ Πό-

[q] ἀπειρίᾳ] Malim ἀπορίᾳ. Gesn.
[r] ἀνατιθέναι] Valckenærius : ἀντιτιθέναι.
[s] τῶν Τρωϊκῶν] τῷ Τρωϊκῷ Trinc.
[t] οὐκ] οὐδόλως A. B.
[u] κινδυνεύων] δανῶν A.
[w] ἄδηλον] Hic verba aliquot in Græco videntur esse corrupta. Gesner. Reliqua post ἱερεύοντος om. Trinc.
[x] καλὴν εἶ, περὶ] καλήνει ἐπὶ ταύτῃ A. B. Gesn. marg. Excidisse post καλὴν videntur γυναῖκα ἀποβαλόντι et plura fortasse.
[y] τοσούτους] τούτους A. B. Gesn. marg.
[z] Leg. forte καὶ καθεύδοντος Valcken. Mox στρατευομένῳ Tr.
[a] εἰ] ἢ A.
[b] κυβερνήτου] κυβερνήτου ἐκείνου A. B.
[c] οὖν] οὗ A. Vide Koënium ad Gregor. Dial. Dor. XXI. Valcken. Eurip. Hippol. 196. Spaldingium Quintilian. I. p. 385.

σειδον, ὀρθὴν, οὕτω καὶ ἀνὴρ ἀγαθὸς εἴποι πρὸς τὴν τύχην, 578
Ἀλλ' οὖν γε ἄνδρα, καὶ οὐ βλάκα.

84 [a] Πλάτωνος.

Καὶ τοὺς ὀδυρμοὺς ἄρα ἐξαιρήσομεν, καὶ τοὺς οἴκτους τοὺς τῶν ἐλλογίμων ἀνδρῶν. Ἀνάγκη, ἔφη, εἴπερ καὶ τὰ πρότερα. Σκόπει, ἦν δ' ἐγὼ, εἰ ὀρθῶς ἐξαιρήσομεν, ἢ οὔ. Φαμὲν δὲ δὴ, ὅτι [b] ὁ ἐπιεικὴς ἀνὴρ τῷ ἐπιεικεῖ, οὗπερ καὶ ἑταῖρός ἐστι, τὸ τεθνάναι οὐ δεινὸν ἡγήσεται. Φαμὲν γάρ. Οὐκ ἄρα ὑπέρ γε ἐκείνου ὡς δεινόν τι πεπονθότος ὀδύροιτ' ἄν. Οὐ δῆτα. Ἀλλὰ μὴν καὶ τόδε λέγομεν, ὡς ὁ τοιοῦτος μάλιστα αὐτὸς αὑτῷ αὐτάρκης πρὸς τὸ εὖ ζῆν, καὶ διαφερόντως τῶν ἄλλων ἥκιστα ἑτέρου [c] προσδεῖται. Ἀληθῆ, ἔφη. Ἥκιστα ἄρ' αὐτῷ δεινὸν στερηθῆναι υἱέος, ἢ ἀδελφοῦ, ἢ χρημάτων, ἢ ἄλλου του τῶν τοιούτων. Ἥκιστα μέντοι. Ἥκιστα ἄρα καὶ ὀδύρεσθαι, φέρειν δὲ ὡς πρᾳότατα, ὅτ' ἄν τις αὐτὸν τοιαύτη ξυμφορὰ καταλάβῃ. Πολύ γε. Ὀρθῶς ἄρ' [d] ἐξαιροῖμεν τοὺς θρήνους τῶν ὀνομαστῶν ἀνδρῶν, γυναιξὶ δὲ ἀποδιδοῖμεν, καὶ οὐδὲ ταύταις σπουδαίαις· καὶ ὅσοι κακοὶ τῶν ἀνδρῶν. [e]

## ΟΤΙ ΔΕΙ ΤΑΣ ΜΕΝ ΕΥΤΥΧΙΑΣ ΠΡΟΦΑΙΝΕΙΝ, ΤΑΣ ΔΕ ΑΤΥΧΙΑΣ ΚΡΥΠΤΕΙΝ, ΚΑΙ ΟΡΘΩΣ ΚΕΧΡΗΣΘΑΙ ΤΟΙΣ ΠΑΡΟΥΣΙ. ΡΘ.

1 [a] Πινδάρου.

Ἀλλοτρίοισι μὴ [b] προφαίνειν,
τίς φέρεται μόχθος ἄμιν.
τοῦτό γέ τοι ἐρέω· [c] καλῶν μὲν ὦν

84.
[a] Sic Trinc. Scil. Rep. III. p. 387. Deest locus A.
[b] ὁ ἐπιεικὴς] Deest ὁ Trinc.
[c] προσδεῖται] προσδεῖσθαι Trinc.
[d] ἐξαιροῖμεν] οὖν ἐξαίρομεν Trinc.
[e] Sequitur heic in editionibus Stobæi titulus περὶ μικροψυχίας, i. e. de *Pusillanimitate*, sed sine versibus, et in Manuscriptis non exstat is Titulus. Grotius. Nec in edd. ante Gesnerianam secundam: Huc nempe retulit Gesner. Aristotelis verba, Μικροψυχία—ταπεινότης e T. I. p. 15.

1.
[a] Sic Tr. Scil. fr. 112. Deest A.
[b] προφαίνειν] προφέρειν B.
[c] κακῶν] Malim καλῶν. Gesner. Sic B.
Ib. καλῶν μὲν ὦν] ὦν pro οὖν. Vul-

μοῖράν τε τερπνῶν, ἐς μέσον χρὴ
παντὶ λαῷ δεικνύναι·
[d] εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτη
προστύχοι, ταύταν σκότει
κρύπτειν ἔοικεν.

2 [a] Σοφοκλέους Τυροῦς β.

Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα· 579
[b] σιγώμενος γάρ ἐστι θρηνεῖσθαι [c] πρέπων.

3 [a] Μενάνδρου Ὑποβολιμαίῳ.

Ἄπολλον, ἀλλὰ σκαιὸν οὐ μετρίως λέγεις,
μετὰ μαρτύρων ἀτυχεῖν, παρὸν λεληθέναι.

4 [a] Μενάνδρου.

Τὸ δ' εὖ φέρειν
[b] ἔστιν τοιοῦτον, ἂν δύνῃ μόνος φέρειν,
καὶ μὴ ἐπίδηλον τὴν τύχην πολλοῖς [c] ποιεῖν.

5 [a] Διφίλου.

Ὡς δεινὸν ἡνίκ' ἄν τις ὢν ἐν φροντίσιν
εἰκῇ θεατὴν τὸν τυχόντα [b] λαμβάνῃ.

6 [a] Εὐριπίδου Οἰδίποδι.

Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς [b] αὐτοῦ τύχας
εἰς πάντας, ἀμαθές· τὸ δ' ἐπικρύπτεσθαι, σοφόν.

go male ὧν et κακῶν pro καλῶν contra sensum. Grotius.

[d] εἰ δέ τις ἀνθρώποις θεόσδοτος ἀθλιότης Προστύχῃ] Bene, ni fallor, sensum expedivi ex lectione satis depravata: εἰ δέ τις ἀνθρώποις ἀθεόσδοτος ἀθληκηκότα Πρὸς τύχῃ. Grotius. ἀτλητηκότα Trinc. ἄτη προστύχοι B. Dedit item Grotius σκότει pro σκόπει.

2.

[a] Sic A. Scil. fr. 13. Simpl. Σοφοκλέ. Trinc.

[b] σιγώμενος] σιγώμενον Grotius, e Scaligeri emend.

[c] πρέπον] πρέπων B. πλέον Trinc.

3.

[a] Sic A. Cleric. p. 266. Deest locus Trinc.

4.

[a] Sic A. Cleric. p. 252. Deest locus Trinc.

[b] ἔστιν τοιοῦτον] ἔστ' B.

[c] ποιεῖν] ποῇς A. B.

5.

[a] Sic A. Trinc.

[b] λαμβάνει] λαμβάνῃ A. ex em. et sic Valckenærius.

6.

[a] Sic A. Scil. fr. 13. Simpl. Εὐριπίδου Trinc.

[b] αὐτοῦ] αὑτοῦ B.

7 [a] Εὐριπίδου Κρησσῶν.

Λύπη μὲν [b] ἄτῃ περιπεσεῖν αἰσχρᾷ τινί.
εἰ δ' οὖν γένοιτο, χρὴ περιστεῖλαι καλῶς
κρύπτοντα, καὶ μὴ πᾶσι κηρύσσειν τάδε·
γέλως γὰρ ἐχθροῖς γίγνεται τὰ τοιάδε.

8 [a] Εὐριπίδου Σκυρίοις.

Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.

9 [b] Σωκράτους.

Ταυτόν ἐστιν ἐν γυμνικῷ ἀγῶνι ἡττηθέντα ὕβρεως δίκην τῷ ἀνταγωνιστῇ λαχεῖν, καὶ ἐν τῷ ζῆν νικώμενον ὑπὸ τῆς τύχης, ἐγκαλεῖν αὐτῇ, [b] ἀγνοοῦντα ἐφ' οἷς δικαίοις εἰς τὸν ἀγῶνα τοῦ ζῆν συγκαταβεβήκαμεν.

10 [a] Πλάτωνος.

Λέγει που ὁ νόμος, ὅτι κάλλιστον [b] ὅτι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς, καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τὶ τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς· [c] ὅ τε δεῖ ἐν αὐτοῖς ὅτι τάχιστα παραγίγνεσθαι ἡμῖν, τούτῳ ἐμποδὼν γιγνόμενον τὸ λυπεῖσθαι. Τίνι, ἦ δ' ὅς, λέγεις; [d] Τῷ βουλεύεσθαι, ἦν δ' ἐγὼ, περὶ τὸ γεγονός· καὶ ὥσπερ ἐν πτώσει κύβων, πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὐτοῦ πράγματα, ὅπῃ ὁ λόγος ἐρεῖ βέλτιστ' ἂν ἔχειν. Ἀλλὰ μὴ προσπταίσαντας καθάπερ παῖδες ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν· ἀλλ' ἀεὶ ἐθίζειν τὴν ψυχὴν ὅτι τάχιστα γίγνεσθαι

7.

[a] Sic A. Scil. fr. 6. Deest lemma Trinc. Deest locus A.

[b] ἄτῃ] αὔτη A.

8.

[a] Sic A. Scil. fr. 3. Deest lemma Trinc.

9.

[a] Sic A. Trinc.

[b] ἀγνοοῦντα] om. Trinc.

10.

[a] Sic Trinc. Scil. Rep. X. p. 604. Deest locus A.

[b] ὅτι μάλιστα] ὅτι om. Trinc.

[c] ὅτε δεῖ] ὅτι δ. Trinc.

[d] τῷ βουλεύεσθαι] τὸ β. Trinc.

πρὸς τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν [e] ἰατρικῇ, θρηνῳδίαν ἀφανίζοντα. Ὀρθότατα γοῦν τις, ἔφη, πρὸς τὰς τύχας οὕτω προσφέροιτο. Οὐκ οὖν φαμὲν τὸ μὲν βέλτιστον τούτῳ τῷ [f] λογισμῷ ἐθέλει ἕπεσθαι; Δῆλον δή. Τὸ δὲ πρὸς τὰς ἀναμνήσεις τε τοῦ πάθους καὶ τοὺς ὀδυρμοὺς ἄγον, καὶ ἀπλήστως ἔχον αὐτῶν, ἆρ᾽ οὐκ ἀλόγιστόν τε φήσομεν εἶναι, καὶ ἀργὸν, καὶ δειλίας φίλον; Φήσομεν [g] μὲν οὖν. Οὐκ οὖν τὸ μὲν πολλὴν μίμησιν καὶ ποικίλην ἔχει, τὸ ἀγανακτικόν; τὸ δὲ φρόνιμόν τε καὶ ἡσύχιον ἦθος, παραπλήσιον ὂν ἀεὶ αὐτὸ ἑαυτῷ, [h] οὔτε ῥᾴδιον μιμήσασθαι, οὔτε μιμουμένους εὐπετὲς καταμαθεῖν;

## ΠΕΡΙ ΕΛΠΙΔΟΣ. ΡΙ.

1 [a] Λίνου ποιητοῦ.

Ἔλπεσθαι χρὴ πάντ᾽, ἐπεὶ οὐκ ἔστ᾽ οὐδὲν ἄελπτον·
ῥᾴδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν.

2 [a] Ἀπολλοδώρου ἐκ Παίδων.

Οὐδέποτ᾽ ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ,
ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.

3 [a] Εὐριπίδου Ἰνοῖ.

Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.

4 [a] Μενάνδρου.

Ἄνθρωπος ἀτυχῶν [b] σώζεθ᾽ ὑπὸ τῆς ἐλπίδος.

[e] ἰατρικῇ] Al. abest ἰατρικῇ. Gesner.

[f] λογισμῷ] λογιστικῷ Gesn. marg. τούτων pro τούτῳ Trinc.

[g] μὲν οὖν] μὲν om. Trinc.

[h] οὔτι] οὔτε Trinc. ubi supra αὐτὸ om.

1.

[a] Sic A. Simpl. Λίνου Trinc. Vide Jamblichi Vit. Pythag. 28. (139) citatum Pearsono Symbol. Apostol. Art. VI.

2.

[a] Sic A. Simpl. Ἀπολλοδώρου Tr.

3.

[a] Sic fere A. ubi ἰνῷ. Scil. fr. 18. Menandro tribuere videtur Trinc.

4.

[a] Sic A. Cleric. p. 286. Deest lemma Trinc.

[b] σώζεται ταῖς ἐλπίσι] Non multum refert hanc lectionem sequamur an vulgatam σώζετ᾽ ὑπὸ τῆς

5 [a] Εὐριπίδου Ἰνοῖ.

Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα,
κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.

6 [a] Ἡσιόδου.

Μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν
ἔνδον ἔμεινε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ [b] ἐπέμβαλε πῶμα πίθοιο.

7 [a] Εὐριπίδου.

Κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ ξυμφοραί·
καὶ [b] πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει·
[οἵτ' εὐτυχοῦντες διὰ τέλους οὐκ εὐτυχεῖς.]
[c] μεθίσταται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα.
οὗτος δ' ἀνὴρ ἄριστος, ὅστις ἐλπίσι
πέποιθεν ἀεί· τὸ δ' ἀπορεῖν, ἀνδρὸς κακοῦ.

8 [a] Μενάνδρου Ναύκληρος.

Ὦ Ζεῦ πολυτίμηθ', οἷόν ἐστ' ἐλπὶς κακόν.

9 [a] Μενάνδρου Κιθαριστῇ.

Οὕτω τι πρᾶγμ' ἐστ' ἐπίπονον τὸ προσδοκᾶν.

10 [a] Ἀρχιλόχου.

Χρημάτων ἄελπτον οὐδέν ἐστιν, οὐδ' ἀπώμοτον,
οὐδὲ θαυμάσιον· ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων

ἐλπίδος. Sed hanc prætuli ob codicis MS. auctoritatem. Grotius. Lectionem, quam amplectitur Grotius, habet A. a manu secunda, et B. in marg. Uterque vulgatam præbet a p. m. Corrector utrobique secutus est Gnomol. εἰς ἐλπίδα. Vide Brunck. Gnom. Monost. 180. σάζεσθ' ὑ. τ. ἕ. Trinc.

5.

[a] Sic fere A. ubi ἰνῷ. Scil. fr. 19. Simpl. Εὐριπίδου Trinc.

6.

[a] Sic Trinc. Scil. Opp. 96. Deest locus A.

[b] ἐπέμβαλε] ἐπέβαλε Trinc.

7.

[a] Sic A. Trinc. Scil. Hercul. Fur. 101.

[b] πνεύματ'] πνεῦμ' Trinc. vs. seq. om. A. Trinc.

[c] μεθίσταται] ἐξίσταται Gesn. marg.

8.

[a] Sic A. Cleric. p. 128. Simpl. Μενάνδρου Trinc.

9.

[a] Sic A. Deest lemma Trinc. Non habet, credo, Clericus.

10.

[a] Sic Trinc. Deest locus A.

ἐκ μεσημβρίας ἔθηκε νύκτ', ἀποκρύψας φάος
ἡλίου λάμποντος· λυγρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ οὐκ ἄπιστα πάντα κἀπίελπτα γίγνεται
ἀνδράσιν· μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω,
μὴ δ' [b] ἐὰν δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν
ἐνάλιον, καί σφιν θαλάσσης ἠχήεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' [c] ἡδὺ ἦν ὄρος.

11 [a] Θεόγνιδος.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖα·
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

12 [a] Τοῦ αὐτοῦ.

Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστι.

13 [a] Εὐριπίδου.

Ἐλπὶς [b] βροτοῖς κάκιστον, ἣ πολλὰς πόλεις
συνῆψ', ἄγουσα θυμὸν εἰς ὑπερβολάς.

14 [a] Σοφοκλέους.

Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.

15 [a] Θεοκρίτου.

Θαρσεῖν χρὴ, φίλε Βάττε, τάχ' αὔριον ἔσσετ' ἄμεινον.
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.

16 [a] Εὐριπίδου Ὑψιπύλης.

Ἄελπτον οὐδὲν, πάντα δ' ἐλπίζειν χρεών.

[b] ἵνα] ἐὰν Valckenærius.

[c] ἡδὺ ἦν ὄρος] ἡδὺ τῆν' ὄρος Briggsius Cur. Secund. in Theocritum Poët. Min. Gr. T. IV. p. 205. Atqui Archilochus Ionice, non Dorice scripsit.

11.

[a] Sic A. Trinc. Scil. v. 637.

12.

[a] Scil. v. 1131. Deest lemma Trinc.

13.

[a] Sic A. Trinc. Scil. Suppl. 479.

[b] βροτοῖς] γάρ ἐστι Gesn. marg. ex Euripidis libris proculdubio. Mox ἔχουσα Trinc. pro ἄγουσα.

14.

[a] Sic A. Trinc. Scil. fr. inc. 29.

15.

[a] Sic A. Trinc. Scil. IV. 41.

16.

[a] Sic A. Scil. fr. 8. Simpl. Εὐριπίδου Trinc.

17 [a] Ἐκ τῶν τοῦ Βίωνος Βουκολικῶν.

Αὐτὰρ ἐγὼν [b] βασεῦμαι ἐμὰν ὁδὸν ἐς τὸ κάταντες
τῆνο, ποτὶ ψάμαθόν τε καὶ ἠϊόνα [c] ψιθυρίσδων,
λισσόμενος Γαλάτειαν ἀπηνέα· τὰς δὲ γλυκείας
ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ [d] ἀπολείψω.

18 [a] Δημοκρίτου.

Ἐλπίδες αἱ τῶν [b] ὀρθὰ φρονεόντων, ἐφικταί· αἱ δὲ τῶν 581 ἀξυνέτων, ἀδύνατοι.

19 [a] Τοῦ αὐτοῦ.

Ἄλογοι τῶν ἀξυνέτων αἱ ἐλπίδες.

20 [a] Διογένους.

Διογένης ἐρωτηθεὶς, τί τῶν κατὰ τὸν βίον ἀκρότατον, εἶπεν, Ἐλπίς.

21 [a] Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.

Αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοὶ, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.

22 [a] Ἐπικτήτου.

Οὔτε ναῦν [b] ἐξ ἑνὸς ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ἁρμοστέον.

23 [a] Τοῦ αὐτοῦ.

Καὶ τοῖς σκέλεσι καὶ ταῖς ἐλπίσι τὰ δυνατὰ δεῖ διαβαίνειν.

17.

[a] Sic Trinc. Deest locus A.

[b] *βὰς εὖ καὶ*] Ita libri omnes.

[c] *ψιθυρίσδω*] *ψιθυρίσδων* N. Voss. Arsen. *ψιθυρίζων* B. *ψιθυρίσδωα* Tr.

[d] *ἀπολείψειν*] *ἀπολείψω* Voss. Arsen. B. Gesnerus e conj. *ἀπολείψει* N. Trinc.

18.

[a] Sic A. Trinc.

[b] *ὀρθὰ*] *ἐσθλὰ* B.

19.

[a] Sic A. Deest locus Trinc.

20.

[a] Sic A. Deest lemma Trinc.

21.

[a] *Σωκράτης* A. *Σωκράτους* Trinc. Vide Menag. Diog. Laërt. I. 69.

22.

[a] Sic A. Trinc. Fr. 89.

[b] *ἐκ μιᾶς ἀγκύρας*] *ἐξ ἑνὸς ἀγκυρίου* A. Arsen. Gesn. marg. Supra I. 86. unde in extr. l. *ὁρμιστέον*.

23.

[a] Sic A. Deest lemma Trinc. fr. 90.

24 [a] Θαλῆς.

Θαλῆς ἐρωτηθεὶς τί κοινότατον, ἀπεκρίνατο, Ἐλπίς· καὶ γὰρ οἷς ἄλλο μηδὲν, αὕτη πάρεστιν.

25 [a] Ξενοφῶντος ἐν ᾱ τῆς Κύρου Ἀναβάσεως.

Ἀλλὰ πάντα [b] μὲν ἄρα ἄνθρωπον ὄντα προσδοκᾶν δεῖ.

26 [a] Σωκράτους.

Οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἐλπὶς ἀγαθὴ χωρὶς πόνου γεννᾷ τι χρήσιμον.

## ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΕΛΠΙΔΑΣ. ΡΙΑ.

1 [a] Εὐριπίδου Αἰγέως.

Πτηνὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας·
οὐχ [b] ἡ τύχη σε. Τῆς τύχης δ' οὐχ εἷς τρόπος.

2 [a] Εὐριπίδου Ἀνδρομέδας.

Μή μοι [b] προτείνων ἐλπίδ' ἐξάγου δάκρυ.
γένοιτο τἂν πόλλ', ὧν δόκησις οὐκ ἔνι.

3 [a] Πατροκλέους.

Καὶ νῦν τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη
εἰς [b] ὧδε μικρὸν τεῦχος ἤθροισεν τύχη.
τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην

24.

[a] Sic A. Deest lemma Trinc. Vide Wyttenbach. ad Plutarch. II. p. 153. C.

25.

[a] Sic A. Scil. VII. 6, 11. Deest locus Trinc.

[b] μὲν] μὲν ἄρα A. B.

26.

[a] Sic A. Trinc.

1.

[a] Sic A. Simpl. Εὐριπίδου. Trinc. v. Incert. 73.

[b] ἡ τύχη σε] ἡ τύχη γε A. B. Vide Valcken. Diatr. p. 231.

2.

[a] Sic A. v. Incert. 74. Deest locus Trinc.

[b] προτείνων ἐλπίδ' ἐξ ᾅδου δάκρυ, Γένοιτο ταν πολλαων δόκησις οὐκ ἔνι] Quid si legas, μὴ μοι πρότεινον ἐλπίδ' ἐξ ἧς οὐ δάκρυ Γένοιτο· δεινὰ δ' ὧν δόκησις οὐκ ἔνι. Gesner. Ἐξαίρου pro ἐξ ᾅδου Grotius, et v. seq. γένοιτο δ' ἂν πόλλ' ὧν δόκησις οὐκ ἔνι. A. B. γένοιτο τῶν πολλὰ ὧν δόκησις. Pro τῶν Musgravius dedit τἂν, i. e. τοι ἂν, et in versu priore ἐξάγου pro ἐξ ᾅδου. Dixit Æschylus Prom. 802. μή μοι προτείνων κέρδος, εἶτ' ἀποστέρει.

3.

[a] Sic Trinc. Deest locus A.

[b] ὧδε μικρὸν] ὅδε μόνον Voss. Arsen.

δεινοὺς ἐπ' ἀλλήλοισι πέμποντες λόγους,
καὶ πάντα συννοοῦμεν ἐκπράξειν χερὶ,
πρόσω βλέποντες, τὴν δὲ πλησίον τύχην
οὐκ ἴσμεν οὐδ' ὁρῶμεν ἀθλίου μόρου;

4 [a] Εὐριπίδου Πρωτεσίλαος.

Πόλλ' ἐλπίδες ψεύδουσιν [b] αἱ ἄλογοι βροτούς.

5 [a] Τοῦ αὐτοῦ Οἰδίπους.

Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς
φανεῖσα μᾶλλον, ἢ τὸ προσδοκώμενον.

6 [a] Τοῦ αὐτοῦ.

[b] Πόλλα δ' ἄελπτα κραίνουσι θεοὶ,
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.

7 [a] Εὐριπίδου Ἀλκμήνης.

Θάρσει· τάχ' ἂν γένοιτο. Πολλὰ τοῖς θεοῖς
κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις πέλει.

8 [a] Εὐριπίδου Ἀλεξάνδρῳ.

Ἑκάβη, τὸ θεῖον ὡς ἄελπτον ἔρχεται
θνητοῖσιν, ἕλκει δ' [b] οὔ ποτ' ἐκ ταυτοῦ τύχας.

9 [a] Εὐριπίδου Βελλεροφόντου.

Ὁρᾷς δ' ἀέλπτων μυρίων ἀναστροφάς.
πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον,
πολλοὶ δὲ λόγχαις πολεμίων [b] ἀμείνονες,
ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην.

4.

[a] Sic A. Scil. fr. 6. Simpl. Εὐριπίδου Trinc.

[b] αἱ] καὶ A. Trinc.

5.

[a] Sic A. Scil. fr. 14. Deest lemma Trinc.

6.

[a] Sic A. Deest lemma Trinc. v. fin. Medeæ etc.

[b] πόλλ' ἄελπτα] πολλὰ δ' ἄελπτα A. ἀέλπτως ex Euripidis libris reposuit Grotius.

7.

[a] Sic A. Sc. fr. 11. Deest lemma Tr. Πολλὰ τοι θεὸς—νέμει Musgrav.

8.

[a] Sic A. Scil. fr. 18. Deest lemma Trinc.

[b] οὔ ποτ'] οὔ πω τ' A.

9.

[a] Sic A. Scil. fr. 21. Deest lemma Trinc.

[b] ἀμεινόνων] Omnino ita scri-

10 [a] Μενάνδρου.

Οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ πείσομαι.

11 [a] Τοῦ αὐτοῦ Ἐγχειριδίου.

[b] Πάντα δὲ
τὰ μὴ προσδοκῶμεν', ἔκστασιν φέρει.

12 [a] Πινδάρου.

Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι [b] ἐγρηγορότων ἐνύπνια.

13 [a] Διονυσίου. 582

Διονύσιος ἐκπεσὼν τῆς ἀρχῆς, εἴ τις αὐτὸν ἠνία ἐν Κορίνθῳ διατρίβοντα, [b] ἐπέλεγεν· Ὡς μακάριοι οἱ ἐκ παίδων δυστυχεῖς.

14 [a] Ὁμήρου Ὀδυσσείας.

[b] Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

15 [a] Θεόγνιδος.

Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίγνεται εὑρεῖν
ἔργ' ἀνδρῶν· βουλαῖς δ' οὐκ ἔπεσεν τὸ τέλος.

16 [a] Θεόγνιδος.

Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε
ποῖ σχήσειν [b] μέλλει πρήγματος ἀρχομένου.
ἀλλ' ὁ μὲν [c] εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας,

bendum, non ut vulgo ἀμείνονες, sensus suadet. Grotius.

10.

[a] Sic A. Trinc. Cleric. p. 56.

11.

[a] Sic A. Cleric. ib. Deest lemma Trinc.

[b] ἅπαντα δὲ τὰ μηδὲ π.] Hoc fragmentum heic quoque reposuimus ita ut supra a nobis emendatum est Tit. CIV. Exstabat alioqui confuse, Πάντα δὲ μὴ προσδοκώμενα ἐ. φ. Grotius.

12.

[a] Sic A. Deest lemma Trinc.

[b] ἐγρηγορότων] γρηγορότων Voss. Trinc. Vid. Menagius ad Diogen. Laert. V. 18.

13.

[a] Sic A. Deest lemma Trinc.

[b] ἔλεγεν] ἐπέλεγεν A. B. Voss. Gesn. marg.

14.

[a] Sic A. Sed margini adscripsit recentior manus οὐκ ἔστιν. Simpl. Ὁμήρου Trinc. Vide Schol. ad Odyss. χ. 9. Schott. ad Zenobium V. 71.

15.

[a] Sic A. Trinc. Scil. v. 639.

16.

[a] Sic A. Scil. v. 585. Deest lemma Trinc.

[b] μέλλει] μέλλειν A.

[c] εὐδοκιμῶν] εὖ ἔρδειν Grotius, ut supra IX. p. 103, 31.

εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν·
τῷ δὲ [d] καλὸν ποιοῦντι θεὸς [e] καλὰ πάντα τίθησι,
συντυχίην [f] ἀγαθῶν, ἔκλυσιν ἀφροσύνης·

## ΟΤΙ ΟΥ ΧΡΗ ΕΠΙΧΑΙΡΕΙΝ ΤΟΙΣ ΑΤΥΧΟΥΣΙ. ΡΙΒ.

1 [a] Μενάνδρου.

Ταῖς [b] ἀτυχίαισι μὴ ἐπίχαιρε τῶν πέλας·
πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον.

2 [a] Μενάνδρου.

Οὐκ ἐμὸν ἀνοίγειν λανθάνουσαν ἀτυχίαν
ἔστ᾽, [b] ἀλλὰ μᾶλλον κατακαλύπτειν φημὶ δεῖν.

3 [a] Εὐριπίδου Ἰνοῦς.

Μὴ σκυθρωπὸς ἴσθ᾽ ἄγαν
πρὸς τοὺς κακῶς πράσσοντας, ἄνθρωπος γεγώς.

4 [a] Εὐριπίδου Ἀνδρομέδας.

Τὰς συμφορὰς [b] γὰρ τῶν κακῶς πεπραγότων
οὐ πώποθ᾽ ὕβρισ᾽, αὐτὸς ὀρρωδῶν παθεῖν.

5 [a] Εὐριπίδου Ἀνδρομάχης.

Εἰ δ᾽ ἐγὼ πράσσω κακῶς,
μηδὲν τόδ᾽ αὔχει· καὶ σύ τοι [b] πράξειας ἄν.

[d] καλὸν] καλῶς. Ego malim κακῶς. GESNER.
[e] καλὰ] περὶ Gesn. marg.
[f] ἀγαθῶν ἔκδυσιν] ἀγαθὴν ἔκλυσιν Gesn. marg. δ᾽ ἀγαθῶν ἔκδυσιν δ᾽ Voss. ἀγαθῶν, ἔκδυσιν δ᾽ Trinc. Dedit Grotius, Τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσι Συντυχίην ἀγαθὴν ἔκλυσιν ἀφροσύνης.

1.

[a] Sic A. Trinc. Cleric. p. 252.
[b] ἀτυχίαις μὴ ἐπίχαιρε] ἀ. μήποτ᾽ ἐπίχαιρε Grotius. Minus numerose. Lege cum Bentleio, ἀτυχίαισι μὴ ᾽πίχαιρε.

2.

[a] Sic A. Cleric. ibid.
[b] ἀλλὰ] μᾶλλον ex A. addidit Grot.

3.

[a] Sic A. Scil. fr. 20. Simpl. Εὐριπίδου Trinc.

4.

[a] Sic A. Scil. fr. 21. Deest lemma Trinc.
[b] γὰρ om. Voss. Mox ὀρροδῶν pro ὀρρωδῶν Voss. Trinc.

5.

[a] Sic A. Scil. v. 463. Deest lemma Trinc.
[b] πράξειας] πράξεις Voss.

6 [a]Ἀλέξιδος Μιλησίων.

Εἰ μὴ γὰρ, ὢν ἄνθρωπος, ἀνθρώπου τύχαις
[b]ὑπηρετήσω, ποῦ φανήσομαι φρονῶν;

7 [a]Ἡσιόδου Ἔργων.

[b]Μὴ δέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.

8 [a]Σοφοκλέους Αἴαντι.

Πότερα [b]δ' ἂν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;

9 [a]Ἰσοκράτους πρὸς Δημόνικον.

Μηδενὶ συμφορὰν ὀνειδίσῃς· [b]κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον.

10 [a]Δημοκρίτου.

Οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραὶ, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσιν· ἀπορέουσι δὲ [b]οἰκηίης χαρᾶς.

11 [a]Χείλωνος.

Ἀτυχοῦντι μὴ ἐπιγέλα· κοινὴ [b]γὰρ ἡ τύχη.

12 [a]Αἰσχύλου Ἀγαμέμνονος.

Τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν
πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης

6.

[a] Sic A. Deest lemma Trinc.

[b] ὑπηρετήσω οὐ] ὑπηρετήσω εἶτ' οὐ A. Trinc. ὑπηρετήσω γ' οὐ B. ποῦ pro οὐ correxit Porsonus ad Euripid. Orest. 792. Adversar. p. 282.

7.

[a] Sic A. Scil. v. 715.

[b] μήποτε δ'] μὴ δέ ποτ' A. B.

8.

[a] Sic A. Scil. v. 265. Simpl. Σοφοκλέ. Trinc.

[b] δίειπέ] διάνειμε A. δ' ἂν εἰ νέμοι e Sophocle Grotius, et τις pro τίν'.

9.

[a] Sic A. Trinc.

[b] κοινὴ] κοινὸν B.

10.

[a] Sic A. Trinc.

[b] οἰκίης] οἰκείης B. Dedi οἰκηίης.

11.

[a] Sic A. Χίλωνος Trinc. v. Diog. Laert. I. 70.

[b] γὰρ] γάρ ἐστιν B.

12.

[a] Sic A. Scil. v. 799. Deest lemma Trinc. δῆγμα δὲ—βιαζόμενοι om. A. B.

οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται·
καὶ νυκτὶ δὲ χαίρουσι ὁμοιοπρεπεῖς,
ἀγέλαστα πρόσωπα βιαζόμενοι.

13 [a] Φιλήμονος Ἀνακαλύπτοντος.

Λυπουμένῳ δ' ὅτ' ἄν τις ἀκολουθῶν λέγῃ
ΧΑΙΡ', ἐξ ἀνάγκης οὗτος [b] οἰμώζειν λέγει.

14 [a] Δημοσθένους ἐν τῷ Ὑπὲρ Στεφάνου.

Ἐγὼ δὲ, ὅστις ἄνθρωπος ὢν [b] ἀνθρώπῳ τύχην [c] προφέρει, 583 παντελῶς ἀνόητον ἡγοῦμαι. Ἣν γὰρ ὁ τὰ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν εἰ τοιαύτη διαμένει μέχρι τῆς ἑσπέρας, [d] πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ;

15 [a] Ἡροδότου Ἱστορίας τρίτης.

Ἄμασις Πολυκράτει ὧδε λέγει· ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα, ἐμοὶ δὲ [b] αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσιν, ἐπισταμένῳ τὸ θεῖον ὡς ἔστι φθονερόν. Καί κως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδωμαι, τὸ μέν [c] τι εὐτυχέειν τῶν πρηγμάτων, τὸ δὲ προσπταίειν, καὶ οὕτω διαφέρειν τὸν αἰῶνα, ἐναλλὰξ πρήσσων, ἢ εὐτυχέειν τὰ πάντα. Οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας, ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα.

13.

[a] Sic A. Cleric. p. 292. Simpl. Φιλήμονος Trinc.

[b] οἰμώζειν] οἰμώζω Trinc.

14.

[a] Sic A. Scil. p. 311. Simpl. Δημοσθένους Trinc.

[b] ἀνθρώπῳ] ἀνθρώπου A. B.

[c] προφέρει] προσφέρει A.

[d] πῶς χρὴ] πῶς δὲ χρὴ A. B.

15.

[a] Sic A. Scil. III. 40. Simpl. Ἡσοδότου Trinc.

[b] αἱ σαὶ] ὡς αἱ A.

[c] τι] τοι A.

## * ΟΤΙ ΟΙ ΑΤΥΧΟΥΝΤΕΣ ΧΡΗΖΟΥΣΙ ΤΩΝ ΣΥΜΠΑΣΧΟΝΤΩΝ. ΡΙΓ.

1 [a] Εὐριπίδου Οἰνέως.

[b] Σχολὴ μὲν οὐχί· τῷ δὲ δυστυχοῦντί πως
τερπνὸν τὸ λέξαι, κἀποκλαύσασθαι πάλιν.

2 [a] Τοῦ αὐτοῦ Ἀνδρομέδας.

Συνάλγησον, ὡς ὁ κάμνων δακρύων μεταδοὺς
[b] ἔχει τινα κουφότητα μόχθων.

3 [a] Εὐριπίδου Ἰνοῖ.

[b] Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ
στάζειν.

4 [a] Εὐριπίδου Ἴωνι.

Σὺν τοῖς [b] φίλοισι δ' ἡδὺ μὲν πράσσειν καλῶς·
[c] εἰ δ' ἄρα συμβαίνοι τὶ δυσχερέστερον,
εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ.

5 [a] Τοῦ αὐτοῦ.

Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς,
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.
ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ,
[b] μέθῃ ταράσσει καὶ γαληνίζει φρένα,
[c] παραυτίχ' ἡσθεὶς ὕστερον στένει διπλᾶ.

* ὅτι ῥᾷον ἄλλον παραινεῖν, ἢ ἑαυτόν. Trinc. ubi hic et sequens tit. confunduntur.

1.

[a] Sic A. Scil. fr. 7. Simpl. Εὐριπίδου Trinc.

[b] Galenus, citante Valckenærio Diatr. p. 197. τοῖς δὲ δυστυχοῦσί πως Τερπνὸν τὸ κλαῦσαι καὶ ἀποδύρασθαι τύχας. Vide Porsoni Adversar. p. 153.

2.

[a] Sic A. Scil. fr. 22. Deest lemma Trinc.

[b] ἔχει] ἔχει τινα A. B.

3.

[a] Sic A. Deest lemma Trinc. v. Antiopes fr. 40.

[b] ἀμουσία τοι] ἀμουσίαται Trinc.

4.

[a] Sic A. Scil. v. 730. Deest lemma Trinc.

[b] φίλοισιν] φίλοισι δ' A. φίλοις γὰρ Gesn. marg.

[c] εἰ δ' ἄρα συμβαίνοι τι δυσχερέστερον] ὃ μὴ γένοιτο δ' εἴ τι τυγχάνοι κακόν Gesn. marg.

5.

[a] Sic A. fr. incert. 75. Deest lemma Trinc.

[b] μεθ' ἧς] Lego μόνος. GESNER. μέθῃ Valcken. Diatr. p. 178.

[c] παρ' αὐτὰ δ'] Malit παραυτίκ' Gesnerus, probante Valckenæ-

6 [a] Καλλιμάχου.

Κουφοτέρως τότε φῶτα διαθλίβουσιν ἀνίαι,
ἐκ δὲ τριηκόντων μοῖραν ἀφεῖλε μίαν·
[b] ἢ ὅτ' ἐς ἄνδρα συνέμπορον, ἢ ὅτε κωφαῖς
ἄλγεα [c] μαψαύραις ἔσχατον ἐξερέῃ.

7 [a] Ἀπολλοδώρου ἐκ Λακαίνης.

[b] Φυσικὸν τοῦθ' ἕκαστον ἐν ταῖς ἀτυχίαις
[c] ἥδιστα τοῦθ' [d] ὃς τοὺς ὁμοπαθεῖς ὀδύρεται.

8 [a] Σοφοκλέους Αἴαντι.

Ἀλλ', ὦ φίλοι· τούτων γὰρ οὕνεκ' ἐστάλην·
ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε [b] νικῶνται λόγοις.

9 [a] Μενάνδρου.

Δέρκιππε καὶ Μνήσιππε, τοῖς εἰρημένοις
[b] ἡμῶν ὑπό τινος ἢ πεπονθόσιν κακῶς
ἔστιν καταφυγὴ πᾶσιν, οἱ χρηστοὶ φίλοι.
καὶ γὰρ [c] ἀποδύρασθαί τι μὴ γελώμενον,
καὶ συναγανακτοῦνθ' ὁπότ' ἂν οἰκείως ὁρᾷ
ἕκαστος [d] αὐτῶν τὸν παρόντα, παύεται
τοῦτον μάλιστα τὸν χρόνον τοῦ δυσφορεῖν.

rio. Mox διπλῶς A.

6.

[a] Sic Trinc. Deest locus A.

[b] κήδεος ἢ ὅτ' ἐς ἄνδρα] Vocem κήδεος præposui implendo versui. Si cui melius quid succurrat, non repugnabo. Grotius. ἢ φίλον ἢ ὅτ' B. Videantur viri docti ad Callim. Fr. LXVII.

[c] μὰψ αὔραις] μαψαύραις B. ἐξερέῃ Grotius, pro vulg. ἐξερύῃ. Trinc. ἐξερρύῃ.

7.

[a] Sic A. Deest locus Trinc.

[b] φυσικὸν τοῦθ' ἕκαστον] φυσικὸν τόδ' ὅτι ἕ. Grotius. ἕκαστος Idem in mss.

[c] ἥδιστα τοῦθ' ὃς] ἥδιστα πρὸς τοὺς Grotius.

[d] ὃς τ. ὁμοπαθεῖς] ὃ τ. ὁμοιοπαθεῖς A.

8.

[a] Sic A. Scil. v. 328. Simpl. Σοφοκλέ. Trinc.

[b] νικῶνται λόγοις] Reliqui hanc lectionem, quamquam apud Sophoclem exstat νικῶνται φίλοι. Grotius. φίλον pro φιλων Trinc.

9.

[a] Sic A. Trinc. Cleric. p. 254.

[b] ἡμῶν] ἡμῖν B. m. sec.

[c] ἐποδύρασθαι] ἀποδύρασθαι A. B. Arsen. Gesn. marg.

[d] αὐτῶν] Forte ἡμῶν. Gesner. αὐτὸν Grotius.

10 [a] Φιλήμονος.

Τί ποτ᾽ ἐστὶν ἄρα διότι βούλεταί μ᾽ ἰδεῖν; 584
ἢ καθάπερ οἱ νοσοῦντες ἀλγοῦντες σφόδρα,
τὸν ἰατρὸν ἂν ἴδωσιν, [b] οὐκ ἀλγοῦσ᾽ ἔτι·
οὕτως ἐπάν τις τυγχάνῃ λυπούμενος,
ἧττον ὀδυνᾶται, φίλον ἐὰν [c] παρόντ᾽ ἴδῃ;

11 [a] Μενάνδρου.

Ἡδύ γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις.

12 [a] Σοφοκλέους Θυέστῃ.

Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή,
λήθην ὅτ᾽ ἂν ποιῶσι τῶν ὄντων κακῶν.

13 [a] Μενάνδρου.

Μέγιστόν ἐστιν ἄρα τοῖς ἐπταικόσι,
τὸ παρόντας ἐγγὺς τοὺς συναλγοῦντας βλέπειν.

14 [a] Τοῦ αὐτοῦ.

Τῷ μὲν [b] τὸ σῶμα διατεθειμένῳ κακῶς,
χρεί᾽ ἐστὶν ἰατροῦ· τῷ δὲ τὴν ψυχήν, φίλου.
λύπην γὰρ εὔνους οἶδε θεραπεύειν φίλος.

15 [a] Σωτίωνος ἐκ τοῦ Περὶ Ὀργῆς.

Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον,

νηπενθές τ᾽ ἄχολόν τε, κακῶν [b] ἐπίληθον ἁπάντων.

καλῶς δὲ καὶ ταῦτ᾽ εἴρηται,

λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλου·
ἄγαν δὲ μωραίνοντι νουθετήματα.

10.

[a] Sic A. Trinc. Cleric. p. 358.
[b] οὐκ ἀλγοῦσ᾽] Deest οὐκ Trinc.
[c] παρόντ᾽ ἴδῃ] παρόντα δεῖ A.

11.

[a] Sic A. Trinc. Cleric. p. 255.

12.

[a] Sic A. Scil. fr. 4. Simpl. Σοφοκλέ. Trinc.

13.

[a] Sic A. Trinc. Cleric. p. 255.

14.

[a] Sic A. Cleric. p. 255. Deest lemma Trinc.
[b] σῶμα] τὸ σῶμα A.B. et sic Grotius.

15.

[a] Sic A. Trinc.
[b] ἐπίληθον] ἐπίληθες B. Deest τ᾽ post νηπενθὲς Trinc.

16 [a] Σωκράτους.

Τοῖς μὲν νοσοῦσιν, ἰατρούς· τοῖς δ' ἀτυχοῦσι, φίλους δεῖ παραινεῖν.

17 [a] Φιλίππου Ὀλυνθιακῷ.

[b] Οὐ χαλεπόν ἐστι τῷ κακῶς διακειμένῳ,
εἰπεῖν τιν' [c] ἐσθίοντα, μὴ κακῶς ἔχε,
πύκτῃ τ' ἐπιτιμᾶν οὐδὲν ἔργον μαχομένῳ,
αὐτὸν [d] μάχεσθαι δ' [e] οὐκ ἔτ' ἔστι ῥᾴδιον.
ἕτερόν τι [f] τὸ λέγειν ἐστὶ τοῦ πεπονθέναι.

## * ΟΤΙ ΡΑΟΝ ΑΛΛΟΝ ΠΑΡΑΙΝΕΙΝ, Η ΕΑΥΤΟΝ. ΡΙΔ.

1 [a] Φιλήμονος ἐκ Σικελοῦ.

Τοὺς ἰατροὺς οἶδ' ἐγὼ
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας· εἶτ' [b] ἐπὰν πταίσωσί τι,
αὐτοὺς ποιοῦντας πάνθ', ὅσ' οὐκ εἴων τότε.
[c] ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἐστ' ἴσως.

2 [a] Φιλήμονος ἐξ Ἐφεδριζόντων.

Χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ [b] κελεῦσαι ῥᾴδιον.

16.

[a] Sic A.

17.

[a] Sic Trinc. *Philippides Olynthiaco* Grotius. Φιλι(ππ) ὀλυν(θ) Voss. Deest locus A.

[b] Pertinet ad Tit. seq. GROTIUS mss. Sic Voss.

[c] ἐσθιόντα] Mihi placuerat εὐσθενοῦντα. Bernard. ad Thom. Magist. p. 382. b. VALCKEN. εὐθενοῦντα Bernard.

[d] δὲ μάχεσθαι] μάχεσθαι δ' Porsonus Adv. p. 297.

[e] οὐκ ἔστι] οὐκ ἔτ' ἐστι Grotius, et sic Arsen.

[f] τοῦ λέγειν—τὸ πεπονθέναι] τὸ λέγειν—τοῦ πεπονθέναι Porsonus.

* Hic titulus præcedenti cohæret Trinc.

1.

[a] Sic A. Cleric. p. 328. Simpl. Φιλήμονος Trinc.

[b] ἐπὰν πταίωσί τι] ἐὰν πταίσωσι τι Arsen. πταίσωσι A. B.

[c] ἑτέρων] ἕτερον A. B. Voss. Arsen. ἑτέρων τότ' om. Trinc.

2.

[a] Sic A. Cleric. p. 334. Deest locus Trinc.

[b] κελεῦσαι] καὶ λεῦσαι A.

3 [a] Εὐριπίδου Ἀλκμήνης.

Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας
πάντες διαιρεῖν, ἢ τύχας τὰς οἴκοθεν.

4 [a]

[b] Μηδέποτε πεῖραν τοῖς θεοῖς εὔχου λαβεῖν,
Φαίδιμε, τοιούτου μηδενὸς, μηδ' εἰδέναι·
ὡς ἔστιν ἑτέρῳ ῥᾴδιον παραινέσαι.

5 [a]

[b] Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.

6 [a] Σοφοκλέους Οἰδίποδι.

Τοὺς δ' [b] ἂν μεγίστους καὶ σοφωτάτους φρενὶ
τοιοῦσδ' ἴδοις ἂν, οἷός ἐστι νῦν ὅδε,
καλῶς κακῶς πράσσοντι συμπαραινέσαι.
ὅτ' ἂν [c] δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν
μάστιγ' ἐρείσῃ τοῦ βίου παλίντροπον,
τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.

3.

[a] Sic A. Scil. fr. 12. Simpl. Εὐριπίδου Trinc.

4.

[a] Deest lemma.

[b] μηδέποτε] μηδὲν ποτε Arsen. Tr. Ib. μηδέποτε πεῖραν] Non videtur Phædimi nomen in Alcmena locum habere posse. Itaque suspicor ex comœdia aliqua esse hos versus. Grotius in mss.

5.

[a] Deest lemma.

[b] ῥᾷον] Sententia hæc seorsim ponenda est: neque enim cum superioribus cohæret. Grotius. Hoc recte Grotius: est enim versus Euripidis Alcest. 1081. Idem Grotius in mss. Dion. [Cass. XXXVIII. 18.] που πάνυ καλῶς εἴρηται, ὅτι ῥᾷον παραινέσαι ἑτέροις ἐστιν, ἢ αὐτὸν παθόντα καρτερῆσαι. Addit deinde Æsch. Prom. 263. Cobaris dictum apud Curtium VII. 4.

6.

[a] Sic A. *Oileo* Grotius. v. Aj. Locr. fr. 4. Simpl. Σοφοκλέ. Tr.

[b] ἂν] αὖ B.

Ib. τοὺς δ' ἂν] Non ex Œdipode sed ex Oileo Sophoclis esse hos versus Cicero nos docet Tusculanarum III. 29. qui sic Latine hunc sensum expressit: *Nec vero tanta præditus sapientia Quisquam est, qui aliorum ærumnam dictis allevans Non idem, cum fortuna mutatum impetum Convertat, clade ut subita frangatur sua, Ut illa ad alios dicta et præcepta excidant.* Grotius.

[c] δὲ] δ' ὁ B.

7 [a] Εὐριπίδου Ἀλεξάνδρῳ.

Οἶδ᾽· ἀλλὰ [b] κάμπτειν τῷ χρόνῳ λύπας χρεών.
χρή· τοῦτο δ᾽ εἰπεῖν ῥᾷον, ἢ φέρειν κακά.

8 [a] Τοῦ αὐτοῦ Αἰόλου.

Οἴμοι, τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς;
τίς ἂν κλύων τῶνδ᾽ οὐκ ἂν ἐκβάλοι δάκρυ;

9 [a] Μοσχίωνος.

Ἦν ἄρα τρανὸς αἶνος ἀνθρώπων ὅδε· 585
ὡς τὸν πέλας μὲν νουθετεῖν βραχὺς [b] πόνος,
αὐτὸν δ᾽ ἐνεγκεῖν ὕβριν ἠδικημένον,
πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος.

## * ΕΠΑΙΝΟΣ ΓΗΡΩΣ. ΡΙΕ.

1 [a] Εὐριπίδου Φοινίσσαις.

Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ,
Ἐτεόκλεες, πρόσεστιν· ἀλλ᾽ ἡ᾽μπειρία
ἔχει τὶ δεῖξαι τῶν νέων σοφώτερον.

2 [a] Εὐριπίδου Βελλεροφόντης.

Ὦ παῖ, νέων τοι δρᾶν μὲν ἔντονοι χέρες,
γνῶμαι δ᾽ ἀμείνους εἰσὶ τῶν γεραιτέρων·
ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.

3 [a] Εὐριπίδου Ἐρεχθεῖ.

Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει·

7.

[a] Sic A. Scil. fr. 19. Simpl. Εὐριπίδου Trinc.

[b] κάμπτειν] κνάμπτειν A.

8.

[a] Sic A. Scil. fr. 21. Deest lemma Trinc.

9.

[a] Sic A. Trinc.

[b] πόνος] χρόνος A.

* Περὶ γήρως, ὅτι οὐ φαῦλον A. Gesn. marg.

1.

[a] Sic A. Scil. v. 531. Simpl. Εὐριπίδου Trinc. In pr. ὦ τέκνα A.

[b] Ovid. Met. VI. *Non omnia serior ætas Quæ fugiamus habet: seris venit usus ab annis.* Grotius mss.

2.

[a] Sic A. Scil. fr. 22. Deest lemma Trinc.

3.

[a] Sic A. Scil. fr. II. 21. Deest lemma Trinc.

ἀκόλαστα [b] δ' ἤθη, λαμπρὰ συγγελᾶν μόνον,
μίσει· βραχεῖα τέρψις ἡδονῆς κακῆς.

4 [a] Μενάνδρου.

Εἰ τἄλλ' ἀφαιρεῖν ὁ πολὺς εἴωθεν χρόνος
ἡμῶν, τό γε φρονεῖν ἀσφαλέστερον ποιεῖ.

5 [a] Εὐριπίδου Μελανίππης.

Παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος.

6 [a] Εὐριπίδου Πηλεῖ.

[b] Τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν
σοφώτερον πέφυκε κἀσφαλέστερον·
ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ.

7 [a] Ἀλέξιδος ἐκ Δημητρίου.

Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν
τρόπον τιν' ἐστί· [b] τὸν γὰρ οἶνον τὸν νέον,
πολλή γ' ἀνάγκη, καὶ τὸν ἄνδρ', ἀποζέσαι
πρώτιστον, [c] ἀφυβρίσαι τ', ἀπανθήσαντα δὲ
σκληρὸν γενέσθαι, καὶ καταστῆναι πάλιν,
ἡδύν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

---

[b] δ' ἤθη] δ' om. A. Trinc.

4.

[a] Sic A. Cleric. p. 254. Deest locus Trinc.

5.

[a] Sic A. Scil. fr. 17. Deest lemma Tr. Iterat Tr. post n. 11.

6.

[a] Sic A. Scil. fr. 5. Deest lemma Trinc.

[b] Hunc locum iterat Trinc. post n. 16.

7.

[a] Sic A. Simpl. Ἀλέξιδος Trinc.

[b] τὸν γὰρ] καὶ γὰρ Grotius ex A.

[c] ἀφυβρίσαντ'] ἀφυβρίσαι τ' A. B. Voss. Gesn. marg.

Ib. πρώτιστον ἀπαφρίσαντ' ἀποινίσαντά τε] Ita emendavi, cum corrupte exstaret ἀφυβρίσαντ' ἀποινήσαντα δέ. In Athenæo lib. II. (p. 36. E.) ἀφυβρίσαι κ' ἀπανθῆσαι πάλιν. Apud eundem Athenæum post illud σκληρὸν γενέσθαι, hæc sequuntur: παρακμάσαντα δ' ὧν λέγω Τούτων ἁπάντων ἀπαρυθέντα τὴν ἄνω Ταύτην ἄνοιαν ἐπιπολάζουσαν πότε Πότιμον γενέσθαι καὶ καταστῆναι πάλιν. Quæ an ex glossemate non sint dubito. Pro quo optimus Casaubonus malebat ἀφρίσαι τε κἀνθῆσαι πάλιν, &c. GROTIUS. Legendum cum Valckenærio ad Herodot. IX. 31. ἀφυβρίσαι τ' ἀπανθήσαντα δὲ Σκληρὸν γενέσθαι.

8 [a] Σοφοκλέους Τυροῦς.

Γῆρας διδάσκει πάντα, καὶ χρόνου τριβή.

9 [a] Κράτητος ἐξ Ἀντιφάνους.

Ὠνείδισάς μοι [b] γῆρας ὡς κακὸν μέγα,
[c] ᾧ μὴ τυχόντι, [d] θάνατός ἐσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν· ἂν δ' ἔλθῃ ποτὲ,
ἀνιώμεθ'· οὕτως ἐσμὲν ἀχάριστοι φύσει.
τοῦ ζῆν γὰρ οὐδεὶς ὡς [e] ὁ γηράσκων ἐρᾷ.

10 [a] Αἰσχύλου.

Γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον.

11 [a] Καλλιμάχου ἐπῶν πρῶτον.

Γηράσκει δ' ὁ γέρων κεῖνος [b] ἐλαφρότερον,
κοῦροι τὸν φιλέουσι· νέοι δέ μιν, οἷα τοκῆα,
χειρὸς ἐπ' οἰκείην ἄχρις ἄγουσι θύρην.

12 [a] Τηρεῖν μὲν ἑτέρους οἱ γέροντες δυνάμεθα,
ἡμεῖς δ' [b] ἀπολαβεῖν ὧν ἔχουσιν οἱ νέοι.

13 [a] Ἱπποθόου.

Παυρολόγοι [b] πολιαί· ταὶ γήραος ἄνθεα θνατοῖς.

---

παρακμάσαντα — γενέσθαι omisit Stobæi, ut puto, librarius. Porsonus Advers. p. 53. quem vide iterum p. 283. Conferatur Wyttenbach. ad Plutarch. S. N. V. p. 39.

Ib. Plutarch. Sympos. III. 7. τί τὸν οἶνον ἐν ἀρχῇ μὲν εἶναι γλυκὺν, γίνεσθαι δὲ ἡδὺν ὅταν εἰς τὸ αὐστηρὸν τῇ πέψει μεταβάλῃ παλαιούμενος. Grotius in mss.

8.

[a] Sic A. Scil. fr. 14. Simpl. Σοφοκλέ. Trinc.

9.

[a] Sic A. Voss. Trinc.

[b] γῆρας] τὸ γῆρας Voss.

[c] ᾧ] Malim οὗ. Gesner.

[d] θάνατος] θάνατος δ' A.

[e] ὁ γηράσκων] ὁ om. Trinc. cf. inf. p. 592, 22.

10.

[a] Sic A. Trinc.

11.

[a] Sic A. Ἐλεγεῖα Voss. tanquam *Euripidis* Trinc.

[b] ἐλαφρότερον] ἐλαφρότεροι A. ubi v. seq. deest κοῦροι.

12.

[a] Deest lemma Trinc. v. Euripid. fr. inc. 76. Versus sunt incerti Comici.

[b] ἀπολαβεῖν] ἀπολαύειν Grotius, cum Salmasio et Scaligero.

13.

[a] Sic Trinc. Εἰρήνης Voss. Vide infra 118, 4.

[b] πολιοὶ τὰς γήρας] πολιαί· ταὶ γήραος Voss. τοῦ γήραος ed. Grotius. τοῦ γήρως conj. Gesnerus.

14 [a] Ἱπποθόωντος.

Γῆρας λεόντων κρεῖσσον ἀκμαίων νεβρῶν.

15 [a] Ἀντιφάνους ἐκ Φιλοκτήτου.

Σοφόν γέ τοι τὶ πρὸς τὸ βουλεύειν [b] ἔχει
τὸ γῆρας, ὡς δὴ πόλλ' ἰδόν τε καὶ [c] παθόν.

16 [a] Σοφοκλέους Θυέστῃ.

Καίπερ γέρων ὢν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χὠ νοῦς ὁμαρτεῖν, καὶ τὸ βουλεύειν ἃ δεῖ.

17 [a] Ἐκ τοῦ Φαβωρίνου Περὶ Γήρως.

Οὐδὲ γὰρ τοῦτο ἐάσω ἄρρητον, ὅτι καὶ Πλάτωνι καὶ Πυθαγόρᾳ δοκεῖ τὸ γῆρας οὐκ ἐπ' ἐξόδῳ τοῦ βίου εἶναι, ἀλλ' ἐπ' ἀρχῇ [b] μακαρίας ζωῆς.

18 [a] Πλουτάρχου.

Νέοις δὲ ζηλωτέον τοὺς γέροντας κατὰ Σιμωνίδην, 586

ἄθηλος ἵππῳ πῶλος ὣς ἅμα τρέχειν.

καθάπερ φησὶν ὁ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου, μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι.

19 [a] Δημοκρίτου.

Ἰσχὺς καὶ εὐμορφίη, νεότητος ἀγαθά· γῆρας δὲ, σωφροσύνης ἄνθος.

20 [a] Πλάτωνος ἐκ τοῦ Τιμαίου.

[b] Τέλος δ', ἐπειδ' ἂν τῶν περὶ τὸν μυελὸν τριγώνων οἱ συναρμοσθέντες μηκέτι ἀντέχωσι δεσμοὶ, τῷ πόνῳ διϊστά-

14.
[a] Sic A. Deest lemma Trinc. Mox ἀλκαίων A.

15.
[a] Sic A. Σοφοκλέ. Trinc.
[b] ἔχει] Voss. pr. scriptum habet πέλει, quo deleto, repositum est ἐστί. Trinc. habet ἐστί.
[c] μαθὸν] παθὸν A.

16.
[a] Sic A. Deest lemma Trinc.

17.
[a] Sic A. ubi Φαβουρίνου. Trinc. Ἐκ τῶν Φαβωρίνου.
[b] μακαρίας] τῆς μακαρίας A. B.

18.
[a] Sic Trinc. Scil. Fr. inc. 2. Deest locus A.

19.
[a] Sic A. Trinc.

20.
[a] Sic A. Scil. p. 81. D. Simpl. Πλάτωνος Trinc.
[b] Τέλος usque ad ἐξέπτατο om. A. B.

μενοι [c] μεθιᾶσι τοὺς τῆς ψυχῆς αὖ δεσμούς· ἡ δὲ [d] λυθεῖσα κατὰ φύσιν μεθ' ἡδονῆς ἐξέπτατο. Πᾶν γὰρ τὸ μὲν παρὰ φύσιν, ἀλγεινόν· [e] τὸ δ' ᾗ πέφυκε γιγνόμενον, ἡδύ. Καὶ θάνατος δὴ κατὰ ταῦτα, ὁ μὲν κατὰ νόσους καὶ ὑπὸ τραυμάτων [f] γιγνόμενος, ἀλγεινὸς καὶ βίαιος· ὁ δὲ μετὰ γήρως ἰὼν ἐπὶ τέλος κατὰ φύσιν, ἀπονώτατος τῶν θανάτων, καὶ μᾶλλον μεθ' ἡδονῆς γιγνόμενος ἢ λύπης.

21 [a] Δημοκρίτου.

Ὁ γέρων νέος ἐγένετο· ὁ δὲ νέος, ἄδηλον, εἰ ἐς γῆρας ἀφίξεται. Τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος, εἰ καὶ ἀδήλου, κρέσσον.

22 [a] Ἐκ τῶν Φαβωρίνου Περὶ Γήρως.

Ἡδονῆς γὰρ ὁ μὲν ἑκὼν εἰργόμενος, σοφός· ὁ δὲ μὴ δεόμενος, μακάριος. Τὸ δὲ γῆρας πρὸς ἀμφότερα ἐπιτήδειον· καὶ γὰρ φρονιμωτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται, καὶ τῶν ἡδέων ἀμελεστέρους.

23 [a] Ἄξιον δέ ἐστιν εἰς τὸν περὶ [b] τῆς ἡδονῆς λόγον προσελθόντα μηδὲ ἐκείνην ἀμνημόνευτον ἐᾶσαι, τὴν παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν [c] εὐδοκιμοῦσαν, ἣν ἡδονὴν ὀνομάζουσι, καὶ χαρὰν, καὶ τέρψιν· περιγίγνεται δ' ἐκ τῶν καλῶν μαθημάτων καὶ τῶν ἐνδόξων κατορθωμάτων. Ἀμφοτέρων δὲ τούτων ὑπάρχει τῷ γέροντι πρὸς ἑαυτὸν ἀναμιμνήσκεσθαι, καὶ καθάπερ κτήμασι [d] τέρπεσθαι, λογιζόμενον, ὅτι ἡ τύχη ἡ πάντων κυρία [e] τούτων, ταῦτα ἄκυρός ἐστιν ἀφελέσθαι.

[c] μεθιᾶσι] μεθιστᾶσι Trinc.
[d] λυθεῖσα] λαθοῦσα Gesn. marg.
[e] τὸ δὲ] τὸ δ' ἡ A. B. τὸ δὴ Tr.
[f] γιγνόμενος] γιγνόμενον A.

21.

[a] Sic A. Trinc.

22.

[a] Sic A. nisi quod ibi τοῦ Φαβουρίνου. Trinc. Ἐκ τῶν Φαβωρίνου.

23.

[a] Deest lemma Trinc. locus A.
[b] τῆς om. B.
[c] εὐδοκιμοῦσαν] εὐδαιμονοῦσαν N.
[d] τέρπεται] Lego τέρπεσθαι. Gesner. Sic B.
[e] τούτων] Malim τῶν ἄλλων. Gesner.

24 [a] Τοῦ αὐτοῦ.

Ὁ [b] Βοιώτιος ἐντυχὼν θησαυρῷ μετὰ ἑβδομήκοντα ἔτη, ἐπάρας τὸ σκέλος ἀπεματάϊσε, καὶ παρῆλθεν, ὡς οὐκέτι οὐδὲν ὄντα πρὸς αὐτόν. Ὥστε καὶ πολυχρηματίας [c] ἅμα παύει τὸ γῆρας καὶ πολυπραγμοσύνης.

25 [a] Αἰσχίνου ἐν τῷ κατὰ Τιμάρχου.

Σκέψασθε [b] δὴ καλῶς, ὦ Ἀθηναῖοι, ὡς οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθέτης ὅτι οἱ πρεσβύτεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. 50

26 [a] Ἰούνκου ἐκ τοῦ Περὶ Γήρως.

Μέτειμι δὲ ἐπὶ τὴν [b] ἐμαυτοῦ γνώμην, ἡγούμενος τοὺς μὲν πρεσβύτας διά τε τὸν χρόνον αὐτὸν, καὶ διὰ τὴν τῶν κατὰ τὸν βίον ἔργων ἱστορίαν, καθαρεύειν ἁμαρτημάτων· τοὺς δ' αὖ νέους ἐμποδίζεσθαι πρὸς τἀγαθὰ, διά τε ῥώμην σώματος, ᾗ πιστεύοντες αἴρονταί πως ἐπὶ πολέμους καὶ πλεονεξίαν, διά τε ἀμελετησίαν τῶν ξυμφερόντων. Καὶ δὴ
παρίσταταί μοι μάρτυς τῶν λεγομένων, Ἀθηναῖος Σόλων, 587
νομοθετήσας μήτε ἄρχειν τὸν σφόδρα νέον, μήτε ξυμβουλεύειν, εἰ καὶ ἄριστα δοκοίη γνώμης ἔχειν. Τὸ μέντοι τῶν ἐπιθυμιῶν ἐστερῆσθαι τοὺς γέροντας, μηδὲν ὑπ' αὐτῶν ἔτι παρενοχλουμένους, μέγιστον δὴ τοῦτο καὶ πρεπωδέστατον ἡγοῦμαι δεδόσθαι τοῖς ἀνθρώποις δῶρον ὑπὸ τῶν θεῶν, [c] κατά

24.

[a] Sic A. Deest lemma Trinc.

[b] βοιώτιος] βοιωτὸς A. B. Voss. Arsen. βιωτὸς Gesn. marg.

[c] ἅμα παύει] ἀναπαύει A. ὥστε —πολυπραγμοσύνης om. Arsen.

25.

[a] Sic A. Scil. p. 50. Simpl. Αἰσχίνου Trinc.

[b] δεῖ καλῶς] Al. additur θώσκη γνήσιοι nullo sensu. Gesner. δὴ καλῶς θ ὥσ κἠγνώσει A. B. Unde reponendum ex Æschine p. 50. ed. Reisk. σκέψασθε δὴ ὡς καλῶς, ὦ Ἀθ. οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθ. Vel propius ad literas σκ. δὴ καλῶς, Ἀθ. ὡς οὐκ ἠγνόει ὁ ν.

26.

[a] Sic A. Simpl. Ἰούνκου Trinc.

[b] ἐμαυτοῦ] ἑαυτοῦ Trinc.

[c] καὶ κατὰ] καὶ om. A. Trinc.

τινα τῆς αὐτῶν ἐκείνων φύσεως ὡμοιῶσθαι. Οἱ μὲν γὰρ οὐ σῖτον ἔδουσιν, [d] οὐδὲ πίνουσ' αἴθοπα οἶνον· οἱ δὲ τοῦ περιττοῦ καὶ ἐνοχλοῦντος ἀπεχόμενοι κατ' οὐδὲν τῆς χρήσεως αὐτοῦ δέονται, τῆς μὲν ἐνδείας ἐκπεφευγότες τὸ λυπηρὸν, τοῦ δὲ αὐτάρκους αὐτοῖς [e] προσάγοντος τὴν ἡδονήν. Καὶ γὰρ τὸ πεπαῦσθαι τῆς κατὰ τὰ ἀφροδίσια ὁρμῆς τε καὶ ὀρέξεως, ὦ Ζεῦ, μέγα ὄφελος φαίην ἂν, καὶ μανίας καὶ λύπης ἀπόρρευσιν· ὁπότε τῆς μὲν ψυχῆς τὸ ἀλόγιστον δὴ καὶ ἐπιθυμητικὸν εὕδοι διαφυγὸν πονηροὺς δεσπότας, τὸ δὲ λογιστικὸν ἀπολαύοι διὰ τῆς ὄψεως τῆς κατὰ τὸ κάλλος ἡδονῆς. Καὶ γὰρ θαυμάσεται τὸν τούτου κύριον ὁ γέρων, καὶ προσιόντα καθάπερ υἱὸν ἀσπάσεται, καὶ παιδεύσει κατὰ τὸν [f] τοῦ Σωκράτους νόμον, ὥσπερ [g] Ἀλκιβιάδην ἐκεῖνος· τῶν δὲ περιττῶν καὶ ἀκολάστων οὐδὲ μεμνήσεται. Καὶ ὅλως, ὦ φίλε, σκόπησον ἐπὶ πάντων πραγμάτων αὐτὸ δὴ τοῦτο, ὡς ἄρα [h] τὸ μὲν [i] ἐθέλειν μετὰ σπουδῆς οὑτινοσοῦν τυγχάνειν, [k] διαμαρτίας ἑπομένης, λύπην ἐπάγει· τὸ δὲ ἀπόνως καὶ ἀνενδεῶς διακεῖσθαι, μίμησίν τινα ἐμποιεῖ τῆς θείας σωφροσύνης. Τουτὶ δὲ ἔτι σοι σαφέστερον ἐξηγήσομαι, πρὸς τὰ ἐγκλήματα τοῦ γήρως, ἃ πεποίησαι μικρῷ πρόσθεν, ἀποκρινόμενος. [l] Εἰ γὰρ ἧττον ἐσθίων ἢ πίνων ὁ πρεσβύτης, ἀφροδισίων τε ἀπεχόμενος, [m] ὥσπερ τε ἱεροφάντης, ἀλύπως διάκειται καὶ ἀνενδεῶς, τὸ πρὸς σωτηρίαν χρήσιμον προσαγόμενος, ἀπολείπων σοι τῷ νέῳ δι' ἀμαθίαν καὶ ἄγνοιαν τὰ [n] νομιζόμενα εἶναι περισπούδαστα, μακάριζε τὸν τῶν μὲν ἀνθρωπείων κακῶν ἀπηλλαγμένον, ἄγον-

[d] οὐ πίνουσιν] οὐδὲ πίνουσιν Trinc. Vide Homer. Il. E. 341.

[e] προσάγοντος] προσάγοντες B. τὴν om. Trinc.

[f] Σωκράτους] τοῦ Σ. A.

[g] Ἀλκιβιάδην] ὁ Ἀλκιβιάδης Tr.

[h] τὸ] τοῦ A. τῷ B.

[i] ἐθέλειν] ἐθέλει A. B.

[k] δι' ἁμαρτίας] Scr. διαμαρτίας, *si spes frustratur.* V. Stephani Thes. Gr. L. T. I. p. 388. C. Jacobsius in Athen. p. 187.

[l] καὶ γὰρ] εἰ γὰρ A. B.

[m] ὥσπερ τε] ὡσπερεὶ Jacobs.

[n] νομιζόμενα] νομιζόμενα εἶναι A. B.

τα δὲ σχολὴν ἐπὶ τοῖς κατὰ ἀλήθειαν καλοῖς καὶ ἀγαθοῖς. Ὁπότε δὲ πτωχὸν δὴ λέγοις καὶ ἀνάπηρον [o] καὶ παρειμένον τὸν γέροντα, μέμνησο ὡς ταῦτα δὴ τὰ παθήματα οὐ μόνον γήρως ἔργα, [p] μυριάκις δὲ ἔκ τινος τύχης ἐπιπαραγίγνεται καὶ τοῖς νέοις. Ταῦτα δὲ τὸν μὲν [q] ἐν ἀκμῇ τῆς ἡλικίας διάγοντα [r] βαρέως οἶμαι φέρειν, τὸν δὲ πρεσβύτην ἐν δυσμαῖς ὄντα τοῦ βίου καὶ δυστυχοῦντα ἧττόν τις ἡγήσεται βλάπτεσθαι εὖ φρονῶν. Ἀλλὰ μὴν ταυτὶ τὰ δοκοῦντά σοι δεινά πως εἶναι καὶ ἄφυκτα κουφίζουσι μὲν καὶ φίλων καὶ οἰκείων ἐπικουρίαι, μάλιστα δὲ ὁ κατὰ φιλοσοφίαν λόγος, ὃν δεῖ πιστεύειν τοῖς μετιοῦσιν αὐτὸν χειραγωγόν τε εἶναι, καὶ φύλακα, καὶ πλοῦτον, καὶ φῶς, [s] καταγελάσαι δὲ μικρῷ πρόσθεν τοῦ εἰρημένου περὶ τῆς τῶν γερόντων δυσμορφίας· οὐ γὰρ ἐπὶ κάλλει κριθησόμενον τὸ γῆρας πρὸς τὴν νεότητα παρήγετο, οὐδ᾽ ὥσπερ ὑπό τινων ἐμπόρων, ἢ ἐραστῶν, μορφαί τινες [t] ἐδοκιμάζοντο τῶνδε· ὅμως ἵνα μὴ δοκοίην τὰ πρόδηλα ταῦτα ὑπολείπειν, ὑπομνήσω 588 σε, ὅτι τὸ μὲν νέον ὥρα τὶς καὶ ἀκμὴ κατακοσμεῖν ἔοικεν, τό τε τοῦ σώματος ἄνθος λήγει ἅμα τῷ χρόνῳ· τὸ δὲ ἀληθὲς κάλλος, ὅπερ ἐκ θείας κοινωνίας ἔσχε τὴν ἀπορροὴν, καὶ ἦλθεν ἐπί τινας· τοῦτο δὲ οὔτε πόνος ἢ λιμὸς, ἢ ἀμέλειά τις, ἀλλὰ μὴν οὐδ᾽ ὁ πολὺς χρόνος δύναται ἀμαυρῶσαι, συγγενόμενον δὲ [v] ὁτῳοῦν καὶ συντραφὲν, οὐκ ὤφθη ποτὲ θᾶττον ἀπαλλαγὲν τῆς ἐκείνου ψυχῆς. Ὥσπερ δὲ ἔν τινι ἀγαθῇ γῇ [w] φυτὸν ἀεὶ [x] θάλλον ἀνίησι τοὺς καρποὺς

[o] καὶ—παθήματα om. A. Supra λέγοι Trinc.

[p] μυριάκις] μυρί (α) A.

[q] ἐν ἀκμῇ] ἐν om. A.

[r] βαρέως] δικαίως A.

[s] καταγελάσας] κατεγέλασα Jacobs. l. cit. qui nullam lacunam post δυσμορφίας agnoscit. Ibi Gesnerus in versione supplevit, *Nunc tibi respondebo.* Dedi καταγελάσαι, posita minore distinctione post φῶς.

[t] ἐδοκιμάζοντο] ἐδοκίμαζον Trinc.

[v] ὁτωοῦν] τῳ οὖν A.

[w] φυτὸν] ἀεὶ φυτὸν A.

[x] θαῤῥουν] θάλλον Valckenærius, et Wyttenbach. Plut. S. N. V. p. 49. φυτὸν ἀεὶ θάλλοντας πτόρθους ἀ. Jacobsius in Athen. p. 224.

καὶ φυλάττει πολυχρονίους, οὕτω δὲ καὶ παιδὸς ἁψάμενον [y] αὔξεται, καὶ μειρακίῳ σύνεστι, καὶ μᾶλλον ἐκτρεφόμενον δὴ καὶ κοσμούμενον ὑπὸ τῆς ὥρας, νεανίσκῳ τε συμπαρομαρτεῖ, καὶ γηράσαντος οὐκ ἀπολείπεται. Αὐτίκα ἔστιν ἰδεῖν τοὺς πλείστους γέροντας οὐ μόνον σεμνότητι κατὰ τὸ σχῆμα καὶ βαδίσματι πράῳ κοσμουμένους, [z] οὐδὲ [a] φωνῇ, καθάπερ που Ὅμηρος εἶπεν ἐπὶ τῶν γερόντων, ἡδείᾳ, καὶ τῇ τῶν τεττίγων λειριοέσσῃ χρωμένους· ἀλλὰ δὴ καὶ τὸ εὐπρεπὲς παραμένει αὐτοῖς. Ὥστε καὶ κατὰ ἀγορὰν καί που ἐν θεάτροις ὀφθέντες, οἷα δὴ ἐν ἀγέλῃ βοῶν καὶ ἵππων οἱ δοκοῦντες ἄρχειν τῆς ἀγέλης, τὸ εὐπρεπὲς παρέχουσι δῆλον τοῖς ἁπάντων ὀφθαλμοῖς· μάλιστα δὲ ἐν τοῖς ἱεροῖς θύοντες ἐστεφανωμένοι, περιβλεπτότεροι τῶν ἱερῶν γίγνονται· ὅ τε νόμος αὐτοὺς ἐκείνους χειροτονεῖ τῇ Ἀθηνᾷ, ὥς φησι Ξενοφῶν ὁ φιλόσοφος, θαλλοφόρους. Μέτειμι δὲ ἐκ τοῦ παρόντος λόγου, καίτοι πλέον ἴσως τοῦ προσήκοντος ἐνδιατρίψας αὐτῷ, ἐπὶ τὸν εἰρημένον ὑπὸ σοῦ τελευταῖόν τε καὶ ὥσπερ [b] ἀνανταγώνιστον· ἐδόκει γάρ πως οὗτος ἐνίους τῶν παρόντων ταράττειν ἅμα [c] τε καὶ λυπεῖν· ἐπειδὴ καὶ προστησάμενος τοῦ παντὸς ἀγῶνος καὶ τῆς χλεύης τὸν περὶ τοῦ θανάτου φόβον, ἤλπισας ἐκπλήξειν οὐδὲν ἧττον κἀμὲ τὸν ἀντιλέγοντά σοι. Ἀλλὰ μὴν τὸ κοινὸν τοῦ θανάτου τέλος, καὶ ὅτι οὐδεὶς ἐπ' [d] αὐτῷ νόμος ἢ χρόνος ὑπὸ τῶν θεῶν γέγραπται, ἴσον οἶμαι ποιεῖ τὸ πρᾶγμα τοῖς [e] νέοις τε καὶ τοῖς γέρουσιν· ἀλλ' ὁ μὲν γέρων προλαβὼν τἀγαθὰ, καὶ πλείονι χρόνῳ διατρίψας ἐν αὐτοῖς, μένει μὲν καὶ τῷ παρόντι βίῳ προσιούσης τῆς τελευτῆς μεμνημένος

[y] αὔξεται—κοσμούμενον om. Tr.

[z] οὐ δὲ] σὺ δὲ A. τῇ δὲ B.

[a] φωνῇ] Addo μόνον. GESNER. ἀλλὰ φωνῇ—ἡδείᾳ καὶ κατὰ τὴν τῶν τεττίγων—Respicitur Il. Γ. 152. JACOBS. in Athen. p. 319. Nil muto. Locus Xenophontis mox citatus est Symp. IV. 17.

[b] ἀνανταγώνιστον] ἀνταγώνιστον A.

[c] τε om. A.

[d] αὐτῷ] αὐτῶν A.

[e] νέοις τε] τε νέοις A. B. τε om. Tr.

ὧν τε εἶδεν, ὧν τε μετέσχε καθ' ἡδονήν· [f]ὁ δὲ ἐπὶ τοῖς [g]θαρρεῖ δὲ ὡς ἐπ' αὐτὰ ἀφιγμένος· [h]ὁ δὲ ἐν ἀκμῇ τῆς ἡλικίας [i]τελευτήσας, ἀνάγκη γὰρ τελευτᾶν καὶ [k]νέους, ἄπειρός τε τῶν ἡδέων καὶ ἀπλήρωτος ἐν τοῖς ὁμοίοις ἔσται. Δοκεῖ δέ μοι ἑκάτερος αὐτῶν ἐοικέναι τοῖς ἀγωνιζομένοις δρόμον, ἢ τοῖς πλέουσι· καὶ ὁ μὲν διελθὼν τὸ μέγα πέλαγος, ὅπερ εἶναι λέγω τὸν βίον, κατάρας ἐπί τινα λιμένα τοῦ κυβερνήτου κελεύσαντος ἀπέβη τῆς νεὼς, ἤ που [l]διαγωνισάμενος ἐν τῷ σταδίῳ, καὶ [m]τοῦ στεφάνου τυχὼν, ἀποτάττεται τοῖς ἀγῶσιν· ὁ δ' ἕτερος ἐν μέσῳ τῷ πόρῳ τῆς θαλάττης διεφθάρη, μὴ [n]διελθὼν τὸν προκείμενον [o]αὐτῷ πλοῦν, ὑπὲρ οὗ πολλάκις εὔξατο, ἢ που τρέχων ἐν τῷ στα- 589
δίῳ, καταπεσὼν, ἀστεφάνωτος ἐξεκομίσθη.

27 [a]Ἀρχύτα Πυθαγορίου ἐκ τοῦ Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος.

Παραπλησίως δὲ καὶ γῆρας ἔχει ποτὶ νεότατα, καὶ ποιεῖ ἃ μὲν νεότας [b]ἐγχειρητικῶς, τὸ δὲ γῆρας [c]προνοατικῶς· καὶ μηδέποκα ἀφύλακτον αὐτὸ ἀφίεμεν διανοίας, ἀλλὰ καὶ τί πράσσει, καὶ τί πέπραγεν ἐπισκοπεῖ· ἵνα τὰ μὲν μέλλοντα [d]τοῖς παρεόντεσι σταθμευόμενος, τὰ δ' ἐνεστακότα τοῖς παρῳχημένοις, αὐτὸς [e]αὔταυτον [f]διορθοῦν δύνηται· ποτὶ μὲν τὸν [g]παροιχόμενον τὰν μνάμαν ἐφαρμόζων·

[f] ὁ δὲ ἐπὶ τοῖς] Locus non est integer. Gesner. ὁ δὲ ἐλπίσι Jacobsius Cur. Secund. p. 110. qui reliqua aliis expedienda commendat. Ego delerem ὁ δὲ ἐπὶ τοῖς.

[g] θάρρει δὲ] δὲ om. Trinc.

[h] οὐδ'] ὁ δὲ A. B.

[i] τελευτήσας] τελευτήσαντας Tr.

[k] νέοις] νέους A. καὶ νέους τελευτᾶν B.

[l] διαγωνισάμενος] ὁ δ. B.

[m] τοῦ στεφάνου] τοὺς στεφάνους A.

[n] ἐλθὼν] διελθὼν A. B.

[o] αὐτῷ] αὐτοῦ A.

27.

[a] Sic A. Trinc.

[b] ἐγχειρητικῶς] ἐγχειριτικῶς Tr.

[c] προνοατικῶς] ποτὶ νοατικῶς A. ποτινοατικῶς Trinc.

[d] τοῖς παρεόντεσι] τοῖς παρῳχημένοις παρεόντεσι A. B.

[e] αὔτ' αὐτὸν] αὖ ταυτὸν A.

[f] διορθοῦν] διηρθροῦν A.

[g] παροιχόμενον] παρεχόμενον A. παρερχόμενον B.

ποτὶ δὲ τὸν παρεόντα, τὰν [h] αἴσθασιν· ποτὶ δὲ τὸν μέλλοντα, τὰν πρόνοιαν. Ἔστι γὰρ ἀεὶ μνάμα μὲν [i] ἁμῖν τῶ παρεληλυθότος χρόνω, πρόνοια δὲ τῶ μέλλοντος, αἴσθασις δὲ τῶ παρεόντος. Διὸ δὴ δεῖ τὸν ὀρθῶς καὶ καλῶς [k] βιοτεύεν μέλλοντα μὴ μόνον αἰσθατικὸν καὶ [l] μναμονικὸν, ἀλλὰ καὶ προνοατικὸν ἦμεν.

28 [a] Ἐκ τοῦ Θεμιστίου Περὶ Ψυχῆς.

Καίτοι περί γε τῶν γερόντων ὁ Σοφοκλῆς εἴρηκε χαριέντως,

σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.

καταγωγῇ γὰρ ἔοικεν ὁ γεροντικὸς θάνατος, ἐκβολὴ δὲ καὶ ναυάγιον ἐστιν ὁ τῶν νέων· ἐκπίπτει γὰρ ἡ ψυχὴ βίᾳ συντριβομένου τοῦ σώματος.

29 [a] Παρμενίδου.

Γῆρας γίγνεσθαι παρὰ τὴν τοῦ θερμοῦ ὑπόλειψιν.

30 [a] Πλάτωνος ἐκ τοῦ πρώτου τῆς Πολιτείας.

Ὡς εὖ ἴσθι, ὅτι ἔμοιγε ὅσον αἱ ἄλλαι αἱ κατὰ τὸ σῶμα ἡδοναὶ [b] ἀπομαραίνονται, τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. Μὴ οὖν ἄλλως ποίει, ἀλλὰ τοῖσδέ τε τοῖς νεανίσκοις [c] ξύνισθι, καὶ δεῦρο παρ' ἡμᾶς φοίτα, ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους. Καὶ μὴν, ἦν δ' ἐγὼ, ὦ Κέφαλε, χαίρω γε διαλεγόμενος τοῖς σφόδρα πρεσβύταις· δοκεῖ γάρ μοι [d] χρῆναι παρ' αὐτῶν πυνθάνεσθαι ὥσπέρ τινα ὁδὸν προεληλυθότων, ἣν καὶ ἡμᾶς

[h] αἴσθησιν] αἴσθασιν A.
[i] ἡμῖν] ἁμῖν A.
[k] βιοτεύειν] βιοτεύεν A.
[l] μναμονικὸν] μναμονητικὸν A. μναμονατικὸν B.

28.

[a] Sic A. Simpl. Θεμιστίου Tr. v. Plutarch. Wyttenbach. T. V. Fr. inc. 6.

29.

[a] Sic Trinc. Deest locus A.

30.

[a] Sic A. Scil. p. 328. Simpl. Πλάτωνος Trinc.
[b] ἀπομαραίνονται] ἀπομαραίνουσαι A.
[c] ξύνισθι om. A. cum lacuna.
[d] χρῆναι om. Trinc.

ἴσως [e] δεήσει πορεύεσθαι, ὁποία τίς ἐστι, τραχεῖα καὶ χαλεπὴ, ἢ ῥᾳδία καὶ εὔπορος. Καὶ δὴ καὶ σοῦ ἡδέως ἂν πυθοίμην, ὅ τι σοι φαίνεται τοῦτο, ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας, ὃ δὴ ἐπὶ γήραος οὐδῷ φασιν εἶναι οἱ ποιηταί· πότερον χαλεπὸν τοῦ βίου, ἢ πῶς σὺ αὐτὸ ἐξαγγέλλεις. Ἐγώ σοι, ἔφη, νὴ τὸν Δία ἐρῶ, ὦ Σώκρατες, [f] οἷόν γέ μοι φαίνεται· πολλάκις γὰρ [g] συνερχόμεθά τινες εἰς ταυτὸ, παραπλησίαν ἡλικίαν ἔχοντες, διασώζοντες τὴν παλαιὰν παροιμίαν. Οἱ οὖν πλεῖστοι ἡμῶν ὀλοφύρονται ξυνιόντες, τὰς ἐν τῇ νεότητι ἡδονὰς ποθοῦντες, καὶ ἀναμιμνησκόμενοι περί τε τὰ ἀφροδίσια, καὶ περὶ πότους τε καὶ εὐωχίας, καὶ ἄλλα ἄττα, ἃ τῶν τοιούτων ἔχεται, καὶ ἀγανακτοῦσιν ὡς μεγάλων τινῶν ἀπεστερημένοι, καὶ τότε μὲν εὖ ζῶντες, [h] νῦν δὲ οὐδὲ ζῶντες· ἔνιοι δὲ καὶ τὰς τῶν οἰκείων προπηλακίσεις τοῦ γήρως ὀδύρονται, καὶ ἐπὶ τοῦτο δὴ τὸ γῆρας ὑμνοῦσιν, ὅσων κακῶν σφίσιν αἴτιον. Ἐμοὶ δὲ δοκοῦσιν, ὦ Σώκρατες, οὗτοι οὐ τὸ αἴτιον αἰτιᾶσθαι. Εἰ γὰρ ἦν τοῦτο αἴτιον, κἂν ἐγὼ ταυτὰ ταῦτα ἐπεπόνθειν ἕνεκά γε γήρως, καὶ οἱ ἄλλοι πάντες ὅσοι ἐνταῦθα ἦλθον ἡλικίας. Νῦν δὲ [i] ἐγὼ ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσι, καὶ ἄλλοις, καὶ δὴ καὶ [k] Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος, Πῶς, ἔφη, ὦ Σοφόκλεις, ἔχεις πρὸς τὰ ἀφροδίσια; ἔτι οἷός τε εἶ γυναιξὶ συγγίγνεσθαι; Καὶ ὃς, Εὐφήμει, ἔφη, ὦ ἄνθρωπε· ἀσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών. Εὖ οὖν μοι καὶ τότε ἐκεῖνος ἔδοξεν εἰπεῖν, καὶ νῦν οὐχ ἧττον· παντάπασι γὰρ [l] τῶν γε τοιούτων ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίγνε-

[e] δεήσει] δεήσῃ A. Trinc. Post εὔπορος reliqua desunt A.
[f] οἷόν τε] οἷόν γε N.
[g] συνερχόμεθα] συνειχόμεθα N. Trinc.
[h] νῦν δὲ οὐδὲ ζῶντες] om. N. Tr.
[i] ἐγὼ ἤδη] ἔγωγε ἤδη Trinc.
[k] Σοφοκλεῖ] Videatur Plutarch. II. 525. A.
[l] τῶν γε] τῶν τε Trinc. Mox γὰρ post ἐπειδ' ἂν ib. om.

ται καὶ ἐλευθερία. Ἐπειδ' ἂν [m] γὰρ αἱ ἐπιθυμίαι παύσωνται κατατείνουσαι, καὶ χαλάσωσι, παντάπασι τὸ τοῦ Σοφοκλέους γίγνεται, δεσποτῶν πάνυ πολλῶν ἐστι καὶ μαινομένων ἀπηλλάχθαι. Ἀλλὰ καὶ τούτων πέρι, καὶ τῶν γε πρὸς τοὺς οἰκείους, μία τὶς αἰτία ἐστὶν, οὐ τὸ γῆρας, ὦ Σώκρατες, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. Ἐὰν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον· εἰ δὲ μὴ, καὶ γῆρας, ὦ Σώκρατες, καὶ νεότης, χαλεπὴ τῷ τοιούτῳ συμβαίνει.

## ΨΟΓΟΣ ΓΗΡΩΣ. ΡΙϚ.

1 [a] Μιμνέρμου.

Τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη,
οὐδὲ πατὴρ παισὶν τίμιος, οὔτε [b] φίλος.

2 [a] Εὐριπίδου Γλαύκῳ.

Φεῦ, φεῦ· τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους,
γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον.
[b] μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.

3 [a] Εὐριπίδου Ἀνδρομάχης.

Ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ [b].

4 [a] Τοῦ αὐτοῦ Αἰόλῳ.

Φεῦ, φεῦ· παλαιὸς αἶνος ὡς καλῶς ἔχει,
γέροντες [b] οὐδὲν ἐσμὲν ἄλλο πλὴν ὄχλος
καὶ σχῆμ', ὀνείρων δ' ἕρπομεν μιμήματα.

[m] γὰρ om. Trinc.

1.

[a] Sic Trinc. Μενάνδρου A.

[b] φίλος] φίλοις Voss.

2.

[a] Sic A. Scil. fr. 3. Simpl. Εὐριπίδου Trinc.

[b] μακρὸς γὰρ] Videtur nova esse sententia. Grotius.

3.

[a] Sic A. Immo Bacch. 1249. Deest lemma Trinc.

[b] ἐν τ' ὄμμασιν σκυθρωπὸν additum in Euripide. Grotius mss.

4.

[a] Sic A. Scil. fr. 18. Deest lemma Trinc.

[b] οὐδὲν ἐσμὲν] ἐσμὲν οὐδὲν A. Voss.

νοῦς δ' [c] οὐκέτ' ἐστίν· οἰόμεσθα δ' εὖ φρονεῖν.

5 [a] Εὐριπίδου Οἰνομάῳ.

Ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον
εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς·
μακρὸς γὰρ αἰὼν μυρίους τίκτει [b] πόνους.

6 [a] Τοῦ αὐτοῦ.

Ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις,
καὶ πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων μολεῖν·
λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει,
ὡς οὐδέν ἐστι χεῖρον [b] ἐν θνητῷ γένει.

7 [a] Εὐριπίδου Μελανίππης.

[b] Τί δ' ἄλλο, φωνὴ καὶ σκιὰ γέρων ἀνήρ;

8 [a] Μενάνδρου.

Ὀχληρὸν ὁ χρόνος ὁ πολύς· [b] ὦ γῆρας βαρὺ,
ὡς οὐδὲν ἀγαθὸν, δυσχερῆ δὲ πόλλ' ἔχεις
τοῖς ζῶσι, καὶ λυπηρά· πάντες εἰς σὲ δὲ
ἐλθεῖν ὅμως εὐχόμεθα, καὶ σπουδάζομεν.

9 [a] Τοῦ αὐτοῦ Χαλκεία.

Οὐκ ἂν γένοιτ' ἐρῶντος ἀθλιώτερον

[c] οὐκέτ'] οὐκ A.

5.

[a] Sic A. Scil. fr. 4. Deest lemma Trinc.

[b] πόνους] νόσους Voss. in textu, Gesn. marg.

6.

[a] Sic A. Sc. inc. 78. Deest lemma Trinc. Suspicor h. l. tribuendum esse scriptori alicui novæ comœdiæ.

[b] ἐν τῷ γήραϊ βαρύ] ἐν θνητῷ γένει A. Gesn. marg. versus deest B. Monet Gesnerus legi posse, ὡς οὐδέν ἐστι χεῖρον ἢ γῆρας βαρύ. Dedi ὡς pro οἷς.

7.

[a] Sic A. Scil. fr. 18. Deest lemma Trinc.

[b] ἀλλὸ φωνὴ καὶ σκιὰ] Græci ἄλλο ἢ sive ἄλλο πλήν. Sic p. 493. ἄλλο πλὴν θανεῖν. Lego, Τί δ' ἄλλο πλὴν ὄνου σκιὰ γέρων ἀνήρ. Plutarch. Galba p. 1062. ἄλλο ἢ σκιὰ καὶ εἴδωλον.—Πλὴν σκιᾶς] Sic Nic. Damasc. a Vales. edit. p. 514. Possis ἄλλο πλὴν γῆς καὶ σκιᾶς ut pag. 501. sub finem. Sed vide Suid. v. Εἴδωλον. Toup.

8.

[a] Sic A. Trinc. Cleric. p. 254.

[b] τὸ γῆρας] ὦ γῆρας Grotius, et sic B.

9.

[a] Sic A. Χαλκείᾳ Gesn. marg.

οὐθὲν γέροντος, πλὴν ἕτερος γέρων ἐρῶν.
ὃς γὰρ ἀπολαύειν βούλεθ', ὧν ἀπολείπεται
διὰ τὸν χρόνον, πῶς οὗτος οὐκ ἔστ' ἄθλιος;

10 [a] Θεόγνιδος.

Οὔτε γε μὴν πενίης [b] θυμοφθόρου οὐ μελεδαίνω,
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

11 [a] Τοῦ αὐτοῦ.

Ὤμοι ἐγὼν, [b] ἥβης καὶ γήραος οὐλομένοιο, 591
τοῦ μὲν ἐπερχομένου, τῆς δ' [c] ἀπονισσομένης.

12 [a] Φερεκράτους.

Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ,
καὶ πανταχῇ λυπηρὸν, οὐ καθ' ἓν μόνον.
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ', οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς [b] προδιδάσκεις εὖ φρονεῖν.
εἰκῇ μ' ἐπῆρας, ὄντα τηλικουτονὶ,
[c] πολλοῖς ἐμαυτὸν ἐγκυλίσαι πράγμασιν.
ἐγὼ γὰρ, ὦ ἄνδρες, ἡνίκ' ἦν νεώτερος,
ἐδόκουν μὲν, ἐφρόνουν δ' οὐδέν· ἀλλὰ πάντα μοι
κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ,
νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.

Deest lemma Trinc. Omisit Clericus.

10.

[a] Sic A. Trinc. Scil. v. 1125.

[b] θυμοφθόρου οὐ] Male hoc alterum οὐ omittitur quod versus exigit. Grotius.

11.

[a] Sic A. Scil. v. 527. Deest lemma Trinc.

[b] ἥβης καὶ] ἥβης τε καὶ Voss.

[c] ἀπονισσομένης] ἀπονεισσομένης B.

12.

[a] Sic A. Trinc.

[b] προδιδάσκεις] προσδιδάσκεις A. V. seq. alterius loci initium fecit Grotius.

[c] πολλάκις] πολλοῖς Gesn. marg. probante Valckenærio ad Euripid. Hippol. 785. qui mox pro ἐγκυλίσαι reponendum censet ἐγκυκλῆσαι. Frustra.

13 [a] Ἀντιφάνους.

Σφόδρα
τί ἐστιν [b] ἡμῶν ὁ βίος οἴνῳ προσφερής·
ὅτ' ἂν ᾖ τὸ λοιπὸν μικρὸν, ὄξος γίγνεται.

14 [a] Ἀντιφάνους.

Πρὸς γὰρ τὸ γῆρας, ὥσπερ ἐργαστήριον,
ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.

15 [a] Τοῦ αὐτοῦ.

Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν·
πάντ' ἔστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα.

16 [a] Ἀντιφάνους.

Ὦ γῆρας, ὡς ἅπασι τοῖς ζητοῦσί σε
[b] ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

17 [a] Φιλήμονος.

Σύρα, Σύρα. Τί ἐστι; Πῶς ἡμῖν ἔχεις;
[b] Μηδέποτ' ἐρώτα τοῦτ', ἐπ' ἂν γέροντ' ἴδῃς,
ἢ γραῦν τίν'· ἴσθι δ' εὐθὺς ὅτι κακῶς ἔχει.

18 [a] Ἡρώδου Μιμιάμβων.

[b] Ἐγὼ δὲ δραίνω γυιὸς ὤν, τὸ γὰρ γῆρας
ἡμέας καθέλκει, [c] κἢν σκιῇ παραστήκῃ.

13.

[a] Sic A. Cum præced. fr. conjungit Trinc.

[b] ὁ βίος ἡμῶν] ἡμῶν ὁ βίος A. Comparat Grot. in mss. Anthol. Steph. I. 16, 4. Ἂν περιλειφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνου, Εἰς ὀξὺ τρέπεται τοῦτο τὸ λειπόμενον. Οὕτως ἀντλήσας τὸν ὅλον βίον, εἰς βαθὺ δ' ἐλθὼν Γῆρας ὁ πρεσβύτης, γίγνεται ὀξύχολος.

14.

[a] Sic A. Trinc.

15.

[a] Sic A. Deest lemma Trinc.

16.

[a] Sic A. Deest lemma Trinc.

[b] ψέγειν] λέγειν B.

17.

[a] Sic A. Trinc. Cleric. p. 358.

[b] μηδέποτ' ἐρώτα τοῦτ' om. Trinc. Addidit Grotius ex Certamine Menandri et Philistionis, καλὸν τὸ θνήσκειν ἔστιν ἐπὶ τούτῳ λέγειν.

18.

[a] Sic A. *Herodis in Hemiambis* Gesner. Deest locus Trinc.

[b] δὲ δραίνῶ μυιος ὦν] δὲ δραίνω μυὸς A. δ' ἀδρανέω γυρὸς ὢν Gesnerus. ἀδραίνω γυιὸς ὢν Grotius e Salmasii emend. ἀδρανέω γυιὸς ὡς Valckenærius.

[c] καὶ σκιὴ παραστήκει] κἢν σκῖῇ παραστήκῃ A. κἢν σκιῇ B. κεὶς σκιὴν

19 [a] Ἀλέξιδος Τιτθῆς.

Ἤδη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει.

20 [a] Μενάνδρου.

Πικρόν ἐστι [b] θρέμμ' [c] ἐν οἰκίᾳ γέρων.

21 [a] Ἡρώδου ἐκ Μολπεινοῦ.

[b] Ἐπὴν τὸν ἑξηκοστὸν ἥλιον κάμψῃς,
ὦ Γρύλλε, Γρύλλε, θνῆσκε καὶ τέφρη γίνευ·
ὡς τυφλὸς [c] οὑπέκεινα τοῦ βίου καμπτήρ.

22 [a] Ἡρώδου Μιμιάμβων.

[b] Ἤδη γὰρ αὐγὴ τῆς ζοῆς ἀπήμβλυνται.

23 [a] Ἀντιφάνους ἐξ Ἐπικλήρου.

Ὦ γῆρας, ὡς ἅπασιν ἀνθρώποισιν εἶ
ποθεινὸν, ὡς εὔδαιμον· εἶθ' ὅτ' ἂν παρῇς,
ἀχθηρὸν, ὡς μοχθηρόν· εὖ λέγει τέ σε
οὐδείς· κακῶς [b] δὲ πᾶς τις, ὃς σοφῶς λέγει.

24 [a] Ἡρώδα Μιμιάμβων.

Γύναι, τὰ λευκὰ τῶν τριχῶν ἀπαμβλύνει
τὸν νοῦν.

πέρας τήκει Grotius e Salmasii emendatione. καὶ σκιὴ παραστήκω Valckenærius.

19.

[a] Sic fere A. ubi τιθῆς. Deest nomen fabulæ Trinc.

20.

[a] Sic A. Trinc. Cleric. p. 254.
[b] θρέμμα om. Voss.
[c] Sic A. Trinc. γέρων cum μένων in marg. Voss. θρέμμα γέρων ἐν οἰκίᾳ μένων Gesner.

21.

[a] Sic A. Ἡροδότου Trinc.
[b] ἐπὴν] ἐπὰν B.
[c] ὁ ὑπὲρ κεῖνο] οὑπέκεινα Porsonus ad Euripid. Hec. 1090. ed. tertiæ.

22.

[a] Sic A. *Herodis in Hemiambis* Gesner. Deest lemma Trinc.
[b] ἤδη γὰρ αὐγὴ τῆς ζωῆς ἀπήμβλυνται] Sequor Salmasium connectentem hæc cum præcedentibus Herodis Scazontibus. Ejusdem est emendatio: nam vulgo legitur, ἤδη γὰρ αὕτη τ. ζ. ἀπήμβλυτο. Grotius. Pro αὐγὴ Gesnerus conjecit ἀκμή. ζοῆς Porsonus ubi supra.

23.

[a] Sic A. Simpl. Ἀντιφάνους Tr.
[b] δὲ om. A. Trinc. qui mox habent σοφός.

24.

[a] Sic A. *in Hemiambis* Gesner. Deest locus Trinc.

25 [a] Χαιρήμονος.

Γέρων γὰρ ὀργῇ πᾶς ὑπηρετεῖν κακός.

26 [a] Ἀντιφάνους.

Οὐδεὶς τὰ πατρῷά πω γέρων [b] κατεδήδοκε,
ἀλλ᾽ οὐδὲ κατεμώρανεν, οὐδ᾽ ἐλύσατο
πορνίδιον, οὐδὲ θυροκόπων ὦφλεν δίκην.
οὕτω τὸ γῆρας σωφρονοῦν οὐκ εὐτυχεῖ.

27 [a] Μενεκράτους Σαμίου.

Γῆρας ἐπὰν μὲν ἀπῇ, [b] πᾶς [c] εὔχεται· ἢν δέ ποτ᾽ ἔλθῃ,
μέμφεται· [d] ἔστι δ᾽ ἀεὶ κρεῖσσον ὀφειλόμενον.

28 [a] Σοφοκλέους Σκυρίων.

Οὐδὲν γὰρ ἄλγος, οἷον ἡ πολλὴ [b] ζοή.

29 Πάντ᾽ ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακὰ,
νοῦς φροῦδος, [b] ἔργ᾽ ἀχρεῖα, φροντίδες κεναί.

30 [a] Σώφρονος.

[b] Τὸ γὰρ ἀπεχθόμενον γῆρας ἀμὲ μαραῖνον ταριχεύει.

31 [a] Κράτητος.

Ὁ γὰρ χρόνος μ᾽ ἔκαμψε, τέκτων [b] οὐ σοφὸς,
ἅπαντα δ᾽ ἐργαζόμενος ἀσθενέστερα.

25.

[a] Sic A. Deest locus Trinc.

26.

[a] Sic Voss. Arsen. Deest lemma Trinc. locus A.

[b] κατεδήδοκε] κατεδήδωκεν Voss.

27.

[a] Sic A. Simpl. Μενεκράτους Trinc.

[b] πᾶς] πᾶς τις Voss.

[c] εὔχεται] εὔχεται ἔχειν μὲν εἰ δὲ A. εἰ B.

[d] ἔστι δ᾽] ἔσται δ᾽ Trinc.

28.

[a] Sic A. Grotius *incerto* tribuit.

[b] ζωή] ζοή Porsonus ubi supra.

29.

[b] ἔργ᾽] ὦτ᾽ Clemens. [Cohort. p. 73.] GROTIUS. mss. Hos vss. Brunckius cum Grotio a priore loco separat, et Sophocli tribuit Scyr. 5.

30.

[a] Sic A. Deest locus Trinc.

[b] Citat Scholiastes Æschyli Choeph. 294. sine γὰρ ἀπεχθόμενον. ubi ἄμμε pro ἅμα. σῶμα reponit Jacobsius ad Athen. p. 83. Sed ἀμὲ verum esse docuit Santenius in Terentianum Maurum p. 167.

31.

[a] Sic Trinc. Deest locus A.

[b] οὐ] μὲν Voss. Gesn. marg.

32 [a] Διφίλου ἐκ Φρέατος.

[b] Πολιὸς τεχνίτης ἐστὶν ὁ χρόνος, ὦ ξένε.
χαίρει μεταπλάττων πάντας ἐπὶ τὰ χείρονα. 592

33 [a] Μιμνέρμου Νάννους.

Τιθωνῷ μὲν ἔδωκεν [b] ἔχειν κακὸν ἄφθιτον ὁ Ζεὺς,
γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου.

34 [a] Μιμνέρμου Νάννους.

Ἀλλ' ὀλιγοχρόνιον γίγνεται, ὥσπερ ὄναρ,
ἥβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, [b] ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

35 [a] Ἀπολλοδώρου Λακαίνης.

Μὴ καταφρόνει, [b] Φιλῖν', ἐτῶν γεροντικῶν,
οἷς ἔνοχος, εἰς τὸ γῆρας ἂν ἔλθῃς, ἔσῃ.
ἀλλὰ μέγα [c] τοῦθ' οἱ πατέρες ἡλαττώμεθα·
[d] ὑμεῖς μὲν ὠνειδίσατ', ἐάν τι μὴ ποιῇ
ὁ πατήρ ποθ' ὑμῶν, οὐ γέγονας αὐτὸς νέος;
τῷ δὲ πατρὶ πρὸς τὸν υἱὸν, ἐὰν ἀγνωμονῇ,
οὐκ ἔστιν εἰπεῖν, οὐ γέγονας αὐτὸς γέρων;

36 [a] Εὐριπίδου Φοίνικι.

Ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν.

32.

[a] Sic A. Simpl. Διφίλου Trinc.

[b] Σκολιὸς] Ita putavi legendum pro πολιὸς, quod languere mihi videbatur. Grotius.

33.

[a] Sic fere A. ubi νάννου. Deest lemma Trinc.

[b] ἔχειν] σχεῖν A. Voss. Trinc. in fine versus ὁ ζεὺς deest A. B. Voss. ὁ om. Trinc.

34.

[a] Sic A. Simpl. Μιμνέρμου Tr.

[b] ὅτ' ἄγνωστον τιθεῖ] ὅταν γνωστὸν τιθῇ A.

35.

[a] Sic A. Deest locus Trinc.

[b] φιλεῖν] Φιλῖν' Salmasius apud Grotium.

[c] τοῦθ' οὗ] τοῦθ' ᾧ Salmasius. οἱ A. B.

[d] ἡμεῖς] ὑμεῖς A. B. et v. seq. ὑμῶν pro ἡμῶν. πρὸς ὑμῶν Grotius, ποθ' ὑμῶν Tyrwhittus, pro πρό θ' ἡ.

36.

[a] Sic A. Scil. fr. 8. Αἰόλου Voss.

37 [a] Εὐριπίδου Ἀνδρομάχης.

Ἀνειμένον τὶ χρῆμα πρεσβυτῶν γένος,
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.

38 [a] Εὐριπίδου Αἰόλου.

Ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,
ἥ τ' Ἀφροδίτη τοῖς [b] γέρουσιν ἄχθεται.

39 [a] Σοφοκλῆς.

Ζῆν γὰρ [b] οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.

40 [a] Ἰσοκράτους ἐκ τοῦ Παναθηναϊκοῦ.

Ἀλλ' οὕτω τὸ γῆράς ἐστι δυσάρεστον καὶ μεμψίμοιρον καὶ μικρολόγον, ὥστε πολλάκις ἤδη τήν τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἧς οὐδεὶς ἄλλος καταπεφρόνηκε.

41 [a] Δημοκρίτου.

Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ' ἔχει, καὶ πᾶσιν [b] ἐνδεῖ.

42 [a] Μητροδώρου.

Οὐ μακαριεῖς τὸν γέροντα, καθ' ὅσον γηράσκων τελευτᾷ, ἀλλ' εἰ τοῖς ἀγαθοῖς συμπεπλήρωται· ἕνεκα γὰρ χρόνου πάντες ἐσμὲν ἄδωροι.

43 [a] Ἐρατοσθένους Κυρηναϊκοῦ.

Ἐρατοσθένης τῆς ἡλικίας ἔφη τὸ μὲν ἀκμάζον ἔαρ εἶναι· τὸ δὲ μετὰ τὴν ἀκμὴν, θέρος καὶ [b] μετόπωρον· χειμῶνα δὲ τὸ γῆρας.

37.
[a] Sic A. Scil. v. 728.

38.
[a] Sic A. Scil. fr. 19.
[b] ἐρῶσιν] γέρουσιν B. et sic Grotius.

39.
[a] Sic A. Scil. fr. 106. Deest locus Trinc. v. supra 115, 9.
[b] οὐδ' ἴσως] οὐδὲ ἰσὼς A. οὐδεὶς ὡς Grotius.

40.
[a] Sic A. Simpl. Ἰσοκράτους Trinc.

41.
[a] Sic A. Trinc.
[b] ἐνδεῖ] ἐν δεῖ A.

42.
[a] Sic Trinc. Deest A.

43.
[a] Sic A. Deest lemma Trinc.
[b] μετόπωρον] φθινόπωρον Gesn. marg.

44 [a] Φαβωρίνου ἐκ τῶν κγ̄.

Πολύς τοι μόχθος ἐν μακρῷ χρόνῳ.

45 [a] Δημοκρίτου.

[b] Αὐξανομένου τοῦ σώματος, συναύξονται φρένες· γηράσκοντος δὲ συγγηράσκουσι, καὶ εἰς τὰ πράγματα πάντα ἀμβλύνονται.

46 [a] Κάτωνος.

Κάτων γέροντι πονηρευομένῳ ἔφη, [b] Τί, ἄνθρωπε, τῷ γήρᾳ κακὰ πολλὰ ἔχοντι τὴν ἐκ τῆς πονηρίας αἰσχύνην προστίθης;

47 [a] Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν.

Ἄλεξις ὁ τῶν κωμῳδιῶν ποιητὴς, ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην [b] ἑώρακε μόλις πορευόμενον, καὶ ἠρώτα, [c] Τί ποιεῖς; ἔφη, Κατὰ σχολὴν ἀποθνήσκω.

48 [a] Μητροκλέους.

[b] Μητροκλῆς τὸ γῆρας τοῦ βίου ἔλεγε χειμῶνα.

49 [a] Ἰούνκου ἐκ τοῦ Περὶ Γήρως.

Ἐπειδὴ γὰρ ὁρῶ σε τὰς μὲν ἐπὶ τῆς νεότητος καὶ ἀκμῆς ἡδονὰς καὶ ἀπολαύσεις, αἳ πᾶσιν ἔργοις ἕπονται, συνελόντι δὲ εἰπεῖν, τὴν ἀνθρώπειον εὐδαιμονίαν [b] ἀπολιπόντα, καὶ παραμειψάμενον καθάπερ [c] ἐπὶ νεὼς κομιζόμενον οὐριοδρομούσης, ἱστάμενον ἐπὶ τῷ γήρᾳ, καὶ αὐτὸν ἑαυτοῦ βραδύτερόν τε καὶ δυσκινητότερον γεγονότα, καὶ ἀεὶ γιγνόμενον, τῇ

44.

[a] Sic fere A. ubi Φαβουρίνου. Tr. simpl. Φαβωρίνου.

45.

[a] Sic A. Trinc.

[b] αὐξανομένου τοῦ σώματος] αὐξανομένῳ τῷ σώματι A. et mox γηράσκοντι pro γηράσκοντος.

46.

[a] Sic A. Deest lemma Trinc.

[b] τί ἄνθρωπε] ἄνθρωπε τι A.

47.

[a] Sic A. Deest lemma Trinc.

[b] ἑώρακε] ἑώρα A.

[c] τι ποιεῖς] τὸ τί ποιεῖ A.

48.

[a] Sic A. Deest lemma Trinc.

[b] Πατροκλῆς] Μητροκλῆς A. B.

49.

[a] Sic A. Simpl. Ἰούνκου Trinc.

[b] παραλιπόντα] ἀπολιπόντα A. B. Mox νομιζόμενον Trinc.

[c] ἐπὶ] ἐστι A.

τε ψυχῇ καὶ τῷ σώματι, ἐθέλω παρὰ σοῦ μαθεῖν, ἥντινα γνώμην [d] ἔχεις περί τε τῶν γεγηρακότων, καὶ περὶ αὐτοῦ 593 δὴ τοῦ γήρως· ἐμοὶ γὰρ δύσκολος ὁ ἐν αὐτῷ βίος καταφαίνεται διὰ τὴν τῶν αἰσθήσεων στέρησιν κατ' ὀλίγον ἀποσβεννυμένων. Διόπερ ἡδὺ μὲν οὐδὲν ἔτι παρακολουθεῖν φασι τοῖς γεγηρακόσιν· ἐπίπονα δὲ ἅπαντα εἶναι καὶ χαλεπὰ, αὐτῷ τε τῷ πάσχοντι τὴν μεταβολὴν περαιτέρω τούτων ἐνοχλεῖν τὸν περὶ τοῦ θανάτου φόβον ἀεὶ ἑπόμενον αὐτῷ, καθάπερ ἐπιβουλεύοντα συνοδοιπόρον, ἢ σύνοικον, καὶ τοῦτον δὲ ἔκ τινος ὡμολογημένης καὶ φυσικῆς ἀνάγκης. Τῶν γὰρ πρώτων ὅρων τοῦ βίου κατὰ τὴν προσοῦσαν ἡλικίαν ὑφ' ἑκάστου ῥᾳδίως ἀπολειπομένων, ὁπότε παῖς μὲν ὁ παῖς οὐκέτι ἔσται, τὸ δὲ μειράκιον ἀνὴρ γίνεται, μετὰ δὲ τὸν ἄνδρα γῆρας πρόσεισιν· ἀνάγκη που μετ' αὐτὸ μηδενὸς ἑτέρου καταλειπομένου διάλυσίν τε καὶ χωρισμὸν ἐπιγίγνεσθαι τῇ ψυχῇ καὶ τῷ σώματι, ὃ δὴ καλεῖται θάνατος. Πολλὰ δὲ καὶ ἄλλα ἐν τῷ ζῆν πρεσβύτῃ ἀνδρὶ χαλεπὰ παρομαρτεῖ καὶ ἐπίπονα. Τότε [e] μὲν γὰρ συνεχεῖς νόσοι, καὶ δίαιτα πάντως νοσώδης, εἰ καὶ μηδὲν παρείη ἰατροῦ δεόμενον, ἐκεῖνον δὴ τὸν λεγόμενον εὐδαίμονα εἶναι καταναλίσκει. Κεῖται γάρ που γήρᾳ παρειμένος, [f] ἄσιτός τε καὶ ἄποτος, καὶ ἀνέραστος, οὐδενὸς μὲν ξὺν ἡδονῇ μετέχων, τοῦ δὲ λυποῦντος ἀκριβῶς αἰσθανόμενος· εἴτε δὲ θαρρήσει προελθεῖν εἰς τὴν ἀγορὰν, γέλωτα τοῖς ὁρῶσι παρασκευάζει, βλέπων τε οὐκ ἀκριβὲς, καὶ βοώντων οὐκ ἀκροώμενος· καὶ πειρώμενος ἑαυτὸν διακομίζειν καταπίπτων, [g] σφαλλόμενος, θλίβειν λεγόμενος καὶ ἀφανίζειν τὸν κοινὸν τῆς πόλεως ἀέρα· οὔτε γὰρ εἰς τὸν ἀριθμὸν τῶν φυλετῶν ἐν ἐκκλησίᾳ παρὼν τάττεται, οὔτε μὴν ἀρχῆς οἷός τέ ἐστι προΐστασθαι, διά τε τὰ προειρημένα ἐμ-

[d] ἔχεις] ἔχῃς A.

[e] μὲν] μὲν γὰρ A. μέν γε B. Supra καὶ ante τῷ σώματι om. A.

[f] ἄσιτος] ἄσιτός τε A.

[g] ἐφαλλόμενος] σφαλλόμενος Valckenærius ad Herodot. VIII. 5.

πόδια, κυφός τε ὢν καὶ ῥικνὸς, καὶ ἄμορφος, καὶ ἀδύνατος·
τῇ τε ψυχῇ, κατὰ τὴν παροιμίαν, παῖς πάλιν γεγονώς.
Ἐν δὲ πολέμῳ, τί χρὴ καὶ λέγειν, ὡς ἀστράτευτός τε καὶ
γυμνὸς ἀπολείπεται, οὐ πεζὸς, οὐχ [h] ἱππευτὴς τεταγμένος,
οὐδ᾽ αὖ νεὼς ἐρέτης τὶς, ἢ ἐπιβάτης· ὅτι δὴ καὶ τὸ [i] καθέ-
ζεσθαι αὐτῷ μᾶλλον δὲ καὶ τὸ κεῖσθαι πόνον ἔχει, συμπε-
πλεγμένου αὐτῷ [k] τοῦ θανάτου, καὶ ἤδη αὐτὸν ἄγοντος εἴσω
τῶν ἑαυτοῦ θυρῶν. Εἰ δὲ καὶ πενία πως ἀνδρὶ γεγηρακότι
ξυμπέσοι, αὐτὸς ἂν ἐκεῖνος εὔξαιτο ἀπαλλαγῆναι τέλεον τοῦ
βίου διὰ τὸ ἄπορον ἐπὶ πᾶσιν, οὐχ ἡγεμόνος ὁδοῦ τυγχά-
νων, οὐ τροφέως, οὐκ ἐσθῆτα τὴν αὐτάρκη περικείμενος, [l] οὐ
στεγῆς εὐπορῶν, οὐ τροφῆς, ἔστι δὲ ὅπη καὶ ὕδατος, οὐκ ἔχων
τὸν ἀρυσόμενον· οἱ δὲ ὁρῶντες αὐτὸν, εἰ καὶ φίλοι καὶ οἰκεῖοι
λέγοιντο, ἐπαχθὲς εἶναι νομίζουσι, καὶ θέαμα ἀλγεινόν τε
καὶ λυπηρὸν καὶ πολυχρόνιον· τὰ δὲ ἄλλα εἰπεῖν, Ἰλιὰς
κακῶν. Τῷ δὲ νέῳ πολλὰ μὲν πλεονεκτήματα ἔν τε τῇ
ψυχῇ καὶ τῷ σώματι ἔδωκεν ὁ θεὸς ἀεὶ αὐξόμενα, μέγεθός
τε καὶ ἀλκὴν, καὶ κάλλος, καὶ χάριν ἐπανθοῦσαν, νοῦν τε
ἤδη βέβαιον, καὶ φρόνησιν, καὶ λόγον τῶν κατὰ τὴν ψυχὴν
[m] ἀγαθῶν ἄγγελον· πολλὰ δὲ ἐκ τῶν ἐπιστημῶν τε καὶ
τεχνῶν ἐκαρπώσατο· εἰ δὲ [n] ἔλθοι τὶ αὐτῷ δυστύχημα νό- 594
σου κομιζούσης, ἢ πενίας, ἢ ἀδοξίας, οἷός τέ ἐστι διαφέρειν
ἕκαστα, καὶ ὥσπερ ἀγαθὸς ἀθλητὴς, νικᾷ τὸ προσπίπτον.
Ἀλλ᾽ οὐ γὰρ νεότητα βουλόμενος μακαρίσαι τούσδε τοὺς
λόγους ἐποιησάμην· [o] δῆλα γάρ ἐστιν, οἶμαι, καὶ τυφλῷ
τὰ συνόντα αὐτῇ καλά τε καὶ ἀγαθά· καὶ [p] μάλα οὐκ

[h] ἱππευτὴς] ἱππεὺς A. B. Gesn. marg.

[i] καθίζεσθαι] καθέζεσθαι A. B. καθήζεσθαι Trinc.

[k] τοῦ] τὸ τοῦ A. B.

[l] ὥστε γῆς] οὐ στέγης Valckenærius ad Herodot. V. 14.

[m] ἀγαθῶν] ἀγαθὸν Trinc.

[n] ἔλθοι τι] ἐλθόντι A.

[o] δῆλα] δῆλος A. δῆλον B.

[p] μάλα] μὰ Δι᾽ conjicit Wyttenbachius ad Plutarch. S. N. V. p. 13. Sine necessitate.

ἀπὸ σκοποῦ τινος δοκῶ μοι εἰρηκέναι, ἅ τινα τῷ γεγηρακότι ἐνοχλεῖν ἔφην παρόντα τε καὶ ἀφιστάμενα αὐτοῦ, καὶ ὁπόσα κοσμεῖν ἔοικε καὶ ὠφελεῖν νέον.

50 [a] Πλάτωνος Πολιτείας πέμπτης.

Τὸ δ' ἐφεξῆς διέλθωμεν, ὃ προὐθέμεθα. Ἔφαμεν γὰρ δὴ [b] ἐξ ἀκμαζόντων δεῖν τὰ ἔκγονα γίγνεσθαι. Ἀληθῆ. Ἆρ' οὖν σοι ξυνδοκεῖ μέτριος χρόνος ἀκμῆς τὰ εἴκοσι ἔτη γυναικὶ, ἀνδρὶ δὲ τὰ τριάκοντα; Τὰ ποῖα αὐτῶν; ἔφη. Γυναικὶ μὲν, ἦν δ' ἐγὼ, ἀρξαμένῃ ἀπὸ εἰκοσιετίδος μέχρι τεσσαρακονταετίδος τίκτειν τῇ πόλει· ἀνδρὶ δὲ ἐπειδ' ἂν τὴν ὀξυτάτην [c] δρόμου ἀκμὴν παρῇ, τὸ ἀπὸ τούτου γεννᾶν τῇ πόλει, μέχρι πέντε καὶ [d] πεντηκονταέτους. Ἀμφοτέρων γοῦν, ἔφη, αὕτη ἀκμὴ, σώματός τε καὶ φρονήσεως.

## ΟΤΙ ΤΟ ΓΗΡΑΣ ΑΝΕΠΑΧΘΕΣ ΚΑΙ ΠΟΛΛΗΣ ΑΙΔΟΥΣ ΑΞΙΟΝ Η ΣΥΝΕΣΙΣ ΑΠΕΡΓΑΖΕΤΑΙ. ΡΙΖ.

1 [a] Ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον.

2 [a] Ἀναξανδρίδου.

Οὔ τοι τὸ γῆράς ἐστιν, ὡς οἴει, πάτερ,
τῶν [b] φορτίων μέγιστον· ἀλλ' ὃς ἂν φέρῃ
ἀγνωμόνως αὔτ', οὗτός ἐστιν αἴτιος.
[c] οὐδ' εὐκόλως ἐνίοτε [d] κοιμίζειν ποιεῖ,

50.

[a] Sic A. Scil. p. 460. D. Simpl. Πλάτωνος Trinc.

[b] ἐξ ἀκμαζόντων] Deest ἐξ Trinc.

[c] δρόμου] δρόμην A.

[d] πεντηκονταέτους] πεντηκονταετοῦς B.

1.

[a] Deest lemma A. Nescio an Anaxandridæ tribuat Trinc. cui diserte Gesnerus. Tragico Valckenærius in Eurip. Hippol. 96.

2.

[a] Sic A. et ut puto Trinc. Gesnerus: *Alias huic versui Anaxandridæ nomen adscribitur, non superiori.*

[b] φορτίων] φροντίδων A.

[c] οὐδ'] ἂν δ' Arsen. ὅδ' conj. Gesner. οὐ δυσκόλως B. pro v. l.

[d] κομίζειν ποιεῖ] κομίζειν ποεῖ A. κοιμίζειν ποιεῖ Trinc.

Ib. σὺ δ' εὐκόλως κόμιζε καί σε νέον ποίει] Locus valde depravatus audacem medicinam poscebat, quam transpositis et mutatis literis adhibere conatus sum. Erat heic οὐδ' εὐκόλως ἐνίοτε κομίζειν ποιεῖ. Grot. Verba depravatissima minus feliciter tractavit Grotius. Hoc mihi saltem intelligere videor, scribendum esse, σὺ δ' εὐκόλως ἔνεγκε et ποίει. In κομίζειν au-

μεταλαμβάνων ἐπιδέξι' αὐτοῦ τὸν τρόπον,
[e] λύπην ἀφαιρῶν, ἡδονήν τε προστιθείς.
λύπην δὲ [f] ποιῶν, εἴ τις δυσκόλως ἔχει.

3 [a] Σοφοκλέους Ἐριφύλη.

Γήρᾳ [b] προσόντος σῶζε τὴν εὐφημίαν.

4 [a] Τοῦ αὐτοῦ.

Οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς
θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος.
[b] προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα.

5 [a] Ἀναξιμένους.

Τοῖς γὰρ ἀστείοις πρεσβύταις, ὅσον αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὔξονται· καὶ [b] τοσούτῳ βεβαιότερον αὐτοῖς παρέχει τὸ λέγειν τί χρήσιμον τοῖς ἄλλοις, καὶ παρ' ἑτέρων [c] αὐτοὺς ἀκούειν. Ὥστε τὰς μὲν ἀπὸ τῶν βρωτῶν καὶ ποτῶν [d] καὶ ἀφροδισίων ἡδονὰς γινομένας ἰδεῖν ἐστιν οὐχ οὕτως εἰς τὸ παραχρῆμα εὐφραινούσας, ὡς ὕστερον λυπούσας· ἡ δὲ περὶ τοὺς λόγους ἡδονὴ καὶ μάθησις ἔν τε τῷ παραυτίκα εὐφραίνει, καὶ πρὸς τὸν ἄλλον βίον τοὺς μανθάνοντας διάγειν ἡδέως παρασκευάζει.

6 [a] Ξενοφῶντος.

Ξενοφῶν περὶ Ἀγησιλάου φησί· Ποίας γὰρ νεότητος οὐ κρεῖττον τὸ ἐκείνου γῆρας;

tem fortasse latet καὶ μεῖον, cui opponitur τῶν φορτίων μέγιστον. Jacobs. Athen. p. 31.

[e] λύπην] λύπην τ' Voss.

[f] ποιῶν] Malim ποιεῖ. Gesner. ποιεῖς εἴ κε δ. ἔχεις Grotius. Nescio an εἴ τι δ. ἔχεις, ita ut exciderit quid in fine.

3.

[a] Sic A. Scil. fr. 5. Deest locus Trinc.

[b] προσόντος] προσηκόντως A. B. An προσῆκον?

4.

[a] Sic A. Σοφοκλέ. Tr. fr. inc. 30.

[b] προμήθεια] προμηθίη Grotius.

5.

[a] Sic A. Ἀναξιμένου Trinc.

[b] τοσούτῳ] τοσοῦτον B.

[c] αὐτοὺς] αὐτοῖς Gesn. marg.

[d] καὶ om. A. In extr. διάγειν om. Trinc.

6.

[a] Sic A. Deest lemma Trinc. Ex Plutarcho II. p. 784. E. Vide Xenophontis Ages. XI. 15.

7 [a] Σωκράτους.

Ὁ μὲν χειμὼν, σκέπης· τὸ δὲ γῆρας ἀλυπίας δεῖται.

8 [a] Μουσωνίου ἐκ τοῦ Τί ἄριστον γήρως ἐφόδιον.

Αὖθις δὲ, ἐπεὶ πρεσβύτης τὶς ἐπύθετο, τί ἂν εἴη γήρως ἐφό- 595
διον ἄριστον· Ταυτὸν, εἶπεν, ὅπερ καὶ νεότητος, τὸ ζῆν ὁδῷ [b] καὶ κατὰ φύσιν. Τοῦτο δὲ μάλιστ' ἂν οὕτω μάθοις ὁποῖόν τί ἐστιν, εἰ [c] ἐννοήσαις τὴν τοῦ ἀνθρώπου φύσιν, ὡς [d] οὐ πρὸς ἡδονὴν γέγονεν. Οὐδὲ γὰρ ἵππος, οὐδὲ κύων, οὐδὲ βοῦς, ἅπερ ἀτιμότερα πολὺ ἀνθρώπου ἐστὶν, οὐ πρὸς ἡδονὴν γέγονεν· οὐδὲ γὰρ νομισθείη ἂν τυγχάνειν τοῦ ἑαυτοῦ τέλους ἵππος, ἐσθίων μὲν καὶ πίνων καὶ ὀχεύων [e] ἀνέδην, [f] πράττων δὲ μηδὲν, ὧν ἵππῳ προσήκει· οὐδέ [g] γε κύων, ἡδόμενος μὲν ὥσπερ ὁ ἵππος ἁπάσας ἡδονὰς, πράττων δὲ μηδὲν ἀφ' ὧν ἀγαθοὶ νομίζονται εἶναι κύνες· οὐδὲ μὴν ἄλλο ζῶον ὁτιοῦν, ἔργου μὲν τοῦ προσήκοντος αὐτῷ στερόμενον, ἡδονῶν δὲ ἐμπιπλάμενον. [h] Οὐδὲν οὖν οὕτως ζῆν λέγοιτο κατὰ φύσιν· ἀλλ' ὅ τι ἂν μάλιστα τὴν ἀρετὴν [i] ἐμφανίζῃ, δι' ὧν πράττει κατὰ τὴν ἑαυτοῦ φύσιν. Ἄγει γὰρ ἡ ἑκάστου φύσις ἕκαστον [k] πρὸς τὴν ἀρετὴν τὴν ἐκείνου· ὥστε καὶ τὸν ἄνθρωπον εἰκὸς οὐχ ὅτ' ἂν ἐν ἡδονῇ βιοῖ, τότε κατὰ φύσιν βιοῦν· ἀλλ' ὅτ' ἂν ἐν ἀρετῇ. Τότε γὰρ καὶ ἐπαινεῖσθαι δικαίως ὑπάρχοι ἂν αὐτῷ, καὶ μέγα φρονεῖν ἐφ' [l] αὑτῷ, [m] καὶ εὔελπιν καὶ θαρραλέον εἶναι, οἷς εὐφροσύνην τε καὶ χαρὰν βεβαίαν ἕπεσθαι [n] ἀναγκαῖον.

7.

[a] Sic A. Trinc.

8.

[a] Sic A. Simpl. Μουσωνίου Trinc.

[b] τῇ κατὰ φύσιν] καὶ κατὰ sine τῇ A. Arsen. Trinc. Vim vocis ὁδῷ explicuit Gatakerus M. A. I. 9. p. 13. F. G.

[c] ἐννοήσαις] ἐννοήσας Trinc.

[d] οὐ πρὸς] οὐδ' αὐτὰ B. οὐδὲ αὐτὰ A. m. sec.

[e] ἀναίδην] ἀνέδην A. Arsen. Tr.

[f] πράττειν] πράττων A. Trinc.

[g] γε] γὰρ A.

[h] οὐδὲν οὖν οὕτω] οὐδὲ οὖν οὕτως A. m. p. οὐδὲ τοῦτο m. sec. οὐδὲ τοῦτο ζῆν ἂν B.

[i] ἐμφανίζῃ] ἐμφανίζῃ οἱ B.

[k] πρὸς τὴν] τὴν om. B.

[l] ἑαυτῷ] αὑτῷ A. Trinc.

[m] εὔελπιν καὶ θαρραλέον] καὶ εὔελπιν κ. θ. A. B. Arsen. θαρσαλέον B.

[n] ἀναγκαῖον] ἀναγκαίαν Trinc. A. p. m.

Καθόλου δὲ ἄνθρωπος μίμημα μὲν θεοῦ [o] μόνον τῶν ἐπιγείων ἐστὶν, ἐκείνῳ δὲ παραπλησίας ἔχει τὰς ἀρετάς· ἐπεὶ μήδ' ἐν θεοῖς μηδὲν ὑπονοῆσαι κρεῖττον [p] ἔχομεν φρονήσεως καὶ δικαιοσύνης, ἔτι δὲ ἀνδρείας καὶ σωφροσύνης. Ὥσπερ οὖν ὁ θεὸς διὰ τὴν παρουσίαν τούτων τῶν ἀρετῶν ἀήττητος μὲν ἡδονῆς, ἀήττητος δὲ πλεονεξίας· [q] κρείττων δὲ ἐπιθυμίας, κρείττων δὲ φθόνου καὶ ζηλοτυπίας· μεγαλόφρων δὲ, καὶ εὐεργετικὸς, καὶ φιλάνθρωπος· τοιοῦτον γὰρ ἐπινοοῦμεν τὸν θεόν· οὕτω καὶ τὸ ἐκείνου μίμημα τὸν ἄνθρωπον ἡγητέον, ὅτ' ἂν ἔχῃ κατὰ φύσιν, ὁμοίως ἔχειν, καὶ οὕτως ἔχοντα εἶναι ζηλωτόν· ὢν δὲ ζηλωτὸς, εὐθὺς ἂν εἴη καὶ εὐδαίμων· οὐ γὰρ ἄλλους γέ τινας ἢ τοὺς εὐδαίμονας ζηλοῦμεν. Καὶ μὴν οὐκ ἀδύνατον γενέσθαι τοιοῦτον ἄνθρωπον· [r] οὐ γὰρ ἑτέρωθέν ποθεν ταύτας ἐπινοῆσαι τὰς ἀρετὰς ἔχομεν ἢ ἀπ' αὐτῆς τῆς ἀνθρωπείας φύσεως, ἐντυχόντες ἀνθρώποις τοῖς δέ τισιν, οἵους ὄντας αὐτοὺς θείους καὶ θεοειδεῖς ὠνόμαζον. Εἰ μὲν οὖν τις τύχοι πρότερον ἔτι νέος ὢν παιδείας ὀρθῆς ἐπιμέλειαν πεποιημένος, καὶ τὰ μὲν ὅσα μαθημάτων ἔχεται καλῶν μεμαθηκὼς οὐκ ἐνδεῶς, τὰ δὲ ἀσκητὰ ἠσκηκὼς ἱκανῶς, [s] οὗτος ἂν ἐν γήρᾳ ταῖς ἐνούσαις ἑαυτῷ χρώμενος ἀφορμαῖς ζώῃ κατὰ φύσιν, καὶ ἀλύπως μὲν [t] φέροι τὴν στέρησιν τῶν ἡδονῶν τῶν ἐπὶ νεότητος, ἀλύπως δ' ἔχοι τῇ παρούσῃ τοῦ σώματος ἀδυναμίᾳ, δυσκολαίνοι δ' οὐκ ἂν οὔτε καταφρονούμενος ὑπὸ τῶν πλησίον, οὔτ' ἀμελούμενος ὑπὸ τῶν οἰκείων καὶ φίλων, ἅτε πρὸς ταῦτα πάντα ἀλεξιφάρμακον ἔχων καλὸν ἐπὶ τῇ διανοίᾳ τῇ ἑαυτοῦ, τὴν παιδείαν τὴν ὑπάρχου- 596
σαν. Εἰ δέ τις εἴη παιδείας μὲν ἐνδεέστερον μετεσχηκὼς,

[o] μόνον] μόναν A.
[p] ἔχομεν] ἔχον A.
[q] κρείττων] κρεῖττον A.
[r] οὐ γὰρ usque ad βαδίζουσαι p. 597, 47. desunt A. Integrum folium periisse videtur.
[s] οὗτως] Malim οὗτος. GESNER. Sic Arsen.
[t] φέροι] φέρει Trinc.

προθυμίαν δὲ παρέχοιτο πρὸς τὰ κρείττω, καὶ πείθεσθαι δύναιτο τοῖς εὖ λεγομένοις, οὗτος ἂν εὖ ποιοίη ζητῶν λόγων ἀκούειν ὑποθετικῶν παρὰ τῶν πεποιημένων ἔργον εἰδέναι τίνα μὲν βλαβερὰ, τίνα δὲ ὠφέλιμα ἀνθρώποις· καὶ [u] τίνα δὴ τρόπον τὰ μὲν ἐκφύγοι, τὰ δὲ κτῷτο· καὶ πῶς ἂν τὰ μὴ ὄντα μὲν κακὰ, δοκοῦντα δὲ, προσιόντα πρᾴως δέχοιτο. Τούτων [w] μὲν ἀκούων καὶ πειθόμενος (ὡς τό γε ἀκούειν ἀπειθῶς ἀκερδέστατον) διαθοῖτ' ἂν τὸ γῆρας καλῶς τά τε ἄλλα, καὶ τὸν τοῦ θανάτου φόβον ἐξαιρεθείη ἂν, ὃς μάλιστα θορυβεῖ τε καὶ πιέζει τοὺς γέροντας, ὥσπερ ἐπιλελησμένους, ὅτι παντὶ θνητῷ θάνατος ὀφείλεται. Καὶ [x] τό γε ἀθλιώτατον ποιοῦν τὸν βίον τοῖς γέρουσιν αὐτὸ τοῦτό ἐστιν, ὁ τοῦ θανάτου φόβος· ὥσπερ ἀμέλει καὶ ὁ ῥήτωρ Ἰσοκράτης ἀνωμολογήσατο. Φασὶ γὰρ ἐκεῖνον, ἐρωτήσαντός τινος ὅπως διάγει, εἰπεῖν, ὅτι οὕτως, ὥσπερ ἐκεῖνον τὸν ἐννενήκοντα μὲν γεγονότα ἔτη, κακῶν δὲ ἔσχατον νομίζοντα εἶναι τὸν θάνατον. Καίτοι πῶς ἐκείνῳ τὶ παιδείας μετῆν ἢ γνώσεως τῶν ἀληθῶν ἢ κακῶν, ὃς ὑπελάμβανεν εἶναι κακὸν τὸ ἐξ ἀνάγκης ἑπόμενον βίῳ τῷ ἀρίστῳ; εἴ γε ἄριστος βίος, ὁ τοῦ ἀγαθοῦ ἀνδρός· πέρας δὲ καὶ τούτου, θάνατος. Ὃ δ' οὖν εἶπον, εἰ τοῦτο περιποιήσαιτό τις ἐν γήρᾳ, τὸ προσδέχεσθαι τὸν θάνατον ἀφόβως καὶ θαρραλέως, οὐ μικρὸν ἂν [y] πρὸς τὸ ζῆν ἀλύπως καὶ κατὰ φύσιν εἴη πεπορισμένος· κτήσαιτο δ' ἂν τοῦτο συνὼν τοῖς οὐκ ὀνόμασι μόνον ἀλλ' ἀληθῶς φιλοσόφοις, ἄν γε καὶ πείθεσθαι θέλῃ αὐτοῖς. Ἐγὼ μὲν οὖν φημὶ γήρως ἐφόδιον εἶναι κράτιστον, ὃ δὴ καὶ ἀρχόμενος τοῦ λόγου εἶπον, τὸ ζῆν κατὰ φύσιν, ἃ χρὴ πράττοντα καὶ διανοούμενον. Οὕτω γὰρ ἂν καὶ εὐθυμότατος εἴη ὁ γέρων, καὶ ἐπαινετώτα-

[u] τίνα ἀεὶ] τίνα δὴ Valckenær.

[w] μὲν] Malim γὰρ. Gesner. δὲ Arsen.

[x] τό γε] τό τε N. Trinc.

[y] τὸ ζῆν] Lego τοῦ ζῆν. Gesner. πρὸς τὸ ζῆν Tyrwhittus pro μέρος τ. ζ.

τος· ταῦτα δὲ ἔχων, εὐπότμως καὶ ἐντίμως βιῴη ἄν. Εἰ δέ τις οἴεται μέγιστον εἶναι παραμύθιον τοῖς γέρουσι τὸν πλοῦτον, καὶ τοῦτον αὐτοῖς παρέχειν ἀλύπως βιοῦν, κακῶς οἴεται· πλοῦτος γὰρ ἡδονὰς μὲν οἷός τε παρέχειν ἀνθρώποις ἐστὶ, τὰς ἀπὸ σίτων καὶ πότων καὶ ἀφροδισίων καὶ ἄλλων ὁμοίων· οὔτε δὲ εὐθυμίαν, οὔτε ἀλυπίαν οὐδαμοῦ τῷ κεκτημένῳ παράσχοι ἄν. Μάρτυρες δὲ πολλοὶ τῶν πλουσίων, λυπούμενοι, καὶ ἀθυμοῦντες, καὶ ἀθλίους νομίζοντες εἶναι αὐτούς. Διόπερ οὐδὲ ἐπικούρημα γήρως καλὸν ὁ πλοῦτος εἴη ἄν.

9 [a] Ἰούνκου ἐκ τοῦ Περὶ Γήρως.

Σὺ δὲ ἄκουε λόγον οὐκ ἐμὸν, οὐδὲ νεώτερον ἐχθές που καὶ πρώην εὑρεθέντα καὶ μόλις εὐδοκιμήσαντα, παλαιῶν δὲ ἀνδρῶν σοφῶν τεθαυμασμένον. Διδάσκει γὰρ ἡμᾶς, ὅτι πάντα δὴ σχεδὸν τὰ [b] ἀνθρώποις πράγματα τέλος οὐκ ἂν εὑρεθείη βέβαιον ἔχοντα πρὸς τὸ ἀγαθὸν ἢ τὸ χεῖρον, ἐπειδήπερ χρῆσις μεταβάλλειν αὐτὰ ἔοικεν, ὡς εἶναι ποτὲ μὲν καλὰ καὶ ἀγαθὰ, προστάτου καὶ καθηγεμόνος ἀγαθοῦ τυχόντα, ποτὲ δ᾽ αὖ [c] ἑαυτὰ τὴν ἐναντίαν ἔχειν δύναμιν, ὑπ᾽ ἀνδρὸς 597 κακοῦ παρειλημμένα. [d] Καὶ τὰ μὲν ἄλλα ἐάσω, πλοῦτόν τε καὶ δόξαν, καὶ στρατηγίαν, καὶ πολιτείαν, καὶ δύναμιν σώματος, καὶ κάλλος, καὶ ἰσχὺν λόγου, καὶ πάντα ὁπόσα ἐς τὸ καλὸν καὶ τὸ φαῦλον τελευτᾷ καλῶς ἢ πονηρῶς δρώμενα, ἐπ᾽ αὐτὴν δὲ πειράσομαι τὴν προκειμένην ὑπόθεσιν τραπῆναι διά τινος συντόμου καὶ εὐθείας ὁδοῦ. Καὶ γὰρ νεότης, ὦ οὗτος, καὶ γῆρας ἄμφω μὲν καλὰ ἐστὸν καὶ περισπούδαστα καὶ εὐκτά· ἄμφω δὲ χαλεπὰ καὶ αἰσχρὰ καὶ

9.

[a] Sic Trinc. Deest locus A.

[b] ἐν οἷς] Lego ἀνθρώποις. GESNER. Sic N.

[c] ἑαυτὰ] Malim τὰ αὐτὰ. GESNER. ἑαυτὰ delendum censet Jacobsius in Athen. pag. 283. An αὐτὰ ἑαυτῶν?

[d] τὰ μὲν ἄλλα ὡς] τὰ μὲν ἄλλα ἐῶ Jacobsius in Athen. pag. 172. Rectius forte ἐάσω.

δύσκολα δειχθείη ἂν ὑπὸ τῶν οὐ δεόντως αὐτοῖς χρωμένων. Αὐτίκα [e] τὸν ἀμαθῆ τε καὶ θρασὺν ἕτοιμον πρὸς τὸ ἀδικεῖν, εὔρωστόν τε καὶ πλούσιον πλάττωμεν τῷ λόγῳ· συνέστω δὲ τούτῳ κατὰ τὴν αὐτοῦ εἰκόνα πρεσβύτης πονηρὸς τὸν τρόπον καὶ ἀναίσχυντος, καὶ εἰς οὐδὲν ὑπομένων ἐλαττοῦσθαι τοῦ νέου ἐπὶ τοῖς ἁμαρτήμασι. Τί οὖν; ἢ νεότητα διὰ ταῦτα μέμψαιτ' ἄν [f] τις, ἢ γῆρας αἰτιάσαιτο, οὐχὶ δὲ τὸν νέον, αὐτὸ δὴ τοῦτο, καὶ τὸν γέροντα, εἰ ἀδικοῖεν, ὑπευθύνους εἶναι δόξει; Καὶ δὴ καθάπερ ἐπὶ σκηνῆς, ἢ τινὸς ἀγορᾶς, ἐν ᾗ δεικνύουσιν οἱ θαυματοποιοὶ τὰ θαύματα, ἡκέτω τὶς ἡμῖν ἑτέρα εἰκὼν, τῶν προειρημένων μορφὴν [g] ἔχουσα διὰ τὴν [h] προσοῦσαν ἡλικίαν ἑκατέροις, τοὺς δὲ τρόπους καὶ τὰ ἤθη καὶ τὰ ἔργα κατὰ τὸ ἐναντίον τῶν προειρημένων. Ἀγαθὸς μὲν ὁ νέος ἔστω, καὶ περὶ τὸ ποιεῖν τἀγαθὸν προθυμότατος· ἐνάρετος δὲ ὁ πρεσβύτης καὶ δυνατὸς ἐπιτελεῖν, ὁπόσα λέγεται καὶ ἔστιν ἐν ἀνθρώποις πλεονεκτήματα. Ἐπὶ τοῖσδε οὖν ἀμφοῖν [i] περιβλέπτοιν ὄντοιν, τῷ γήρᾳ καὶ τῇ νεότητι τὰς αἰτίας τῆς ἀρετῆς τοῖν ἀνδροῖν ἀναθήσομεν, οὐχὶ δὲ ἑκατέρῳ τὰ προσόντα δι' ἑαυτὸν εἶναι πιστεύσομεν; Καί με ὑπόμεινον λέγοντα, ἅπερ ποτὲ ἤκουσα ἀνδρὸς φιλοσόφου διδάσκοντος ἡμᾶς αὐτὰ ταῦτα· ἔλεγε δὲ περί τε ψυχῆς ἀνθρώπου καὶ σώματος· ὅτι ἄρα τὰ μὲν [k] θεῖα καὶ μεγάλα, καὶ οἷς ἐφέστηκε δαίμων τὶς ἢ θεὸς ἢ τύχη, ταῦτα δὲ καὶ ἀκόντων ἡμῶν κρατεῖ· τὰ δὲ ὥσπερ κοινὰ ἤδη καὶ συνήθη τισὶν ἁμαρτήματα οἱ χρόνοι προσάγουσιν, ἑκοῦσιν ἑκούσια. Φράσω [l] δ' ἔτι σαφέστερον ἅπερ εἶπεν· ἔχει δὲ ὧδε. Τῆς ψυχῆς τὸ μὲν εἰλικρινὲς καὶ καθαρὸν, ὃ δὴ θεῖόν ἐστι καὶ εἶναι δοκεῖ, τοῦτο μὲν ἔφη γεννωμένοις ἡμῖν συνεκπέμπεσθαι, μηδενὸς αὐτῷ

[e] τὸν ἀμαθῆ] Lego νέον. GESNER.
[f] τις om. N. Trinc.
[g] ἔχουσα] ἔχουσαν Trinc.
[h] προσοῦσαν] προσιοῦσαν N. Trinc.
[i] περιβλέπτοιν] περιβλέπτειν Trinc.
[k] θεῖα μεγάλα] θεῖα καὶ μεγάλα N. Trinc.
[l] δέ τι] δ' ἔτι Jacobsius in Athen. p. 92.

κοινωνοῦντος τῶν ταραττόντων τε καὶ ἀφανιζόντων τὴν ἐν αὐτῷ φρόνησιν· ἔπειτα δὲ, τρεφομένου [m] καὶ αὐξομένου τοῦ σώματος, παρακολουθεῖν τινας ἡδονὰς καὶ ἀδικίας [n] τῷ ζώῳ πολεμούσας, αἷς σύμμαχός τε καὶ συνέριθος ἡ νεότης γίνεται, ὑφ' ἧς βαδίζουσαι καὶ κατακρύπτεσθαι δοκοῦσαι, μονονουχὶ μάστιξι καὶ κέντροις, ὥσπερ ἐπὶ σκηνῆς αἱ τῶν τραγῳδῶν Εὐμενίδες, τὸν νέον ἐλαύνουσιν, αἱ μὲν ἐπί τινας ἔρωτας οὐ νενομισμένους οὐδὲ [o] τοῖς θεοῖς φίλους, ἄλλαι δὲ ἐξοργίζουσί τε καὶ ἀνεγείρουσιν [p] αὐτὸν ἐπὶ μανίαν καὶ θυμὸν ἀλόγιστόν [q] τινα, πάντα τὰ δεινὰ κελεύουσαι δρᾶν, ἅπερ οἶμαι καλλωπίζουσί τε καὶ ἐπισκιάζουσιν ἑτέροις ὀνόμασιν· εἰ μὲν θυγατρὸς ἐρῴη τὶς ἢ μητρὸς, τὸν ἔρωτα συνήγορον 598
παραλαμβάνουσαι· εἰ δὲ ἀλλοτρίου μέν τινος, οὐκ ἐξὸν δὲ ὅμως, τὰ [r] τῶν Βοιωτῶν ἢ τὰ τῶν Ἰώνων νόμιμα [s] σημαίνουσιν, ὑπὸ κάλλους καὶ ἡδονῆς [t] περιαστράπτεσθαι λέγουσαι τὸν ἄνδρα, καὶ ὅτι

νέῳ δέ τε πάντ' ἐπέοικεν.

Αἱ δὲ θάρσος ἐμποιοῦσαι καὶ ἀλογιστίαν, ἀνδρείαν ταῦτα ἐκάλουν· μέτριαι δέ πως ἐνομίσθησαν, αἱ φιλοίνους τε καὶ ὀψοφάγους καὶ αὖ φιλαργύρους ποιοῦσαι. Καὶ δὴ σκοπήσατε, ὦ παρόντες, ὅτι αἵδε αἱ [u] μυρίαι Σειρῆνες αἱ τὸν πλεῖστον ἀπάγουσαι λεὼν ὥσπερ αἰχμάλωτον, οὐ θαρροῦσι προσελθεῖν γέροντι· ἀλλὰ δὴ σὺν τῷ σώματι λήγοντι καὶ μαραινομένῳ τά τε αἴτια τῶν ἁμαρτημάτων ὑπέξεισιν, ἥ τε ψυχὴ αὐτοῦ μελετᾷ ἤδη, ὥσπερ καθ' ἑαυτὴν γιγνομένη, τὰ μὲν ἀνθρώπεια κακὰ φεύγειν, συνεῖναι δὲ σωφροσύνῃ. Τεκμήρια δὲ τῶν εἰ-

[m] καὶ αὐξομένου om. N.
[n] τῷ ζώῳ] τῷ θείῳ Wyttenbach. ad Plut. S. N. V. p. 35. qui sequentia monet desumta esse ex Æschine c. Timarch. p. 196. C.
[o] θεοῖς] τοῖς θεοῖς A. B.
[p] αὐτὸν] τῶν A. τὸν Trinc.
[q] τινα] τι A.
[r] τῶν Βοιωτῶν] τῶν om. A.
[s] σημαίνουσιν] ἐπαινοῦσιν Wyttenbach. ad Plutarch. p. 56. C.
[t] περιαστράπτεσθαι] περιαστράπτουσαι A.
[u] μυρίαι] μυρίαι καὶ αἵδε A.

ρημένων καὶ πίστεις ἐποιεῖτο, τά τε ἔργα παραλαμβάνων, καὶ παλαιὰ ἐξηγούμενος, δι' ὧν ἔπειθε, τὸ μὲν νέον ἅπαν σκιρτᾶν τε καὶ [w] πεφυκέναι ἀκρατὲς ἑαυτοῦ, καὶ ταράττεσθαι· τὸ δὲ πρεσβύτερον καὶ κατηρτυμένον, δίκαιόν τε εἶναι καὶ εἰλικρινὲς, οὐ παρέχον τοῖς λυποῦσιν ἀφορμὰς, ὅμοιον εἶναι θεῷ. [x] Ἐμνημόνευσε δὲ τραπεὶς ἐπὶ τὴν Ἑλληνικὴν ἱστορίαν τοῦ Πυλίου Νέστορος, ὃν διὰ γνώμην καὶ γῆρας τῶν ξυμπάντων ἡρώων προετίμησεν Ἀγαμέμνων, ὁ τοῦ πολέμου στρατηγός· οὐ δι' ἡμέρας μόνον, ἀλλὰ καὶ νύκτωρ παραγενόμενος ἐπὶ τὴν ἐκείνου ναῦν, ὁπότε συμβούλου δέοιτο, θέλων αὐτῷ συνεῖναι κατὰ τοὺς κινδύνους, Ἀχιλλέως [y] μηνίοντος. Οὐ γὰρ τὸν νέον καὶ ἄτρωτον Αἴαντα, οὐδὲ μὴν [z] Διομήδην τὸν περιφανέστατον διὰ τὸ ἐπικείμενον αὐτοῦ τοῖς ὅπλοις θεῖον πῦρ, ἀλλ' οὐδὲ Μενέλεων τὸν ἀδελφὸν, ὡς ἐκεῖνον δὴ τὸν ὑπερβαλλόμενον γενεὰς ἀνθρώπων τὰς ἐπὶ ζωῇ νενομισμένας πάντα ἐδόκει αὐτῷ τὰ κατὰ τοὺς πολέμους βοηθήματα εἶναι. Καὶ τοῦτο δὲ ἔλεγε, τὸν Θεμιστοκλέα τὸν Ἀθηναῖον νέον μὲν ὄντα ὁ πατὴρ ἀπεκήρυξεν, οὐκ ἐθέλων υἱὸν ἔχειν διὰ τὰς ἐν τῇ νεότητι ἁμαρτάδας· πλησίον δὲ τοῦ γήρως γιγνόμενον, αὐτὸν ἐκεῖνον οἱ Ἀθηναῖοι στρατηγὸν εἵλοντο ἐν τῷ Περσικῷ πολέμῳ, καὶ συμβουλεύοντί τε καὶ διακρίνοντι ἐπὶ τὸ [a] σαφέστερον τὰ τοῦ Ἀπόλλωνος μαντεῖα εἵποντο, ἀπολιπόντες τὴν πόλιν ἐρήμην, καὶ προθύμως [b] ἐνέβαινον εἰς τὰς ναῦς, ἡγουμένου Θεμιστοκλέους, καὶ διὰ τοῦτο ἐσώζοντο. [c] Τί γάρ με δεῖ λέγειν τὴν Ἀλκιβιάδου νεότητα καὶ τὸ γῆρας τοῦ Νικίου; ὧν ὁ μὲν ἐπὶ Σικελίαν ἦγεν αὐ-

[w] πεφευγέναι τἀκρατὲς ἑαυτοῦ καὶ παράπτεσθαι] πεφυκέναι ἀκρατὲς ἑ. καὶ ταράττεσθαι Wyttenbach. ad Plutarch. S. N. V. p. 40.

[x] ἐμνημόνευε] ἐμνημόνευσε A. Scripsi mox οὐ δι' ἡμέρας pro οὐδ' ἡμέρας.

[y] μηνίοντος] μηνιῶντος A.

[z] διομήδη] διομήδην A. B.

[a] σαφέστερον] σαφέστατον A.

[b] ἀνέβαινον] ἐνέβαινον A. ἀνέβαινεν Trinc.

[c] τί γάρ με δεῖ τοῦ ἀλκιβιάδου λέγειν νεότητα] τί γὰρ δεῖ με λέγειν τὴν ἀλκιβιάδου νεότητα A. B.

τοὺς, καὶ ἐδυστύχουν· ὁ δὲ συνεβούλευσε σωφρονεῖν. Εἰ γὰρ ἐθελήσαιμι τούτων [d] γε πέρι καὶ τῶν ὁμοίων γίγνεσθαι, ἐπιλείψει με ὁ σύμπας χρόνος. [e] Καὶ τὰ μὲν ἀκοῇ μοι παραδοθέντα ὡς διὰ βραχέων εἶπον, οὕτως ἔχει.

## ΠΕΡΙ ΘΑΝΑΤΟΥ, ΚΑΙ ΩΣ ΕΙΗ ΑΦΥΚΤΟΣ. ΡΙΗ. 599

1 [a] Αἰσχύλου Νιόβης.

[b] Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ.
οὔτ' ἄν τι θύων, οὔτ' ἐπισπένδων [c] ἄνοις·
οὐ βωμός ἐστιν, οὐδὲ παιωνίζεται·
μόνου δὲ πειθὼ δαιμόνων ἀποστατεῖ.

2 [a] Ὁμήρου Ἰλιάδος.

Ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
κτητοί τε τρίποδες, καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λῃϊστὴ,
οὔθ' ἑλετὴ, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

3 [a] Φιλήτα Ἑρμοῦ.

[b] Ἀτραπὸν εἰς Ἀΐδεω
ἤνυσα, τὴν οὔπω τὶς ἐναντίον ἦλθεν ὁδίτης.

4 [a] Εἰρήνης.

Τοῦτό κεν εἰς ἀΐδαν κενεὰ διανήχεται ἀχὼ,
σιγὰ δ' ἐν νεκύεσσι, τὸ δὲ σκότος ὄσσε κατέρρει.

[d] γε] τε B.
[e] καὶ τὰ μὲν κ. τ. λ. accedunt ex A.

1.

[a] Sic Voss. Simpl. Αἰσχύλου Trinc. Deest locus A.
[b] Schol. Sophocl. ad Electr. [139] hunc versum citat et subdit μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος. Grotius in mss.
[c] ναοῖς] ἄνοις Dobræus in Aristoph. p. (133) ἄγοις Sc. apud Grotium in mss.

2.

[a] Sic A. Scil. Il. ι. 406. Simpl. Ὁμήρου Trinc.

3.

[a] Sic A. Φιλήτου Trinc.
[b] ἀτραπὸν εἰς ἄδεα] ἀτραπὸς εἰς ἄδεω A. ἀΐδαο B. ἀΐδεω Grotius e Scaligeri emend.

4.

[a] Sic Voss. Arsen. Froben. Simonidi tribuere videtur Trinc.

5 [a] Σιμωνίδου.

Πάντα γὰρ μίαν ἱκνεῖται [b] δασπλῆτα χάρυβδιν,
αἱ μεγάλαι [c] τ' ἀρεταὶ, καὶ ὁ πλοῦτος.

6 [a] Σιμωνίδου.

Ὁ δ' αὖ θάνατος [b] ἔκιχε καὶ τὸν φυγόμαχον.

7 [a] Σωτάδου.

[b] Πῶς ἀναλύεται τὸ σῶμα, πνεύματος φυγόντος.

8 [a] Εὐριπίδου Αἰγέως.

Κατθανεῖν δ' ὀφείλεται
καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων.

9 [[a] Φωκυλίδου.

Πάντες ἴσον νέκυες, ψυχῶν δὲ θεὸς βασιλεύει.
κοινὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.]

10 [a] Μενάνδρου Κυβερνήτου.

[b] Ἀθανασία δ' οὐκ ἔστιν, οὐδ' ἂν συναγάγῃς
τὰ Ταντάλου τάλαντ' [c] ἐκεῖνα λεγόμενα.
ἀλλ' ἀποθανῇ, καὶ ταῦτα καταλείψεις τινί.

11 [a] Σοφοκλέους.

Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.

5.

[a] Sic A. Deest lemma Trinc.

[b] λασπῆδα] δασπλῆτα A. m. sec. B.

[c] ἀρεταὶ] τἀρεταὶ A. B.

6.

[a] Sic A. Deest lemma Trinc.

[b] ἔφικε καὶ] ἔκιχε τε A. B. ἔφυκε καὶ Trinc. Videatur Valckenærius ad Euripid. Hippol. 1442. Idem in mss. f. ἐφήκει.

7.

[a] Σωσάτου] Sic A. *Sositius* Grotius. Deest lemma Trinc. Gesn. Legendum Σωτάδου.

[b] Si versus sunt hæc, possunt ita ut digessimus digeri in partem systematis Alcaici. Grotius. Valckenærio Diatr. p. 195. non videntur esse poetæ. Perperam. Versum esse legitimum Sotadicum sive Ion. a majore tetram. brachycatalectum vix opus ut moneam.

8.

[a] Sic fere A. ubi αἰγε. v. Fr. 9. Simpl. Εὐριπίδου Trinc.

9.

[a] Deest A. v. Trinc. p. 19.

10.

[a] Sic A. Cleric. p. 214. Simpl. Μενάνδρου Trinc.

[b] ἀθανασία] ἀθανασίας Voss. vide supra XXII. 18.

[c] ἱκανὰ] L. ἐκεῖνα ut supra.

11.

[a] Sic A. Trinc. Scil. Œd. Tyr. 961.

12 [a] Ὅστις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν,
μωρὸς πέφυκε· τῇ τύχῃ μέλει τάδε.
[b] ὅτ' ἂν γὰρ ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ,
οὐδ' ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγῃ μολών.

13 [a] Ἀνακρέοντος.

[b] Πολιοὶ μὲν ἡμῖν ἤδη
κρόταφοι, [c] κάρη δὲ λευκόν·
χαρίεσσα δ' οὐκ ἔθ' ἥβη
πάρα· γηραλέοι δ' ὀδόντες·
γλυκεροῦ δ' οὐκ ἔτι πολλὸς
βιότου χρόνος λέλειπται.
διὰ ταῦτ' [d] ἀνασταλύζω
θαμὰ, Τάρταρον δεδοικώς·
Ἀΐδεω γάρ ἐστι δεινὸς
μυχὸς, [e] ἀργαλέη δ' ἐς αὐτὸν
κάθοδος· καὶ γὰρ ἕτοιμον
καταβάντι μὴ ἀναβῆναι.

14 [a] Εὐριπίδου Ἄλκηστις.

Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται·
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.

15 [a] Διφίλου.

Θνητὸς πεφυκὼς, μὴ εὐλαβοῦ τεθνηκέναι.

16 [a] Ἀριστοφάνους Πολυΐδου.

Τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον, λῆρος πολύς·

12.

[a] Deest lemma Trinc. locus A.

[b] ὅταν γὰρ ὁ] ὅταν δ' ὁ Grotius.

13.

[a] Sic A. Trinc.

[b] Ita cum Scaligero digerenda hæc in versus Anacreonticos. Grotius.

[c] κάρα] κάρη A.

[d] ἀνασταλύζω] ἀνασταλίζω Arsen. ἄλαστα λύζω Grotius, e Scaligeri emendatione.

[e] ἀργαλέη] ἀργαλῆ A.

14.

[a] Sic A. Scil. v. 785. Simpl. Εὐριπίδου Trinc.

15.

[a] Sic A. Trinc.

16.

[a] Sic A. Simpl. Ἀριστοφάνους Tr.

πᾶσιν γὰρ ἡμῖν τοῦτ᾽ ὀφείλεται παθεῖν.

17 [a] Ποσειδίππου ἐκ Μύρμηκος.

Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν,
τῆς [b] εὐθανασίας κρεῖττον οὐδὲν εὔχεται.

18 [a] Πλάτωνος ἐκ τοῦ Φαίδωνος.

Οὐκ οὖν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς 600 ψυχῆς ἀπὸ σώματος;

19 [a] Πορφυρίου Τῶν πρὸς θάνατον Ἀφορμῶν.

[b] Ὃ ἔδησεν ἡ φύσις, τοῦτο φύσις λύει· καὶ ὃ ἔδησεν ἡ ψυχὴ, τοῦτο αὐτὴ λύει. Ἔδησε δὲ φύσις μὲν σῶμα ἐν ψυχῇ· ψυχὴ δὲ αὑτὴν ἐν σώματι. Φύσις μὲν [c] ἄρα λύει σῶμα ἐκ ψυχῆς· ψυχὴ δὲ αὑτὴν λύει ἀπὸ σώματος.

20 [a] Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου.

Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. [b] Θάνατος, οὐ φοβερόν· ἐπεὶ καὶ Σωκράτει ἂν [c] ἦν· ἀλλὰ τὸ δόξαι τὸν θάνατον εἶναι φοβερόν. Ὅτ᾽ ἂν οὖν [d] ἐμποδιζώμεθα [καὶ σπαραττώμεθα,] μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ᾽ ἑαυτούς· τοῦτο δέ ἐστι, τὰ [e] φαῦλα δόγματα.

21 [a] Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου.

Καθάπερ ἐν πλῷ [[b] τοῦ] πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον καὶ κοχλίδιον [c] ἀναλέξα-

17.

[a] Sic A. Simpl. Ποσιδίππου Tr.

[b] ἀθανασίας] εὐθανασίας A.

18.

[a] Sic A. Sc. p. 67. D. Simpl. Πλάτωνος Tr.

19.

[a] Sic A. Simpl. Πορφυρίου Tr.

[b] ὃ ἔδησεν] ἐδέησεν A. ὃ om. Tr.

[c] ἄρα λύει] ἀναλύει A.

20.

[a] Sic A. Trinc. Scil. c. 5.

[b] θάνατος οὐ φοβερόν] οἷον θάνατος οὐδὲν δεινόν Gesn. marg.

[c] ἦν] ἐφαίνετο Gesn. marg.

[d] ἐμποδιζόμεθα] ἐμποδιζώμεθα A. Trinc. sine καὶ σπαραττόμεθα.

[e] φαῦλα] ἑαυτοῦ Gesn. marg.

21.

[a] Sic A. Trinc. Scil. c. 7.

[b] τοῦ] om. A. Trinc.

[c] ἀναλέξασθαι] ἀναλέξῃ Gesn. marg.

σθαι καὶ [d] βολβάριον, τετάσθαι δὲ [[e] δεῖ τὴν διάνοιαν] ἐπὶ τὸ πλοῖον, καὶ [f] συνεχῶς ἐπιστρέφεσθαι, [g] μή τι ὁ κυβερνήτης καλῇ, κἂν καλῇ, [h] πάντα ἀφεῖναι, ἵνα μὴ δεδεμένος [i] ἐμβληθῇς ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν δίδωται ὁδοῦ πάρεργον ἀντὶ βολβοῦ καὶ κοχλίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα [[k] πάντα] μηδὲ ἐπιστρεφόμενος· ἂν δὲ ᾖς γέρων, μηδὲ ἀποχώρει τοῦ πλοίου μακρὰν, μήποτε καλοῦντος [l] ἐλλίπῃς.

22 [a] Ἀριστοτέλους.

[b] Ἄφυκτόν ἐστι τὸ τῆς πεπρωμένης κακόν.

23 [a] Αἰλιανοῦ Ἱστοριῶν.

Γοργίας ὁ Λεοντῖνος, ἐπὶ τέρματι ὢν τοῦ βίου, [b] ὑπ' ἀσθενείας καταληφθεὶς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο· [c] εἰ δέ τις [d] αὐτὸν τῶν ἐπιτηδείων [e] ἤρετο, τί πράττοι, ὁ Γοργίας ἀπεκρίνατο· Ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ.

24 [a] Σωκράτους.

Χρὴ ψυχὴν λιπεῖν, μηδ' ἀνιάζειν δακρύοις καὶ θρήνοις· τὸ δὲ χρεὼν ἀνδρὸς ἀγαθοῦ φέρειν.

[d] βολβάριον] βολτάριον (βι superscr.) A. βολβιτάριον B.

[e] δεῖ τὴν διάνοιαν om. A. Trinc.

[f] συνεχῶς] συνεχὲς Trinc.

[g] μή τοι] μή τι A. Trinc.

[h] πάντα] πάντας A. Trinc.

[i] ἐμβληθῇς ὡς] βληθῇ εἰς A. βληθῇ ὡς Trinc.

[k] πάντα om. A. Trinc.

[l] ἐλλίπῃς] ἐλλείπῃς A. Post h. v. Gesnerus in versione: (*Inque id vinctus conjiciaris. Qui enim volens non sequitur, necessitate id patietur*) cum hac nota: "Inclusa parenthesi ex Politiani sententia adjecimus."

22.

[a] Sic A. Trinc.

[b] Ἀφυκτόν ἐστι] Ἀριστοτέλης ἔφη ἄφυκτον γὰρ τ. τ. π. ἐστι κ.

23.

[a] Sic A. Scil. Var. Hist. II. 35.

[b] ὑπ' ἀσθενείας] καὶ γεγηρακὼς εὖ μάλα ὑπό τινος ἀσθ. A. B.

[c] εἰ] ἐπεὶ A. B.

[d] αὐτὸν] αὐτὸν παρῆλθε B.

[e] ἤρετο τι] ἐπισκοπούμενος καὶ ἤρετο ὅ τι A. B.

24.

[a] Sic Trinc. Deest locus A.

25 [a] Αἰσχίνου.

Οὐχ ὁ θάνατος δεινὸν, ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά.

26 [a] Μουσωνίου.

Τοῦ ἀποθανεῖν ὁμοίως [b] ἐπικεκλωσμένου πᾶσιν, οὐ τὸ βραδέως, ἀλλὰ τὸ ἐμφανῶς ἀποθανεῖν μακάριον.

27 [a] Ἀριμνήστου.

Ἀρίμνηστος ἐρωτηθεὶς, τί μέγιστον ἀγαθὸν ἀνθρώπῳ, εἶπε, Τὸ καλῶς ἀποθανεῖν.

28 [a] Φαβωρίνου.

Ὅτι παραπλήσια τοῖς μετοικιζομένοις πάσχομεν. Καὶ γὰρ ἐκείνων [b] οἱ μὲν εὐγνώμονες ταχέως ἐξίασιν· οἱ δὲ μὴ βουλόμενοι, πρὸς βίαν.

29 [a] Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν.

Γοργίας ὁ ῥήτωρ ἤδη [b] γηραιὸς ὑπάρχων, [c] ἐρωτηθεὶς εἰ ἡδέως ἀποθνήσκοι, [d] Μάλιστα, εἶπεν· ὥσπερ γὰρ ἐκ σαπροῦ καὶ ῥέοντος [e] συνοικιδίου ἀσμένως ἀπαλλάττομαι.

30 [a] Ἐπικούρου.

Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ [b] γὰρ διαλυθὲν ἀναισθητεῖ, τὸ δὲ ἀναίσθητον οὐδὲν πρὸς ἡμᾶς.

31 [a] Ἑρμάχου.

Εὐκαταφρόνητος ὁ θάνατος· ἄπρακτον γὰρ τὸ ποιοῦν, τοῦ πάσχοντος ἀνῃρημένου.

25.

[a] Sic A. Deest lemma Trinc.

26.

[a] Sic A. Deest lemma Trinc.

[b] ἐπικεκλωσμένου] ἐπικεκλιμένου A.

27.

[a] Sic A. Deest lemma Trinc.

28.

[a] Sic fere A. ubi Φαβουρίνου. Deest lemma Trinc.

[b] οἱ μὲν ἐκείνων εὐδαίμονες] ἐκείνων οἱ μὲν εὐγνώμονες A. B.

29.

[a] Sic A. Ἐκ τῶν Ἀριστοτέλους Voss. Deest lemma Trinc.

[b] γηραιὸς] λίαν γηραιὸς A.

[c] ἐρωτηθεὶς] ὑπό τινος addit A.

[d] μάλιστα] ἥκιστα A. Voss. Tr. Legerim ἥδιστα.

[e] οἰκιδίου] συνοικιδίου A. Voss. Trinc. supra δὲ pro γὰρ Trinc.

30.

[a] Sic A. Trinc.

[b] γὰρ] δὲ A.

31.

Sic A. Trinc.

32 [a] Πορφυρίου ἐκ τῶν Πρὸς θάνατον Ἀφορμῶν.

Ὁ θάνατος διπλοῦς· ὁ μὲν οὖν [b] συνεγνωσμένος, λυομένου 601 τοῦ σώματος ἀπὸ τῆς ψυχῆς· ὁ δὲ τῶν φιλοσόφων, λυομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος· καὶ οὐ πάντως ὁ ἕτερος τῷ ἑτέρῳ ἕπεται.

33 [a] Μητροδώρου.

Πρὸς μὲν τὰ ἄλλα δυνατὸν ἀσφάλειαν πορίσασθαι· χάριν δὲ θανάτου, πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

## ΕΠΑΙΝΟΣ ΖΩΗΣ. ΡΙΘ.

1 [a] Εὐριπίδου ἐξ Ἀλκήστιδος.

Μάτην ἄρ' οἱ γέροντες [b] εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου·
ἂν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνήσκειν, τὸ γῆρας δ' οὐκ ἔτ' ἔστ' αὐτοῖς βαρύ.

2 [a] Εὐριπίδου Ὀρέστου.

Πᾶς ἀνὴρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς [b] ὁρῶν.

3 [a] Ἐν ταυτῷ.

Πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.

4 [a] Ἐν ταυτῷ.

Πανταχοῦ ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς σώφροσιν.

5 [a] Εὐριπίδου Ἰφιγενείας.

Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν·

32.
[a] Sic A. Simpl. Πορφυρίου Tr.
[b] συνεγνωσμένως] συνεγνωσμένος A. B.

33.
[a] Sic A. Deest lemma Trinc.

1.
[a] Sic A. Scil. v. 672. Simpl. Εὐριπίδου Trinc. ubi desunt lemmata usque ad n. 7.
[b] εὔχονται] εὔχεσθαι A.

2.
[a] Sic A. Scil. v. 1523.
[b] ὁρᾶν] ὁρῶν A. Voss.

3.
[a] Sic A. Scil. v. 1034.

4.
[a] Sic A. Scil. 1509.

5.
[a] Sic A. Scil. Aul. 1250.

τὸ νέρθεν οὐδέν· μαίνεται δ' ὃς εὔχεται
θανεῖν· κακῶς ζῆν κρεῖττον, ἢ [b] καλῶς θανεῖν.

6 [a] Σοφοκλέους Ἰοβάτου.

[b] Τὸν ἅιδαν γὰρ οὐδὲ γῆρας οἶδε φιλεῖν.

7 [a] Τοῦ αὐτοῦ Ἀκρισίῳ.

[b] Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.

8 [a] Εὐριπίδου Ἱππολύτου.

Ὦ λαμπρὸς αἰθὴρ, ἡμέρας θ' ἁγνὸν φάος,
ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς,
καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ' ἐγώ.

9 [a] Εὐριπίδου Μελεάγρῳ.

[b] Τερπνὸν τὸ φῶς μοι τόδ'· ὑπὸ γῆν δ' Ἅδου σκότος
[c] οὐδ' εἰς ὄνειρον οὐδ' εἰς ἀνθρώπους μολεῖν·
ἐγὼ μὲν οὖν γεγῶσα τηλίκη δόμοις
ἀπέπτυσ' αὐτὸ, κοὔποτ' εὔχομαι θανεῖν.

10 [a] Τοῦ αὐτοῦ.

Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.

11 [a] Ὁμήρου Ὀδυσσείας.

Βουλοίμην [b] κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ

[b] καλῶς θανεῖν] θανεῖν καλῶς. Voss.

6.

[a] Sic A. Scil. fr. 1.

[b] Hoc fragmentum adjecimus ex MS. A. Grotius.

7.

[a] Sic A. Scil. fr. 7.

[b] τοῦ ζῆν γὰρ οὐδεὶς] Et hic versus, quem supra quoque habuimus, in MS. A. hoc loco exstabat. Sed pro οὐδεὶς male scriptum erat οὐδέν. Grotius.

8.

[b] Sic A. Scil. fr. 14.

9.

[a] Sic A. Scil. fr. 17.

[b] τερπνὸν τὸ φῶς] Et hoc fragmentum eidem MS. debemus, sed cum mendis quas sustulimus. Erat enim heic ἄτερπνον et ὑπὸ γῆν δ' ᾅδου. Grotius.

[c] οὐδ' εἰς ὄνειρον οὐδ' εἰς ἀνθρώπους μολεῖν] Grotius: οὐδεὶς ἂν εἶδεν αὖ ἐς ἀνθρώπους μολών. Videatur Valckenærius Diatr. p. 140.

10.

[a] Sic A. Alcest. 301.

11.

[a] Sic A. Scil. Od. λ. 488.

[b] παρ' ἀρούρας] καὶ παράρουρος A. κ' ἐπάρουρος B. Gesn. marg. Scil. librarius in A. αι scripsit pro ε, et literas αρ bis exaravit.

ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

12 [a] Σοφοκλέους Ἀκρισίου.

Τὸ ζῆν γάρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας.
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.

13 [a] Λυκόφρονος ἐκ Πελοπιδῶν.

Ἀλλ' [b] ἡνίκ' ἂν μὲν ᾖ πρόσω τὸ κατθανεῖν,
ᾅδης ποθεῖται τοῖς δεδυστυχηκόσιν.
ὅτ' ἂν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου,
τὸ ζῆν ποθοῦμεν· οὐ γὰρ ἔστ' αὐτοῦ κόρος.

14 [a] Ἀπολλοδώρου ἐκ Διαμαρτάνοντος.

Ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν,
νυνὶ δ', ὅτ' ἂν γέροντος ἐκφορὰν ἴδω,
κλαίω· πρὸς ἐμὲ γάρ ἐστι [b] τοῦτ', ἐκεῖνο δ' οὔ.

15 [a] Ἀλέξιδος ἐκ Τραυματίου.

Τὸν γὰρ ὕστατον
τρέχων δίαυλον τοῦ βίου, [b] ζῆν βούλομαι.

16 [a] Ἐκ τῶν Φαβωρίνου Περὶ Γήρως.

Θεόδωρος μὲν γὰρ ὁ Κυθηραῖος [b] οὐδεμίαν ἱκανὴν πρόφασιν ἔφασκεν εἶναι τῷ σοφῷ πρὸς τὴν τοῦ βίου κατάλυσιν. Καὶ τό τε ἀκόλουθον οὕτως ἑώρα· τὸ γὰρ καταφρονοῦντα τῶν ἀνθρωπείων συμπτωμάτων [c] ἀπωστὸν ὑπ' αὐτῶν ἐκ τοῦ

12.

[a] Sic A. Scil. fr. 8. Simpl. Σοφοκλέ. Trinc.

13.

[a] Sic A. Simpl. Λυκόφρονος Tr.

[b] ἡνίκα] ἡνίκ' ἂν Jacobsius Athen. p. 14. καὶ γὰρ ἡνίκα μὲν Tr.

14.

[a] Sic A. Simpl. Ἀπολλοδώρου Trinc.

[b] τοῦτο κεῖν' ὁδοῦ] τοῦτὸ κεῖν' ὁδοῦ Trinc. τοῦτ' ἐκεῖνο δ' οὔ Dobræus Aristoph. p. (108) τοῦτο κεῖνο δ' οὐ Tyrwhittus.

15.

[a] Sic A. Simpl. Ἀλέξιδος Trinc.

[b] ζῆν om. A. B.

16.

[a] Sic A. ubi Φαβουρίνου. Trinc. Simpl. Φαβωρίνου.

[b] οὐδέμιαν] οὐδεμίμα Trinc.

[c] ὑπ' αὐτῶν] ἀπωστὸν ὑπ' αὐτῶν A. B.

βίου γίγνεσθαι, πῶς οὐχ ὑπεναντίον τῷ μόνον μὲν τὸ καλὸν ἀγαθὸν, μόνον δὲ αἰσχρὸν τὸ κακὸν εἰρηκότι;

17 [a] Σπευσίππου.

Σπευσίππῳ παραλυθέντι τὰ σκέλη, Διογένης ἐξαγαγεῖν αὐτὸν [b] παρῄνει τοῦ βίου· ὁ δὲ, Οὐ τοῖς σκέλεσιν, ἔφη, ζῶμεν, ἀλλὰ τῷ νῷ.

18 [a] Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.

Πολλοὶ [b] σοφοὶ γηραιοὶ φιλοζωοῦσι. Καὶ γὰρ οἱ ὀψὲ 602
γήμαντες φιλοζωοῦσιν, ἵν' ἐκθρέψωσι τὰ τέκνα· καὶ οὗτοι ὀψὲ ἀρετῆς ἐπήβολοι γενόμενοι, [c] ἐφίενται αὐτὴν ἐκθρέψαι.

19 [a] Καρνεάδου.

Καρνεάδης Ἀντιπάτρου αὐτὸν ἐξαγαγόντος [b] γέρων ὢν δύο κύλικας ἐκέρασε, τὴν μὲν κωνείου, τὴν δὲ οἰνομέλιτος. Καὶ τὴν τοῦ κωνείου τοῖς λοιποῖς Στωϊκοῖς εἰπὼν προπίνειν, τὴν τοῦ οἰνομέλιτος ἐξέπιε, διαπαίζων τὴν σπουδὴν τῶν ἑκουσίως ἐκλειπόντων τὸν βίον.

## ΕΠΑΙΝΟΣ ΘΑΝΑΤΟΥ. ΡΚ.

1 [a] Εὐριπίδου Τρῳάδων.

Ἄκουσον, ὥς σοι τέρψιν ἐμβαλῶ φρενί·
τὸ μὴ γενέσθαι [b] τῷ θανεῖν ἴσον λέγω.

17.

[a] Sic A. Deest lemma Trinc.

[b] παρῄνει τοῦ βίου] τοῦ βίου παρῄνει A.

18.

[a] Sic A. Simpl. Ἀρίστωνος. Tr.

[b] σοφοὶ] σοφισταὶ Arsen.

[c] ἀφίενται] ἐφίενται Voss. A. Trinc. Vid. Schæferi Melet. p. 73.

19.

[a] Dedimus ex A. B. In A. pro γέρων legitur ἱερῶν a p. m. Vide Diogen. Laërt. IV. 64.

1.

[a] Sic A. Scil. v. 630. Simpl. Εὐριπίδου Trinc.

[b] τῷ θανεῖν ἴσον λέγω] κρεῖσσον ἢ φῦναι βροτοὺς Gesn. marg. Voss. ubi βροτοὺς i. e. βροτὸν pro v. l. Grotius in mss.: "Plutarchus hunc versum adjungit illi, ἄλγος γὰρ ὄντως οὐδὲν ἅπτεται νεκροῦ." Scil. II. p. 109. E.

2 [a] Ἀριστάρχου.

[b] Ὦ θάνατε, σωφρόνημα τῶν ἀμεινόνων.

3 [a] Ἐκ τοῦ Χαλκιδάμαντος Μουσίου.

[b] Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον·
φύντα δ' ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι.

4 [a] Θεόγνιδος.

[b] Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου.
φύντα δ' ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι,
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

5 [a] Νεοπτόλεμος ἐν τῷ Περὶ ἀστεισμῶν.

Ὦ θάνατ', εἴθ' εἴης αὐτάγρετος, ὄφρ' ἂν ἑλοίμην
[b] πρώτιστον· καί κ' ἐχθρὸς ἐὼν πολὺ φίλτατος εἴης.

6 [a] Εὐριπίδου Ἡρακλειδῶν.

Εἴ τι δὴ κάτω χθονός·
εἴη γε μέντοι μηδέν· εἰ γὰρ ἕξομεν
κἀκεῖ μέριμνας οἱ θανούμενοι βροτῶν,
οὐκ οἶδα πῆ [b] τις τρέψεται· τὸ γὰρ θανεῖν

2.

[a] Sic A. Deest Trinc.

[b] ὦ θάνατε] Hunc Aristarchi versum addidimus ex MS. A. Grot.

3.

[a] Sic A. κτοῦ Χαλκιδάμαντος Voss. Arsen.

[b] Ἀρχὴν μὲν] Sunt iidem versus, qui jamjam additis pentametris sub Theognidis nomine venient. Sed cum continui hexametri duo sub Chalcidamantis nomine in MS. A. exstarent, et alibi quoque sine pentametris citantur, omittere eos nolui. Sequebantur in eodem MS. A. versus Euripidis, Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος Ἔχει· μαθεῖν δὲ πᾶσιν ἐστὶν εὐμαρές. Sed horum priorem habebimus infra Tit. CXXV. alter ex alio quodam fragmento esse videtur. Grotius. De nomine Chalcidamantis vid. Wyttenbach. ad Plutarch. p. 115. E. Verum lemma videtur, Χρῆσις ἐκ τοῦ Ἀλκιδάμαντος Μουσείου. Alcidamantis ἐν Μουσείῳ meminit Scriptor Certam. Hom. et Hesiod. p. xxvii. ed. Barnes.

4.

[a] Sic A. Scil. v. 425. Deest lemma Tr. ubi deest item vs. 2.

5.

[a] Sic A. ex emend. περὶ ἀστισμὸν pr. m. Simpl. Νεοπτολέμου Tr.

[b] πρώτιστον] πρώτιστος B.

6.

[a] Sic A. Scil. v. 593. Simpl. Εὐριπίδου Trinc.

[b] τρέπεται] τρέψεται Grotius.

κακῶν μέγιστον φάρμακον νομίζεται.

7 [a] Σοφοκλέους Φιλοκτήτου.

Ἀλλ' ἔσθ' ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων.

8 [a] Μενάνδρου Δὶς Ἐξαπατῶντος.

Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος.

9 [a] Λεωνίδα.

Εὔθυμος ὢν ἔρεσσε τὴν ἐπ' ἄϊδος
ἀταρπὸν ἕρπων· οὐ γάρ ἐστι δύσβατος,
οὐδὲ σκαληνὸς, [b] οὐδ' ἐνίπλεως πλάνης,
ἰθεῖα δὴ μάλιστα, καὶ κατακλινὴς
ἅπασα, [c] κὴκ μεμυκότων ὁδεύεται.

10 [a] Εὐριπίδου Φιλοκτήτου.

[b] Ἅλις, ὦ βιοτά· πέραινε, πρίν τινα συντυχίαν
[c] ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι.

11 [a] Σωτάδου.

[b] Πάντων ὁ λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν.

12 [a] Αἰσχύλου.

Ὦ θάνατε [b] παιὰν, μή μ' ἀτιμάσῃς μολεῖν.
[c] μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν
ἰατρὸς, ἄλγος δ' οὐδὲν [d] ἅπτεται [e] νεκροῦ.

7.

[a] Sic A. Scil. fr. 1. Simpl. Σοφοκλέ. Trinc.

8.

[a] Sic A. Cleric. p. 46. Simpl. Μενάνδρου Trinc.

9.

[a] Sic A. Λεωνίδου Trinc.

[b] οὐδενὸς πλέως πλάνης] οὐδενὶ πλεοσπλάνης Voss. Arsen. οὐδενὶ πλέον A. οὐδ' ἐνίπλεως B. ἐνίπλειος legitur aliquoties apud Homerum Od. ξ. 113. ρ. 300. τ. 580. φ. 78.

[c] κὴκμεμυκότων] κηκμεμωκότων A.

10.

[a] Sic A. Scil. fr. 5. Simpl. Εὐριπίδου Trinc.

[b] Et hæc in quatuor versus digessimus. GROTIUS.

Ib. Ἅλις] μόλις A. et mox συντυχία.

[c] ἢ κτεάτεσσιν] μὴ κτεάνεσσιν A.

11.

[a] Sic A. Trinc.

[b] πάντων λίμην] πάντων ὁ λ. A.

12.

[a] Sic A. Trinc.

[b] ποίαν] παιὰν A. B.

[c] μόνος] μόνος γὰρ B.

[d] ἅπτεται] ἕπεται Gesn. marg.

[e] νεκροῖς] νεκροῦ A. B. νεκρῶν Grotius.

13 [a]Ὑψαίου.

[b]Νέος δ' ἀπόλλυθ' ὅντινα φιλεῖ θέος.

14 [a]Σοφοκλέους Τραχινίαις.

Τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο, πλὴν θανεῖν ἐμέ·
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίγνεται.

15 [a]Ἀστυδάμαντος Ναυπλίου.

Χαῖρ'· εἰ τὸ χαίρειν ἔστι που κάτω χθονός.
δοκῶ δέ· ποῦ γὰρ [b]μή ἐστι λυπεῖσθαι βίῳ,
ἔστιν τὸ χαίρειν τῶν κακῶν [c]λελασμένῳ.

16 [a]Ἴωνος Ἀγαμέμνονος.

[b]Κακῶν ἀπέστω θάνατος ὡς ἴδῃ κακά.

17 [a]Εὐριπίδου.

[b]Τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτούς.

18 [a]Τοῦ αὐτοῦ Φρίξῳ.

[b]Τίς δ' οἶδεν εἰ ζῆν τοῦθ', ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν

13.

[a] Sic A. Deest Trinc.

[b] Νέος] Eadem est sententia quæ supra sub Menandri nomine allata est: sed cum et verba distarent et alius auctor ascriberetur in MS. A. nolui omittere. Grotius. MS. habet ὅντινα φιλεῖ, Grotius dedit ὅντιν' ἂν φιλεῖ. "Clem. Al. Strom. VI. Plut. de Cons." [p. 119. E] Grotius mss.

14.

[a] Sic A. Scil. v. 1173. Simpl. Σοφοκλέ. Trinc.

15.

[a] Sic A. Simpl. Ἀστυδάμαντος Trinc.

[b] μή ἐστι] μή τι A. B. δ' ὅπου Tyrwhittus pro δέ ποῦ.

[c] λελασμένον] λελασμένῳ A. B. λελασμένων Trinc.

16.

[a] Sic A.

[b] κακῶν] Et hunc versum unice MS. A debemus. Grot.

17.

[a] Sic A. Fr. inc. 80.

[b] τὸ μὴ γενέσθαι] Etiam hunc versum heic habebat MS. A. qui in quibusdam libris ob initii similitudinem irrepserat in locum ejus qui primo loco supra positus fuit, τὸ μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω. Grotius.

18.

[a] Sic A. Scil. fr. 15. Simpl. Εὐριπίδου Trinc.

[b] τίς δ' οἶδεν] Habet Sextus Empiricus ex eodem Euripide versus duos his persimiles, Τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, Τὸ κατθανεῖν δὲ ζῆν ἄνω νομίζεται. Et apud Diogenem Laertium, ζῆν νομίζεται βροτοῖς in fine, cetera ut apud Sextum. Grotius mss.

[c] νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.

19 [a] Ἀναξαγόρου.

Ἀναξαγόρας [b] δύο ἔλεγε διδασκαλίας εἶναι θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον.

20 [a] Δημοκρίτου.

[b] Ἔνιοι θνητῆς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συν- 603
ειδήσει δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωροῦσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνου.

21 [a] Ἰουλίου ἐκ τῶν εἰς τὸν Διονύσιον καὶ τὴν Πατρίδα λεχθέντων.

Φέρτερον εὐκλέα μοῖραν ἐπ' [b] ἀκλείῃ βιότοιο
εὑρέμεναι, ἀγαθὸν δὲ θανεῖν [c] τῷδε περὶ ἔργῳ.

22 [a] Εὐριπίδου.

Ἐχρῆν μὲν ἡμᾶς [b] σύλλογον ποιουμένους
τὸν [c] ζῶντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά·
τὸν δ' αὖ θανόντα, καὶ πόνων πεπαυμένον,
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

23 [a] Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον.

Τροφώνιος καὶ Ἀγαμήδης ποιήσαντες ἐν Δελφοῖς ναὸν

[c] νοσοῦσιν] νοσοῦσι δ' Voss. νοσοῦσι θ' A.

19.

[a] Sic A. Deest lemma Trinc.

[b] δύο ἔλεγε] ἔλεγε δύο Voss.

20.

[a] Sic Trinc. Deest locus A.

[b] Ἔνιοι] Leg. οἱ μὲν. Valckenær. ad Euripid. Hippol. 191. vide supra p. 533.

21.

[a] Sic A. Simpl. Ἰουλίου Trinc.

[b] ἀκλείῃ] ἀκλειῇ B. Supra εὐκλεᾶ vulgo.

[c] τῷδε περιέργων] Forte περὶ ἔργῳ Gesner. Sic A. B. τῷ δὴ περὶ ἔργῳ Grotius.

22.

[a] Sic A. v. Cresphont. fr. 1. Σοφοκλέους Trinc.

[b] σύλλογον] εὔλογον A.

[c] ζῶντα] φῦντα. Sic Strabo XI. Plutarch. de Poet. Clem. Alex. Strom. III. Dion. Chrys. Ὅτι εὐδαίμων ὁ σοφός. Sextus Empir. III. Theodoret. V. de Cur. Gr. Grotius in mss.

23.

[a] Sic A. Scil. fr. XXII. 7. Simpl. Πλουτάρχου Trinc.

ᾔτουν παρὰ [b] τοῦ Ἀπόλλωνος τὸν μισθόν· ὁ δὲ αὐτοῖς ἔφη δώσειν τῇ ἑβδόμῃ ἡμέρᾳ, καὶ [c] ταύτῃ ἀπέθανον. Ἔτι [d] δὲ Κλέοβις καὶ Βίτων, Κυδίππης τῆς μητρὸς αὐτῶν [e] εὐξαμένης τῇ Ἥρᾳ δοῦναι τοῖς παισὶν ὅπερ ἂν εἴη κάλλιστον, ὅτι ἑαυτοὺς [f] ὑποζεύξαντες τὴν μητέρα εἰς τὸ ἱερὸν ἀνήγαγον, τὸν βίον παραχρῆμα κατέστρεψαν. Εἰς οὓς καὶ [g] τοιόνδέ τις ἐπίγραμμα πεποίηκεν·

Οἵδε Βίτων Κλέοβίς τ' [h] ἐπὶ σώμασιν οἰκείοισιν
[i] ζεύγλαν ζευξάμενοι, μητέρα ἦν ἀγέτην
Ἥρας εἰς ἱερόν· λαοὶ δέ μιν ἐζήλωσαν
εὐτεκνίας παίδων· ἡ δὲ χαρεῖσα [k] θεᾷ
εὔξατο, παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης,
[l] οὕνεκ' ἐτίμησαν μητέρα τὴν σφετέρην.
[m] αὐτοῦ δ' εὐνηθέντε, λίπον βίον ἐν νεότητι,
ὡς τόδ' ἄριστον [n] ἐὸν καὶ μακαριστότατον.

24 [a] Ἐκ τῆς Νικολάου Ἐθῶν Συναγωγῆς.

[b] Καυσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσιν.

25 [a] Θεμιστίου ἐκ τοῦ Περὶ Ψυχῆς.

[b] Ὅπου τὸν ἀπὸ τῆς στοᾶς φιλόσοφον Ἀντίπατρον ἀποθνήσκοντα λέγουσι ἐν εὐτυχήματος μέρει διακεῖσθαι καὶ τὴν ἐκ Κιλικίας αὐτῷ γενομένην εἰς Ἀθήνας εὔπλοιαν.

[b] τοῦ om. Voss.
[c] ταύτῃ] τῇ ἑβδόμῃ A.
[d] δὲ] δὲ καὶ Voss.
[e] δεξαμένης] εὐξαμένης Voss. Tr.
[f] ὑποζεύξαντες] ὑποζεύξαντας Tr.
[g] τοιόνδε τις] τις τοιόνδε A.
[h] ἐπὶ] ἔνι Voss.
[i] ζεύγλαν] ζεύγλην Voss. φεύγλαν Trinc.
[k] θεᾷ] θεῶ B. θεοῦ Trinc.
[l] οὕνεκ' ἐτίμησαν] οὕνεκα τίμησαν A.
[m] αὐτοῦ] αὐτῷ A. unde αὐτῷ Grotius.
[n] ἐὸν] ἐὼν A. Addunt A. B. in fine, τὸ αὐτὸ καὶ Ἡρόδοτος ἐν τῷ πρώτῳ λόγῳ τῆς ἱστορίας.

24.

[a] Sic A. Ἐκ τῶν ἠθῶν τοῦ νικολάου Trinc.
[b] Καυσιανοί. Vide Davisium ad Ciceron. Tusc. I. 48.

25.

[b] Hoc fragmentum inseruimus ex A. B. In fine uterque ms. perspecte εὔπλοιαν. Grotius enotaverat εὐπαθείαν. Ceterum hoc fragmentum Plutarcho vindicavit Wyttenbachius post libellum de Sera Numinis Vindicta p. 129. et conjecturam suam postea con-

26 [a] Δημοσθένους ἐν τῷ Ὑπὲρ τοῦ Στεφάνου.

Τίς γὰρ οὐκ οἶδε τῶν ἁπάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος· τοὺς τεθνεῶτας δὲ οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς [b] ἀτιμήσει.

27 [a] Ἑρμοῦ ἐκ τῶν Πρὸς Ἀσκλήπιον.

Περὶ δὲ τοῦ θανάτου νῦν λεκτέον· τοὺς γὰρ πολλοὺς ὁ θάνατος φοβεῖ, ὡς κακὸν μέγιστον, ἀγνοίᾳ τοῦ πράγματος. Θάνατος γὰρ γίγνεται διάλυσις καμόντος σώματος. [b] Καὶ γὰρ ἀριθμοῦ πληρωθέντος τῶν ἁρμῶν τοῦ σώματος. [c] Ἀριθμὸς γάρ ἐστιν, ἡ ἁρμογὴ τοῦ σώματος. Ἀποθνήσκει δὲ τὸ σῶμα, ὅτ' ἂν μηκέτι δύναται φέρειν τὸν ἄνθρωπον. Καὶ τοῦτό ἐστι θάνατος, διάλυσις σώματος, καὶ ἀφανισμὸς αἰσθήσεως σωματικῆς.

28 [a] Θεμιστίου ἐκ τοῦ Περὶ Ψυχῆς.

[b] Ταῦτα τοῦ Τίμωνος εἰπόντος, ὑπολαβὼν ὁ [c] Πατροκλεὺς, Ὁ μὲν λόγος, εἶπεν, οὐχ ἧττον ἰσχυρὸς, ἢ παλαιός· ἔχει [d] δ' ὅμως ἀπορίας. Εἰ γὰρ ἡ δόξα τῆς ἀφθαρσίας παμπάλαιός ἐστι, πῶς αὖ πάλιν τὸ τοῦ θανάτου δέος πάντων πρεσβύτατον [e] ἔστι τῶν φόβων, εἰ μὴ νὴ Δία καὶ πάντας ἡμῖν τοῦτο τοὺς ἄλλους [f] ἐγγεγένηκεν; οὐ γὰρ νεαρὸν οὐδὲ πρόσφατόν [g] ἐστι, τὸ κλαίεσθαι τὸν τεθνηκότα. Καὶ ταῦτα

firmavit allatis duobus Plutarchi locis De Animi Tranquill. pag. 469. D. Mario 433. A.

26.

[a] Sic A. Scil. p. 330, 2. Simpl. Δημοσθένους Trinc.

[b] ἀτιμήσει] σε τιμήσει A. ἀτιμάσει Voss. ἀτιμίσει Trinc.

27.

[a] Sic A. Simpl. Ἑρμοῦ Trinc.

[b] καὶ γὰρ] Locus apparet corruptus. GESNER. Mox τοῦ ἀριθμοῦ A.

[c] ἀριθμὸς] Forte ῥυθμὸς. GESNER. Sic B. ἁρμός margo ed. Francof.

28.

[a] Sic A. v. Plutarch. Wyttenbach. T. V. Fr. VI. 1. Simpl. Θεμιστίου Trinc.

[b] Plutarchi hoc esse, non Themistii, docuit Wyttenbachius, loco supra allegato.

[c] Πατροκλεὺς] Πατροκλέας A. B. Mox ὁ καὶ λόγος Trinc.

[d] δ' ἀπορίας] δ' ὅμως ἀπορίας A. B.

[e] ἔστι] εἶναι A. Trinc. An ἦν?

[f] ἐγγεγένηκεν] ἐν γεγέννηκεν Tr.

[g] ἔστι] ἔσται A. B.

δὴ τὰ θρηνώδη καὶ δύσφημα τῶν ὀνομάτων ἐπιλέγεσθαι, τὸν
ἄθλιον, καὶ τὸν οἰκτρόν. Ἀλλ' οὕτω μὲν; ἔφη ὁ Τίμων, [h] λο-
γιζομένοις καὶ τὰ ἄφθαρτα [i] δοξάζουσι διανοεῖσθαι [k] φθει-
ρομένοις. Ὅτι μὲν οὖν τὸ μετηλλαχέναι, καὶ μεθίστασθαι, 604
καὶ οἴχεσθαι τὸν τεθνηκότα, δυσχεροῦς οὐδενὸς ἁπλῶς
[l] ἀμείψεως δέ τινος ἢ μεταβολῆς ὑπόνοιαν δίδωσιν; οὐκ
ἄδηλόν ἐστι· [m] ὅπου δὲ αὕτη γίγνεται τοῖς μεταλλάττουσιν
ἡ μεταβολὴ, καὶ πότερον εἰς χεῖρον ἢ βέλτιον, ἐκ τῶν ἄλ-
λων ὀνομάτων σκοπῶμεν. Αὐτὸ τοίνυν τὸ τοῦ θανάτου πρῶτον
οὐχ ὑπὸ γῆν ἔοικεν οὐδὲ κάτω [n] μιγνύναι χωροῦν τὸ μετηλ-
λαχὸς, ἀλλ' ἄνω φερόμενον [o] καὶ θέον· [p] ὃ δὴ καὶ λόγον
ἔχει, [q] καθαπερεὶ κάμπης τινὸς ἀνείσης, οἷον [r] ἐξάττειν καὶ
ἀναθεῖν τὴν ψυχὴν ἀποπνέοντος τοῦ σώματος, ἀναπνέου-
σαν αὐτὴν καὶ ἀναψύχουσαν. [s] Ὅρα δὲ τὸ ἀντικείμενον
θανάτῳ τὴν γένεσιν, ὡς τοὐναντίον δηλοῖ, ῥοπήν τινα κάτω
καὶ νεῦσιν ἐπὶ γῆν, ἐκείνου τοῦ περὶ τὴν τελευτὴν πάλιν
ἀναθέοντος· [t] οἱ καὶ γενέθλιον τὴν ἡμέραν καλοῦσιν, ὡς
ἄθλων καὶ πόνων μεγάλων ἀρχὴν γενομένην. Μᾶλλον δ'
ἴσως ἀφ' ἑτέρας τὸ αὐτὸ συζυγίας κατοψόμεθα καὶ σα-
φέστερον· ἀπολύεσθαι γὰρ τὸν ἀποθνήσκοντα, καὶ τὴν τε-

[h] λογιζόμενοι] λογιζομένοις A. B.
[i] δόξουσι] δοξάζουσι A.
[k] φθειρομένοις] Sensus non integer videtur. GESNER. Tentat Wyttenbachius: *ἀλλ' οὗτοι ἡμῖν, ἔφη ὁ Τίμων, λογιζομένοις καὶ τὰ ἄφθαρτα δόξουσι τὰ αὐτὰ διανοεῖσθαι τοῖς φθειρομένοις.* Putat idem quædam excidisse.
[l] ἀμείψεος] ἀμείψεως A. Trinc. Transponit Wyttenbachius, sic: δυσχεροῦς οὐδενὸς, ἁπλῶς δ' ἀμείψεως τινος—.
[m] ποῦ] ὅπου A. B. ποῖ malit Wyttenbachius.
[n] μιγνύναι] δεικνύναι aut σημῆναι Wyttenbachius. δεικνύναι Valckenærius.
[o] εἰς] καὶ A. Trinc. qui θέον *currens* non θεόν *deum*.
[p] ὃ δὴ] οἳ δὴ Wyttenbachius.
[q] καθαπερεὶ κάμπης] καθάπερ εἰ κάμπτης A. καθάπερ εἱρκτῆς τινὸς ἀνείσης Valckenærius.
[r] ἐξάπτειν καὶ ἀναθεῖναι] ἐξάττειν καὶ ἀναθεῖν Valckenærius. Prius Koënius ad Gregor. Dial. Att. XCIX. posterius fere viderat Gesnerus, qui conj. ἀναθέειν.
[s] ὅρα δὲ—ἀπαλλαττόμενον om. A.
[t] οἱ] Lego ὅθεν. GESNER. Hoc, vel ᾗ Wyttenbachius.

λευτὴν, ἀπόλυσιν καλοῦσιν· [z] ἂν δὲ ἔρημαι σώματος· τοῦτο γὰρ [a] δέμας ὀνομάζουσιν, ὡς δεδεμένης ὑπ' αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν· οὐδὲν γὰρ ἐν ᾧ πέφυκεν εἶναι κατέχεται βίᾳ· καὶ τῷ δεδέσθαι τήν τε βίαν ταύτην παραγαγόντες, ὠνόμασαν βίον· ὥσπερ οἶμαι τὴν ἑσπέραν Ὅμηρος, ἕσπερον. Ὅθεν ἀντίφωνον τοῦ βίου ὄνομα γέγονε, τὸ ἀναπαύεσθαι τὸν θνήσκοντα, μεγάλης καὶ παρὰ φύσιν ἀνάγκης ἀπαλλαττόμενον.

Οὕτως κατὰ τὴν εἰς τὸ ὅλόν μεταβολὴν καὶ κατακόσμησιν ὀλωλέναι τὴν ψυχὴν λέγομεν ἐκεῖ [b] γενομένην, ἐνταῦθα δὲ ἀγνοεῖν, πλὴν ὅτ' ἂν ἐν τῷ τελευτᾶν ἤδη γένηται· τὸ δὲ [c] πάσχει πάθος, οἷον οἱ [d] τελεταῖς μεγάλαις κατοργιαζόμενοι. Διὸ καὶ τὸ ῥῆμα τῷ ῥήματι, καὶ τὸ ἔργον τῷ ἔργῳ τοῦ τελευτᾶν καὶ τελεῖσθαι προσέοικε. Πλάναι τὰ πρῶτα καὶ περιδρομαὶ [e] κοπώδεις, καὶ διὰ σκότους [f] τινὸς ὕποπτοι πορεῖαι καὶ ἀτέλεστοι, εἶτα πρὸ τοῦ τέλους αὐτοῦ τὰ δεινὰ πάντα, φρίκη, καὶ τρόμος, καὶ ἱδρὼς, καὶ θάμβος· ἐκ δὲ τούτου, φῶς τι θαυμάσιον ἀπήντησεν, ἢ τόποι καθαροὶ καὶ λειμῶνες ἐδέξαντο, φωνὰς καὶ χορείας καὶ σεμνότητας ἀκουσμάτων ἱερῶν καὶ [g] φαντασμάτων ἁγίων ἔχοντες· ἐν αἷς ὁ παντελὴς ἤδη καὶ μεμυημένος ἐλεύθερος γεγονὼς καὶ ἄφετος περιϊὼν ἐστεφανωμένος ὀργιάζει, καὶ σύνεστιν ὁσίοις καὶ καθαροῖς ἀνδράσι, τὸν ἀμύητον ἐνταῦθα τῶν ζώντων ἀκάθαρτον ἐφορῶν ὄχλον ἐν βορβόρῳ [h] πολλῷ καὶ ὁμίχλῃ πατούμενον ὑφ' ἑαυτοῦ καὶ συνελαυνόμενον·

[z] ἂν δὲ ἔρημαι σώματος] ἔρημαι . . . σώματος . . . Sic N. cum duplici lacuna. Wyttenbachius conjicit: ἑτέρῳ δ' αὖ ῥήματι τὸ σῶμα τοῦτο δέμας ὀνομάζουσι. Valckenærius: "Facile suppleri poterit ex nota "differentia inter δέμας et σῶμα."

[a] δέμας] δὲ δέμας Trinc.

[b] γενομένην] γεγονέναι A. B.

[c] πάσχειν] πάσχει A. B. τότε δὲ πάσχει Wyttenbach.

[d] τελευταῖς] Potius τελεταῖς. GESNER. Sic A.

[e] καὶ κοπώδεις] καὶ om. A. Tr.

[f] τινος] τινες Wyttenbach.

[g] φαντασμάτων] φασμάτων A. B.

[h] πολλῷ] πολλὰ A.

φόβῳ δὲ θανάτου τοῖς κακοῖς, ἀπιστίᾳ τῶν ἐκεῖ ἀγαθῶν, ἐμμένοντα. Ἐπεὶ τό γε παρὰ φύσιν, τὴν πρὸς τὸ σῶμα τῇ ψυχῇ συμπλοκὴν εἶναι καὶ σύνερξιν, ἐκεῖθεν ἂν συνίδοις. [i] Πόθεν; ἔφη ὁ Πατροκλεύς. Ὅτι τῶν περὶ ἡμᾶς παθῶν 605
ὁ ὕπνος ἥδιστόν ἐστι. Πρῶτα μὲν γὰρ αἴσθησιν ἀλγηδόνος πᾶσι σβέννυσι διὰ τὴν ἡδονήν, πολλῷ τῷ οἰκείῳ [k] κεραννυμένης· ἔπειτα τῶν ἄλλων ἐπιθυμιῶν κρατεῖ, κἂν ὦσι σφοδρόταται. Καὶ γὰρ πρὸς ἡδονὴν οἱ [l] φιλομουσότατοι δυσανασχετοῦσιν, ἐπιόντος αὐτοῖς τοῦ καθεύδειν, καὶ περιβολὰς ἐρωμένων προΐενται καταδαρθάνοντες. Καὶ τί δεῖ ταῦτα λέγειν; [m] ὅπου καὶ τὴν ἀπὸ τοῦ μανθάνειν καὶ διαλέγεσθαι καὶ [n] φιλοσοφεῖν ἡδονὴν καταλαμβάνων ὁ ὕπνος ἀποκλείει τῆς ψυχῆς, ὥσπερ ἀπὸ ῥεύματος λείου καὶ βαθέος ὑποφερομένης. Ἡδονὴ [o] δ' ἥδε πᾶσα μὲν ἴσως οὐσίαν ἔχει καὶ φύσιν ἀλγηδόνος [p] ἀπαλλαγήν· αὕτη δὲ καὶ παντάπασιν. Οὐδενὸς γὰρ ἔξωθεν οἷον ἐπιτερποῦς καὶ κινητικοῦ προσιόντος ἡδόμεθα καταδαρθάνοντες, ἀλλ' ἐπίπονόν τινα καὶ κοπώδη καὶ σκληρὰν ἔοικεν [q] ἐξαίρων ὕπνος διάθεσιν ἥδιστον εἶναι. Αὕτη δ' ἐστὶν οὐχ ἑτέρα τῆς πρὸς τὸ σῶμα τὴν ψυχὴν συνδεούσης· [r] χωρίζεται [s] γὰρ ἡ ψυχὴ ἐν τῷ καθεύδειν ἀνατρέχουσα καὶ συλλεγομένη πρὸς ἑαυτὴν ἐκ τοῦ διατετάσθαι πρὸς τὸ σῶμα καὶ διεσπάρθαι ταῖς αἰσθήσεσι. Καίτοι λέγουσί τινες, ὡς [t] καταμίγνυσι μᾶλλον ὁ ὕπνος πρὸς τὸ

[i] Πόθεν usque ad συνδεούσης om. A. B.

[k] κεραννυμένης] κεραννυμένην Wyttenbach.

[l] φιλομουσότατοι] φιλοσώματοι Valckenærius et Wyttenbachius.

[m] ὅτι οὐ καὶ τῶν] Lego ὅπου καὶ τήν. Gesner. ὅπου probat Wyttenbach. qui τὰς pro τῶν, vel τῶν ἀπὸ τ. μ.—τὴν ψυχὴν—ὑποφερόμενην corrigit.

[n] φιλοσοφεῖν] φιλοσοφεῖν ἡδονὴν Trinc. Mox malim ὑπὸ pro ἀπό.

[o] δ' ἥδε] δὲ δὴ Wyttenbach.

[p] ἀπαλλαγὴν] Ruhnkenius ἀπαλλακτικήν.

[q] ἐξαίρων] ἐξαιρῶν Wyttenbach.

[r] χωρίζεται] χαρίζεται B.

[s] γὰρ] γὰρ ἡ ψυχὴ A. B.

[t] καταμίγνυσι] Quid si legas καταπήγνυσι vel καταζεύγνυσι? Wyttenbach. Qui hanc conjecturam postea videtur repudiasse.

σῶμα τὴν ψυχὴν, οὐκ ὀρθῶς λέγοντες. Ἀντιμαρτυρεῖ γὰρ τῇ ἀναισθησίᾳ καὶ ψυχρότητι καὶ βάρει καὶ ὠχρότητι τὸ σῶμα κατηγοροῦν [v] τῆς ψυχῆς, ἔκλειψιν μὲν, ὅτ' ἂν τελευτήσῃ· μετάστασιν δὲ, ὅτ' ἂν καθεύδῃ. Καὶ τοῦτό ἐστι τὸ τὴν ἡδονὴν ποιοῦν, [w] ἀνάπαυλαν καὶ ἀνάπαυσιν τῆς ψυχῆς, ὥσπερ ἄχθος κατατιθεμένης, καὶ πάλιν ἀναλαμβανούσης καὶ [x] ἀποδυομένης. Φεύγειν γὰρ ἔοικε κομιδῇ [y] τὸ σῶμα θνήσκουσα· δραπετεύειν δὲ καταδαρθάνουσα. Διὸ θνήσκουσι μὲν ἔνιοι μετὰ πόνων, καθεύδουσι δὲ μετὰ ἡδονῆς ἅπαντες. Ὅπου μὲν γὰρ ἀπορρήγνυται παντάπασιν ὁ δεσμὸς, ὅπου δ' ἐνδίδωσι καὶ χαλᾶται καὶ γίγνεται μαλακώτερος, οἷον ὀμμάτων, [z] ἀφαιμάτων, αἰσθήσεων παραλυομένων, καὶ προϊεμένων τῶν περὶ τὸ σῶμα τῆς ψυχῆς ἐν πᾶσιν. Εἶτα πῶς, εἶπεν ὁ Πατροκλεὺς, οὐ δυσφοροῦμεν οὐδὲ ἀλγοῦμεν ἐγρηγορότες; Πῶς δὲ, ἔφη ὁ Τίμων, κειρομένων μὲν αἰσθάνεται κουφότητος ἡ κεφαλὴ καὶ ῥαστώνης, [a] κομώντων δὲ βαρύτητος αἴσθησιν οὐ πάνυ παρεῖχεν; καὶ λυθέντες μὲν ἐκ δεσμῶν ἥδονται, δεδεμένοι δὲ οὐκ ἀλγοῦσι· καὶ φῶς [b] ἐπεισενεχθὲν ἐξαίφνης συμποσίῳ θόρυβον καὶ κρότον ὑφ' ἡδονῆς ἐποίησε, πρότερον δὲ τὸ ἀλαμπὲς ἐδόκει μὴ ἐνοχλεῖν, μηδὲ λυπεῖν τὴν ὄψιν. Ἓν γὰρ αἴτιον [c] ὤφειλε τούτων ἁπάντων, ὅτι [d] τῷ παρὰ φύσιν τὸ κατὰ μικρὸν σύνηθες καὶ σύντροφον ἐποίει τὴν αἴσθησιν, ὥστε μὴ πάνυ δυσχεραίνειν

[v] τὴν ψυχὴν] τῆς ψυχῆς A. B.

[w] ἀνάπαυλαν καὶ ἀνάπαυσιν] ἀπόλαυσιν καὶ ἀνάπαυλαν A. B. Wyttenbachius ἀπόλαυσιν καὶ ἀνάπνευσιν codici A. falso tribuit, quæ Ruhnkenii est unice conjectura. Idem melius ἀπόλυσιν vice ἀπόλαυσιν reponit.

[x] ἀποδυομένης] ὑποδυομένης Wyttenbach.

[y] τὸ κομιδῇ] κομιδῇ τὸ A. Trinc.

[z] ἀφαιματῶν] ἀφ' αἱμάτων B.

Ib. τῶν] τὴν A. Hunc locum sic expedivit Wyttenbachius: οἷον ἁμμάτων ἀφιεμένων, τῶν αἰσθήσεων παραλυομένων καὶ προιεμένων τὴν περὶ τὸ σῶμα τῆς ψυχῆς ἔντασιν.

[a] κομῶν] κομώντων A. B. κομῶν Trinc.

[b] ἐπισυνεχθὲν] ἐπεισενεχθὲν A. B. ἐπισενεχθὲν Trinc.

[c] ὤφειλε] ὦ φίλε Wyttenbach.

[d] τὸ] τῷ Wyttenbach.

πάσχουσαν· ἀπαλλαγείσης δὲ καὶ [e] μεταβαλούσης εἰς τὴν [f] φύσιν. Φαίνεται γὰρ εὐθὺς τῷ οἰκείῳ τὸ ἀλλότριον καὶ τῷ ἡδομένῳ τὸ λυποῦν, ὅτι παρῆν, καὶ βαρύνον. Οὕτω δὴ καὶ τὴν ψυχὴν τῇ πρὸς τὰ θνητὰ πάθη καὶ μέρη [g] καὶ ὄργανα κοινωνίᾳ τὸ παρὰ φύσιν καὶ ἀλλότριον οὐ πάνυ 606
δοκεῖ πιέζειν ὑπὸ [h] μικρᾶς συνηθείας· [i] αἰσθάνεται δὲ [k] ῥᾳστώνης καὶ κουφότητος μεθ' ἡδονῆς ἀφεμένη τῶν διὰ τοῦ σώματος ἐνεργειῶν· ἐκείναις γὰρ ἐνοχλεῖται, καὶ περὶ ἐκείνας ἐκπονεῖται, καὶ ἀπ' [m] ἐκείνων σχολῆς δεῖται καὶ ἀναπαύσεως· ἃ δὲ αὐτὴ καθ' αὑτὴν ἐνεργεῖ κατὰ φύσιν, τὸ σκοπεῖν ἀεί τι, καὶ λογίζεσθαι, καὶ μνημονεύειν, καὶ θεωρεῖν, πρὸς ταῦτα [n] ἄτρυτός ἐστι καὶ ἀκόρεστος. Καὶ γὰρ ὁ κόρος κόπος ἐν ἡδοναῖς ἔοικεν εἶναι τῷ μετὰ σώματός τι τὴν ψυχὴν πάσχειν. Ἐπεὶ [o] πρός τε τὰς αὐτὰς ἡδονὰς οὐ κατηγοροῦσι, συμπεπλεγμένη δὲ, ὥσπερ εἴρηται, τῷ σώματι ταυτὰ τῷ Ὀδυσσεῖ πέπονθεν. Ὡς γὰρ ἐκεῖνος τῷ ἐρινεῷ προσφὺς εἴχετο, καὶ περιέπτυσσεν, οὐ ποθῶν οὐδὲ ἀγαπῶν ἐκεῖνον, ἀλλὰ δεδιὼς ὑποκειμένην τὴν Χάρυβδιν· οὕτως ἔοικεν ἡ ψυχὴ ἔχεσθαι καὶ περιπεπλέχθαι δι' εὔνοιαν οὐδεμίαν αὐτοῦ καὶ χάριν, ἀλλ' ὀρρωδοῦσα τοῦ θανάτου τὴν [p] ἀδηλότητα.

> κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι,

κατὰ τὸν σοφὸν Ἡσίοδον, οὐ σαρκίνοις τισὶ δεσμοῖς πρὸς τὸ

[e] μεταβαλλούσης] μεταβαλούσης A.

[f] φύσιν] et *naturæ restitutus fuerit* (*maxime gaudet ac oblectatur.*) Videtur aliquid deesse. Inclusa parenthesi nos adjecimus. Gesner. Probat Wyttenbachius.

[g] μέρη] μέρη καὶ ὄργανα A. B.

[h] μικρᾶς] Forte μακρᾶς. Gesnerus. Probante Wyttenbachio.

[i] αἰσθάνεσθαι] αἰσθάνεται A. B.

[k] ῥαστώνης καὶ κουφότητος—ἀφιεμένη] ῥαστώνη καὶ κουφότητι—ἐφιεμένη A. Trinc. Scripsi ἀφεμένη.

[m] ἐκείνων] ἐκείνης A. B.

[n] ἄτρυτος] ἄτροτος A. ἄτρωτος B.

[o] πρός τε τὰς αὐτὰς ἡδονὰς οὐ κατηγοροῦσι] πρός γε τὰς αὐτῆς ἡ. οὐκ ἀπαγορεύει. Wyttenbach.

[p] ἀδηλότητα] εἰδωλότητα A. B.

σῶμα τὴν ψυχὴν κατατείναντες, ἀλλ' ἕνα δεσμὸν αὐτῇ καὶ μίαν [q] φυλακὴν μηχανησάμενοι καὶ περιβαλόντες, τὴν ἀδηλότητα καὶ ἀπιστίαν τῶν μετὰ τὴν τελευτήν. Ἐπεὶ τήν γε πεισθεῖσαν ὅσα ἀνθρώπους περιμένει τελευτήσαντας, καθ' Ἡράκλειτον, οὐδὲν ἂν κατάσχοι.

29 [a] Πλάτωνος ἐκ τῆς Σωκρατικῆς Ἀπολογίας.

Δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι, μηδὲ αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα· ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦ τόπου ἐνθένδε εἰς ἄλλον τόπον. Καὶ [b] εἴτε δὴ μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐπειδ' ἄν τις καθεύδων μηδὲ ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. Ἐγὼ γὰρ [c] οἶμαι, εἴ τι ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε [d] μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας [[e] τὰς] τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτὶ, δέοι σκεψάμενον [[f] εἰπεῖν] πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ [g] ἔτι ἰδιώτην τινὰ, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. Εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος [h] ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν [i] πλέον ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι, ἢ μία νύξ· εἴ τ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, [k] καὶ ἀληθῆ ἐστι τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη, ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς ᾅδου ἀπαλ-

[q] μηχανὴν] φυλακὴν A.

29.

[a] Sic fere A. ubi ἀπολαύσεως. Scil. p. 40. C. Simpl. Πλάτωνος Trinc.

[b] εἴτε δὴ] δὴ om. Trinc.

[c] ἂν οἶμαι εἴ τινα] οἶμαι εἴ τι A. οἶμαι εἴ τε Trinc.

[d] μηδὲ] μηδὲν Trinc.

[e] τὰς om. A. Trinc.

[f] εἰπεῖν ὁπόσας] πόσας A. Trinc. sine εἰπεῖν.

[g] ὅτι] ἔτι A. Trinc.

[h] ἐγώγε] ἐγώ τε Trinc.

[i] πλέον] πλεῖον A. B.

[k] καὶ ἀληθῆ] καὶ γὰρ ἀληθῆ Tr.

λαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι, [l] εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστὰς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς, καὶ Αἰακὸς, καὶ Τριπτόλεμος, καὶ ἄλλοι ὅσοι [m] τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη [n] ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ συγ- 607 γενέσθαι, καὶ Μουσαίῳ, καὶ Ἡσιόδῳ, καὶ Ὁμήρῳ;

30 Τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν.

31 [a] Πλάτωνος ἐκ τοῦ Φαίδωνος.

Βαβαὶ, ὦ Σιμμία, ἦ πού χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι, ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, [b] ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν. Ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερον [[c] νῦν] διάκειμαι, ἢ ἐν τῷ πρόσθεν βίῳ· καὶ ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν· οἳ ἐπειδ' ἂν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστα καὶ μάλιστα ᾄδουσι, γεγηθότες, ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗπέρ εἰσι [d] θεράποντες. Οἱ δὲ ἄνθρωποι διὰ τὸ αὐτῶν [e] δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται, καὶ φασὶν αὐτοὺς θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν, καὶ οὐ [f] λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει ὅτ' ἂν πεινῇ, ἢ ῥιγοῖ, ἤ τινα ἄλλην λύπην λυπῆται, οὔτε αὐτὴ [[g] ἥ τε] ἀηδὼν, καὶ χελιδὼν, καὶ [[h] ὁ] ἔποψ, [i] ἃ δή φασι

[l] εὑρήσει] εὑρήσεις Trinc.
[m] τῶν ἡμιθέων] θεῶν A. Trinc.
[n] ἂν εἴη ἡ ἀποδημία] ἡ ἀποδημία ἂν εἴη A. ἡ om. Trinc. et mox ib. om. ἢ αὖ. N. 30. exstat pag. 41. C.

31.
[a] Sic A. Scil. p. 84. D. Τοῦ αὐτοῦ Trinc.
[b] ὅτι] ὅτε A. Trinc.
[c] νῦν om. A. Trinc.
[d] θεράποντες] θεραπεύοντες Trinc.
[e] δέος τοῦ] δέος τοῦ ἀνθρώπου μᾶλλον A. B.
[f] λογίζονται ὅτι οὐδὲν] λογίζεται οὐδὲν ὅτι A. λογίζεται ὅτι οὐδὲν Tr.
[g] ἥτε om. A. Trinc. καὶ χελιδὼν om. Trinc.
[h] ὁ om. A. B. Trinc.
[i] ὃν] ἃ A. B. ἃ δεῖ Trinc.

διὰ λύπην θρηνοῦντα ᾄδειν. Ἀλλ᾽ οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν, οὔτε οἱ κύκνοι· ἀλλ᾽ ἅτε οἶμαι τοῦ Ἀπόλλωνος ὄντες μαντικοί τέ εἰσι, καὶ προειδότες τὰ ἐν ᾅδου ἀγαθὰ ᾄδουσι, καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ. Ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν κύκνων, καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου [k] αὐτοῦ, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι.

32 [a] Ἐν ταυτῷ.

[b] Καὶ γὰρ ἀκήκοα ὅτι [c] ἐν εὐφημίᾳ χρὴ τελευτᾶν· ἀλλ᾽ [d] ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε.

33 [a] Ἡροδότου ἱστορίας πέμπτης.

Τραυσοὶ δὲ τὰ μὲν ἄλλα πάντα κατὰ ταυτὰ τοῖσιν ἄλλοισι [b] Θρηξὶν ἐπιτελέουσι, κατὰ δὲ τὸν γινόμενον σφίσι καὶ ἀπογινόμενον ποιεῦσι [c] τοιάδε· τὸν μὲν γινόμενον περιϊζόμενοι οἱ προσήκοντες ὀλοφύρονται, ὅσα μιν δεῖ ἐπεί τ᾽ [d] ἐγένετο ἀναπλῆσαι, κακὰ ἀνηγεόμενοι τὰ ἀνθρωπήϊα πάντα πάθεα· τὸν δ᾽ ἀπογινόμενον παίζοντές τε καὶ ἡδόμενοι γῇ κρύπτουσιν, ἐπιλέγοντες ὅσων κακῶν ἐξαπαλλαχθεὶς ἐστὶν ἐν πάσῃ εὐδαιμονίῃ.

34 [a] Πλάτωνος ἐκ τοῦ Ἀξιόχου.

Ὅτι τὸ κοινὸν δὴ τοῦτο καὶ πρὸς πάντων θρυλλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος· καὶ [b] δεῖ [c] τοῦτον ἐπιδόντας,

[k] αὐτοῦ] Al. non habetur αὐτοῦ. Gesner.

32.

[a] Sic A. Scil. p. 117. D.
[b] Ἀκήκοα δὲ ὅτι] Καὶ γὰρ ἀκήκοα ὅτι A. B.
[c] καὶ] ἐν B.
[d] ἡσυχίαν] ἡσυχίαν τε A.

33.

[a] Sic A. Scil. V. 4. Simpl. Ἡροδότου Trinc.
[b] θρηξὶν] θερξὶν B.
[c] τοιάδε] τάδε A.
[d] ἐγένετο] ἐγένοντο Voss. Trinc. Mox vulg. ἂν ἠγεόμενοι.

34.

[a] Sic A. Sc. p. 365. B. Simpl. Πλάτωνος Trinc.
[b] ὅτι δεῖ] ὅτι om. A. Trinc.
[c] ἐπιεικῶς διαγαγόντας, εὐθύμως] τοῦτον ἐπιδόντας A. Trinc.

μονονουχὶ παιανίζοντας, εἰς τὸ χρεὼν ἀπιέναι.

35 Ὅτι ὁ θάνατος οὔτε [b] πρὸς τοὺς ζῶντάς ἐστιν, οὔτε πρὸς τοὺς μετηλλαχότας. Πῶς φῂς, ὦ Σώκρατες; Ὅτι περὶ μὲν τοὺς ζῶντας, οὐκ ἔστιν· οἱ δὲ ἀποθανόντες οὐκ εἰσίν.

## ΣΥΓΚΡΙΣΙΣ ΖΩΗΣ ΚΑΙ ΘΑΝΑΤΟΥ. ΡΚΑ. 608

1 Σιμωνίδου.

[b] Πολλὸς γὰρ ἡμῖν ἐστι τεθνάναι χρόνος,
ζῶμεν δ' ἀριθμῷ παῦρα κακῶς ἔτεα.

2 [a] Εὐριπίδου Τρῳάδων.

Οὐ ταυτὸν, ὦ παῖ, [b] τῷ βλέπειν τὸ κατθανεῖν·
[c] τὸ μὲν γὰρ οὐδὲν, τῷ δ' ἔνεισιν ἐλπίδες.

3 [a] Σιμωνίδου.

Βιοτῆς μὲν γὰρ
χρόνος ἔστι βραχύς· κρυφθεὶς δ' ὑπὸ γῆς
κεῖται θνητὸς τὸν ἅπαντα χρόνον.

4 [a] Ἀντιφάνους ἐκ Διπλασίων.

Οὐθεὶς πώποτε,
ὦ δέσποτ', ἀπέθαν', ἀποθανεῖν πρόθυμος ὤν·
τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους

35.

[b] πρὸς—πρὸς] περὶ—περὶ Gesn. marg. v. p. 369. B.

1.

[a] Sic A. Deest Trinc.

[b] Πολλὸς γὰρ] Hoc fragmentum est ex MS. A. Grotius. Duo iambi possunt ex istis Grotii facile efformari: πολλὸς γὰρ ἡμῖν εἰς τὸ τεθνάναι χρόνος· Ζῶμεν δ' ἀριθμῷ παῦρα μοχθηρῶς ἔτη. Forte alterius locus est ex hoc Simonidis expressus, quem habet mox Stobæus, βιοτῆς μὲν γὰρ κ. τ. λ. Valcken.

2.

[a] Sic A. Scil. v. 628. Simpl. Εὐριπίδου Trinc.

[b] τῷ βλ.] τὸ βλ. Trinc. Voss. τῷ κατθ. A. B.

[c] τὸ μὲν] τῷ μὲν Voss. Trinc.

3.

[a] Sic fere Trinc. ubi Σιμονίδου. Deest locus A.

4.

[a] Sic A. Simpl. Ἀντιφάνους Tr.

ἄκοντας ὁ Χάρων, ἐπὶ τὸ [b] πορθμεῖόν τ' ἄγει
σιτιζομένους, καὶ πάντ' ἔχοντας ἀφθόνως.
ὁ δὲ [c] λιμός ἐστιν ἀθανασίας φάρμακον.

5 [a] Μενάνδρου Φιλαδέλφοις.

Ὡς ἡδὺ τὸ ζῆν, εἰ μεθ' ὧν κρίνει τὶς ἄν.
τοῦτ' ἐστὶ τὸ ζῆν· οὐχ ἑαυτῷ [b] ζῆν μόνον.

6 [a] Ἡδύ τ' ἀποθνήσκειν, ὅτῳ ζῆν μὴ παρέσθ' ὡς βούλεται.

7 [a] Μενάνδρου Ὑποβολιμαίου.

Τοῦτον εὐτυχέστατον λέγω,
ὅστις θεωρήσας ἀλύπως, Παρμένων,
τὰ σεμνὰ ταῦτ' ἀπῆλθεν, ὅθεν ἦλθεν, ταχύ·
τὸν ἥλιον τὸν κοινὸν, [b] ἄστρ', ὕδωρ, νέφη,
πῦρ· ταῦτα, κἂν ἑκατὸν ἔτη [c] βιῷς ἔτι,
[d] ὄψει παρόντα, κἂν ἐνιαυτοὺς σφόδρ' ὀλίγους,
σεμνότερα τούτων [e] ἕτερα δ' οὐκ ὄψει ποτέ.
πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον,
ὅν φημι, [f] τοῦτον ἢ 'πιδημίαν, ἐν ᾧ
ὄχλος, ἀγορὰ, κλέπται, κυβεῖαι, διατριβαί.

[b] ἐπὶ τόπον θεῖον τ'] Egregie Valckenærius Diatr. p. 280. ἐπὶ τὸ πορθμεῖόν τ'.

[c] λοιμός] λιμὸς A. B. Arsen.

Ib. λιμὸς] Puto novam esse sententiam. Λιμὸς autem multo est elegantius hoc loco quam λοιμός. Grotius.

5.

[a] Sic A. Cleric. p. 190. Simpl. Μενάνδρου Trinc.

[b] ζῆν] ζῇ A.

6.

[a] ἡδύ δ'] Et heic novam sententiam inchoavimus, et ut oportebat in versuum partes digessimus. Grotius. Equidem trochaicum effeci.

7.

[a] Sic A. Cleric. p. 184. Deest lemma Trinc.

[b] ἀστέρα] ἀστέρας B. ἄστρ' Bentleius.

[c] βιώσεται] βιώσηται A. βιώσεαι B. ταῦτα, κἂν ἑκατὸν ἔτη βιῷς ἔτι Porsonus. ταῦτα γὰρ ἔτη κἂν ἑκατὸν βιῷς ἔτι Jacobsius in Athen. p. 106.

[d] ὄχει] ὄψει A. B. Voss. Arsen.

[e] ἕτερα] ἕτερα δ' Porsonus.

[f] τοῦτον ἐπιδημίαν ἀνθρώπῳ] τοῦτον τὴν ἐπιδημίαν ἄνω A. B. Voss. τοῦτον, τὸν ἐπιδημίας, ἐν ᾧ Jacobsius in Athen. p. 33. τοῦτον ἢ 'πιδημίαν, ἐν ᾧ Porsonus. κἀπιδημίαν βροτῶν Grotius.

ἂν [g] πρῶτος ἀπίῃς καταλύσεις, βελτίονα
ἐφόδι' ἔχων ἀπῆλθες, ἐχθρὸς οὐδενί·
ὁ προσδιατρίβων δὲ [h] κοπιάσας ἀπώλεσε·
κακῶς τε γηρῶν, ἐνδεής του γίγνεται·
ῥεμβόμενος ἐχθροὺς [i] ηὗρ', ἐπεβουλεύθη ποθέν·
οὐκ εὐθανάτως ἀπῆλθεν ἐλθὼν εἰς χρόνον.

8 [a] Φιλήμονος.

Θανεῖν [b] ἄριστόν ἐστιν, ἢ ζῆν ἀθλίως.

9 [a] Σοφοκλέους Πηλέως.

Τὸ μὴ γὰρ εἶναι κρεῖσσον, ἢ τὸ ζῆν κακῶς.

10 [a] Μενάνδρου.

[b] Ὅτ' ἂν ᾖ γέρων τις ἐνδεής τε τὸν βίον,
οὐδὲν τὸ θνήσκειν δεινὸν, ἀλλ' ἐν τῷ καλῷ
ἑκάτερον αὐτῶν τὴν διάγνωσιν φέρει.

11 [a] Ἐπίκληρος.

Ὥσπερ τῶν χορῶν
οὐ πάντες ᾄδουσ', ἀλλ' ἄφωνοι δύο τινὲς
ἢ τρεῖς παρεστήκασι πάντων ἔσχατοι
εἰς τὸν ἀριθμὸν, καὶ τοῦθ' ὁμοίως πως ἔχει·
χώραν κατέχουσι, ζῶσι δ' οἷς ἐστιν βίος.

12 [a] Εὐριπίδου.

[b] Καίτοι ποτ' εἴ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν

[g] πρῶτος ἀπέλθῃς] πρῶτον ἀπίῃς B. ἀπίῃς A. B. Voss. Arsen.

[h] κοπιάσας] σκοπιάσας A. ἐκοπίασεν ἀπολέσας Porsonus.

[i] εὗρ'] ηὗρ' A.

8.

[a] Sic A. Voss. Cleric. p. 360. Σοφοκλέ. Trinc.

[b] ἄριστον] κράτιστον A. Voss.

9.

[a] Sic A. Fr. inc. 31. Cum præc. cohæret Trinc.

10.

[a] Sic A. Cleric. p. 254.

[b] Hoc fragmentum et quod sequitur itidem est ex MS. A. Nos in versus digessimus, quæ ibi confusa exstabant. Grotius. Dedimus οὐδὲν—καλῷ pro οὐδ' ἂν—καλῶς ex emendatione Valckenærii. οὐδ' αὖ A. Idem etiam conjecerat διάγνωσιν pro Grotiano ἀγάγνωσιν. Sed et MS. A. habet διάγνωσιν.

11.

[a] Sic A. et hoc lemma habuit Photius. Præponendum Μενάνδρου.

12.

[a] Sic Trinc. Scil. Fr. inc. 81.

[b] Octo hujus fr. versus priores

τυφλὸν [c] προηγητῆρος ἐξηρτημένον,
[d] εὐδαιμονῶν ταῖς συμφοραῖς ἐλοιδόρουν,
ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων.
καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως
πέπτωχ' ὁ τλήμων. ὦ φιλόζωοι βροτοὶ,
οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν
[e] ποθοῦσ' ἔχοντες μυρίων ἄχθος κακῶν.
οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου.
τὸ ζῆν γὰρ ἴσμεν· τοῦ θανεῖν δ' ἀπειρίᾳ
πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.

13 [a] Ἀπολλοδώρου Ἀδελφῶν.

Ἀπραγμόνως ζῆν, ἡδύ· μακάριος βίος
καὶ σεμνὸς, ἂν ᾖ μεθ' ἑτέρων ἀπραγμόνων·
ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ 609
εἶναι πίθηκον, ὦ ταλαιπώρου βίου.

14 [a] Ἀπολλοδώρου ἐκ Κιθαρῳδοῦ.

Οὐ πανταχοῦ Φρύξ εἰμι· [b] τοῦ ζῆν ἣν ὁρῶ
κρεῖσσον τὸ μὴ ζῆν, [c] χρήσομαι τῷ κρείττονι.

15 [a] Εὐριπίδου Ἐρεχθέως.

Ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας
ζῆν φημι μᾶλλον, τοῦ [b] βλέπειν τοὺς μὴ καλῶς.

ignorat A. qui tres posteriores Euripidis Phœnici tribuit.

[c] τυφλὸν προηγητῆρος] Ita nos ob versum. Vulgo προηγήτορος. Grot.

[d] κακοδαίμονος] Nostra hæc erat conjectura pro ἆ δαιμόνων. At Salmasius propius ad receptam lectionem ἀδημονῶν ταῖς συμφοραῖς. Grotius. Rectius εὐδαιμονῶν Valckenærius.

[e] ποθοῦσ' ἔχοντες] Ita restitui. Vulgo erat πόθον ἔχοντες. Grot.

13.

[a] Sic A. Voss. Simpl. Ἀπολλοδώρου Trinc.

14.

[a] Sic A. Deest lemma Trinc.

[b] τοῦ] τὴν A.

[c] χρησόμεθα] χρήσομαι A. B. Voss. Arsen. Hoc reposui propter librorum auctoritatem, licet vulgatum non spreverim.

15.

[a] Sic A. Scil. fr. 11. Simpl. Εὐριπίδου Trinc.

[b] βλάπτειν τοὺς] Malim βλέπειν, quod ἀντὶ τοῦ ζῆν accipitur. Gesner. βλέπειν τοὺς A. N. Voss. Arsen. βλέποντος B.

Ib. βλέποντος] βλέπειν τὰ μὴ κα-

16 [a] Αἰσχύλου Ἰξίονος.

Βίου πονηροῦ θάνατος εὐκλεέστερος.

17 [a] Αἰσχύλου.

Ζωῆς [b] πονηρᾶς θάνατος [c] εὐπορώτερος.
[d] τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι
κρεῖσσον, κακῶς πάσχοντα.

18 [a] Ἀριστοφάνους Ταγηνισταῖς.

Καὶ μὴν πόθεν [b] Πλούτων [c] γ' ἂν ὠνομάζετο,
εἰ μὴ τὰ βέλτιστ' ἔλαχεν; ἐν δέ σοι φράσω,
ὅσῳ τὰ κάτω [d] κρείττω 'στὶν, ὧν ὁ Ζεὺς ἔχει.
ὅτ' ἂν γὰρ ἱστᾶς, τοῦ ταλάντου τὸ [e] ῥέπον
κάτω βαδίζει, τὸ δὲ κενὸν πρὸς τὸν Δία.
[f] οὐ γὰρ ἄν ποτε [g] οὕτως ἐστεφανωμένοι
[h] προὐκείμεθ', οὐδ' ἂν [i] κατακεκριμένοι,

λῶς habebant MSS. At vulgata editio τοῦ βλάπτειν τοὺς μὴ κ. Emendatio est Salmasii, optima haud dubie. Nam βλέπειν est *vivere*, ut supra, οὐ ταὐτὸν ὦ παῖ τῷ βλέπειν τὸ κατθανεῖν. Grotius.

16.

[a] Sic fere A. ubi Ἰξίωνος. Simpl. Αἰσχύλου Trinc.

17.

[a] Sic A. Deest lemma Trinc.

[b] πονήρας] Vulgo πονηρᾶς, minus recte ad sensum. Grotius.

[c] εὐπορώτερος] αἱρετώτερος alias. Grotius in mss.

[d] τὸ μὴ γενέσθαι δ' ἐστιν ἢ πεφυκέναι Κρεῖσσον κακῶς πράσσοντα] Vulgo tantum erat τὸ μὴ γενέσθαι δ' ἐστι μᾶλλον ἢ πεφυκέναι. Cætera addebat MS. A. Ego illud μᾶλλον ut versui officiens delevi. Grot.

18.

[a] Sic fere Voss. ubi contracte ταγηνι. Simpl. Ἀριστοφάνους N. Deest lemma Trinc. locus A.

[b] Πλούτων] Pluto Deus inferorum. Πλοῦτος divitiæ. Gesner.

[c] ἂν] γ' ἂν Voss.

[d] κρείττον' ἐστιν] κρείττω 'στὶν Voss. ut Grotius e conjectura.

[e] ῥέον] Malim πλέον. Gesner. ἱστᾶς posui pro ἱστὰς, et ῥέπον pro ῥέον. Grotius. ῥέπον habet Voss.

[f] ἀλλ' οὐ γὰρ ἂν] Supplevi versum qui mancus erat, οὐ γὰρ ἄν. Grotius.

[g] οὕτως ἐστεφανωμένοι] οὕτω στεφανωμένοι Voss.

[h] προὐκείμεθ' οὐδ' ἄνω κάτω κεχρισμένοι] Ita emendavi hunc locum cum legeretur οὐδ' ἂν κατακεκρίμενοι. Grotius. Jacobsius ad Athenæum p. 67: οὐδ' ἄρα ποθ' οὕτως ἐστεφανώμενοι νεκροὶ προυκείμεθ' ἄν, οὐδ' αὖ κάρα κεχρισμένοι. Tyrwhittus κρᾶτα κεχρισμένοι. Quid si legamus, Οὐ τἆρ' ἂν οὕτως ἐστεφανωμένοι ποτε Προυκείμεθ', οὐδ' αὖ κρᾶτα κατακεχρισμένοι. Possis item sic, Οὐ τἆν ποθ' οὕτως ἐστεφανωμένοι ut κόμας in fine versus, vel simile quid, excidisse statuas.

[i] κατακερίμενοι] Lego κατακε-

εἰ μὴ καταβάντας εὐθέως πίνειν ἔδει.
διὰ ταῦτα γάρ τοι καὶ καλοῦνται μακάριοι.
πᾶς γὰρ λέγει τις, ὁ μακαρίτης οἴχεται·
κατέδαρθεν εὐδαίμων, ὅτ' οὐκ ἀνιάσεται.
καὶ [k] θύομέν γ' αὐτοῖσι τοῖς ἐναγίσμασιν,
ὥσπερ θεοῖσι, καὶ χοάς [l] γε χέομεν,
αἰτούμεθ' αὐτοὺς δεῦρ' ἀνιέναι [m] τἀγαθά.

19 [a] Μενάνδρου Ἐπίκληρος.

Τί δ' ἂν [b] ἔχοι νεκρὸς
ἀγαθὸν, ὅπου γ' οἱ ζῶντες ἔχομεν [c] οὐδὲ ἕν;

20 [a] Εὐριπίδου Ἑκάβης.

Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
ἢ ζῶν· τὸ γὰρ ζῆν [b] μὴ καλῶς, μέγας πόνος.

21 [a] Σοφοκλέους.

Ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,
ἢ δειλός ἐστιν, ἢ δυσάλγητος φρένας.

22 [a] Σοφοκλέους Αἴαντι.

Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει,
προσθεῖσα κἀναθεῖσα [b] τοῦ γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,

χρισμένοι. GESNER. κατακρινόμενοι Voss. κατακεκρυμμένοι N. m. p.

[k] θύομεν γ'] Illud γ' ob versum interposui. GROTIUS.

[l] γε] τε Voss. χεύομεν Grotius pro χέομεν.

[m] τἀγαθὰ] τὰ καλὰ γαθὰ Voss.

19.

[a] Sic A. Cleric. p. 254. Simpl. Μενάνδρου Trinc.

[b] ἔχοι] ἔχοιμεν A.

[c] οὐδὲ] μηδὲ Voss.

20.

[a] Sic A. Scil. v. 377. Simpl. Εὐριπίδου Trinc.

[b] μὴ—μέγας πόνος] οὐ—πόνος μέγας A.

21.

[a] Sic A. Trinc. Scil. fr. inc. 31.

22.

[a] Sic A. Scil. v. 473. Deest lemma Trinc.

[b] τοῦ γε] τοῦ δὲ A. B.

ὅστις [c] κεναῖσιν ἐλπίσιν θερμαίνεται.
ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.

23 [a] Αἰσχύλος ἐν Ὅπλων Κρίσει.

Τί γὰρ καλὸν ζῆν βίον, [b] ὃς λύπας φέρει;

24 [a] Εὐριπίδου Πειρίθου.

Οὐκ οὖν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ' ἢ ζῆν κακῶς;

25 [a] Εὐριπίδου.

Τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ πᾶς ἀνὴρ,
γῆ καὶ σκιὰ, τὸ μηδὲν εἰς οὐδὲν ῥέπει.

26 [a] Διογένους.

Διογένης, εἰπόντος τινὸς, χαλεπόν ἐστι τὸ ζῆν· Οὐκ, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν.

27 [a] Ἐπικτήτου.

Ψυχὴν σώματος ἀναγκαιότερόν ἰᾶσθαι· τοῦ γὰρ ζῆν κακῶς τὸ [b] τεθνάναι κρεῖσσον.

28 [a] Πύρρωνος.

Πύρρων ἔλεγε [b] μηδὲν διαφέρειν ζῆν, ἢ τεθνάναι. Καί τις ἔφη πρὸς αὐτόν· Τί οὖν σὺ οὐκ ἀποθνήσκεις; ὁ δὲ, Ὅτι, εἶπεν, οὐδὲν διαφέρει.

29 [a] Ἐπικτήτου.

Θαυμαστὴ ἡ φύσις, καὶ ὥς φησιν [b] ὁ Ξενοφῶν, φιλόζωος. Τὸ γοῦν σῶμα, τὸ πάντων ἀηδέστατον καὶ ῥυπαρώτατον,

[c] κεναῖσιν] καλαῖσιν A. B.

23.
[a] Sic A. Simpl. Αἰσχύλου Trinc.
[b] ὃς] ὅσας Grotius.

24.
[a] Sic A. Scil. fr. 8. Simpl. Εὐριπίδου Trinc.

25.
[a] Sic A. Scil. Meleagr. fr. 15. Deest lemma Trinc.

26.
[a] Sic A. Deest lemma Trinc.

27.
[a] Sic A. Trinc. Fr. 92.
[b] τεθνᾶναι] θνᾶναι A.

28.
[a] Sic A. Deest lemma Trinc. Epicteto tribuit Schweighæuser. Fr. 93.
[b] Videatur Epicharmus apud Sext. Empiric. c. Math. I. 273.

29.
[a] Sic A. Trinc. Fr. 94.
[b] Ξενοφῶν] ὁ Ξενοφῶν A. B.

στέργομεν καὶ θεραπεύομεν· εἰ γὰρ ἔδει πέντε μόναις ἡμέραις θεραπεῦσαι τὸ τοῦ γείτονος σῶμα, οὐκ ἂν ὑπεμείναμεν· ὅρα γὰρ οἷόν ἐστιν, ἕωθεν ἀναστάντα τρίβειν τοὺς ὀδόντας τοὺς ἀλλοτρίους, καί τι τῶν ἀναγκαίων ποιήσαντα ἀπονίζειν ἐκεῖνα τὰ μέρη. Τῷ ὄντι θαυμαστόν ἐστι φιλεῖν πρᾶγμα, ᾧ τοσαῦτα λειτουργοῦμεν καθ' ἑκάστην ἡμέραν. [c]Νάττω τουτονὶ τὸν θύλακον· εἶτα κενῶ. Τί τούτου βαρύτερον; Ἀλλὰ θεῷ δεῖ με ὑπηρετεῖν. Διὰ τοῦτο μένω καὶ ἀνέχομαι λούων τὸ δύστηνον τοῦτο σωμάτιον, χορτάζων, σκέπων· ὅτε δὲ νεώτερος ἦν, καὶ ἄλλό τι προσέταττέ μοι, καὶ ὅμως ἠνειχόμην αὐτοῦ. Διὰ τί οὖν οὐκ ἀνέχεσθε, ὅτ' ἂν ἡ δοῦσα ἡμῖν φύσις τὸ σῶμα ἀφαιρῆται; Φιλῶ [d]φησιν αὐτό. Οὐκ οὖν ὃ νῦν [e]δὴ ἔλεγον, καὶ αὐτὸ τὸ [f]φιλεῖν ἡ φύσις σοι δέδωκεν; Ἡ δ' αὐτὴ λέγει, Ἄφες αὐτὸ ἤδη, καὶ μηκέτι πρᾶγμα ἔχε.

30 [a]Τοῦ αὐτοῦ.

[b]Ἐὰν νέος τελευτᾷ τὸν βίον, ἐγκαλεῖ τοῖς θεοῖς, ὅτι δέον αὐτὸν ἤδη ἀναπεπαῦσθαι, πρᾶγμα ἔχει· [c]καὶ οὐδὲν ἧττον ὅτ' ἂν προσίῃ ὁ θάνατος ζῆν βούλεται, καὶ πέμπει παρὰ τὸν ἰατρὸν, καὶ δεῖται αὐτοῦ μηδὲν ἀπολιπεῖν προθυμίας καὶ ἐπιμελείας. Θαυμαστοὶ, ἔφη, ἄνθρωποι, μήτε ζῆν θέλοντες, μήτε ἀποθνήσκειν.

31 [a]Πλάτωνος.

Τοῦ πλείονος βίου, φαυλοτέρου δὲ, τὸν [b]ἐλάσσω ἀμείνονα

[c] νάττω Gesnerus vertit *sarcio*, cum *farcio* potius debuisset. Hoc est enim, non illud, licet usitatum minus, τὸ νάττω, quod et τὸ σάττω *infercio*. Sed et istud forsan autor ipse usurpaverit. GATAKER. M. A. III. 3. p. 68.

[d] φησὶν] Lego φής. GESNER.

[e] δὴ ἔλεγον] διέλεγον A. B.

[f] φιλεῖν] φιλεῖν αὐτὸ A. B.

30.

[a] Sic A. fr. 95. Deest lemma Tr.

[b] ἐὰν νέος τελευτᾷ] Malim ἐὰν γέρων μὴ τελευτᾷ. GESN. Excidisse quædam perspexerunt viri docti.

[c] οὐδὲν ὅταν προσήῃ] οὐδὲν ἧττον ὅταν προσήει A. προσίῃ Meibomius.

31.

[a] Sic A. Deest lemma Trinc.

[b] ἐλάσσω] ἐλάσσονα A.

ὄντα παντὶ πάντως προαιρετέον.

32 Τοῦ αὐτοῦ.

[b]Οὐκ ἄμεινον ζῆν τῷ μοχθηρῷ ἀνθρώπῳ, κακῶς ἄρ' ἀναγκάζῃ ζῆν.

33 [a]Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν ἀποθανουμένῳ, ὑμῖν δὲ βιωσομένοις· ὁπότεροι δὲ ἡμῶν [b]ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ, πλὴν ἢ τῷ θεῷ.

34 [a]Ἀπολλώνιος Κορνηλιανῷ.

Βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ [b]πράττοντι, δυστυχοῦντι δὲ μακρός.

35 [a]Ἰούνκου ἐκ τοῦ Περὶ Γήρως.

Ὃς δ' εἰδοίη ἀληθὴς εἶναι, καὶ αὖ ἐπίσης ὠφελήσειν τε καὶ διδάξειν τὰ ὄντα νεανίσκους τε καὶ γέροντας καὶ τὴν ἄλλην ἡλικίαν, ὧδέ μοι εἰρήσεται. Πάντα μὲν ὅσα γίγνεται καθ' ἡντινοῦν αἰτίαν, ἀνάγκη λυθῆναι· τὸ γὰρ ἀΐδιον καὶ ἄφθαρτον μόνῳ τῷ θείῳ προσήκει, τὸ δὲ ὑπὸ τεχνίτου συστὰν ἔκ τινος ὕλης προσδέχεται φθοράν. Ὁπότε καὶ φυτοῖς ἅπασι καὶ λίθοις καὶ σιδήρῳ μεταβολὴν ἴσμεν ξυμβαίνουσαν ὁμοίαν θανάτῳ· δένδροις [b]μὲν καὶ τοῖς ἐξ αὐτῶν ξύλοις, σηπεδόνα· λίθοις δὲ, διάλυσιν· σιδήρῳ δὲ, ἰόν. Φασὶ δὲ καὶ τὸν κόσμον αὐτὸν, διότι ἐγένετο, κατὰ γνώμην μέντοι τοῦ ποιήσαντος θεοῦ, λελῦσθαί ποτε ἐκ μέρους, καὶ αὖθις λυθήσεσθαι εἴς τε πῦρ καὶ ὕδωρ. Ἀνθρώπῳ δὲ καὶ τοῖς ἄλλοις ζώοις, ἡμέροις τε καὶ ἀγρίοις, ἐξιέναι τοῦ βίου πᾶσα

32.

[b] Inserui ex A. B. ubi deest fragm. seq.

33.

[a] Deest lemma Trinc. Ex Apol. Socr. extr.

[b] ἔρχονται] ἄρχονται Trinc.

34.

[a] Sic A. Simpl. Ἀπολλωνίου Tr.

[b] πράττοντι] πράσσοντι A.

35.

[a] Sic A. Simpl. Ἰούνκου Trinc.

[b] δὲ καὶ] Malim μὲν καί. GESN. Sic A.

[c] τοῖς] τὸ τοῖς A.

ἀνάγκη. Καὶ σοὶ μὲν ἴσως, μᾶλλον δὲ ἄλλῳ τινὶ τῶν ἀμυήτων φιλοσοφίας, δόξει τὸ πρᾶγμα χαλεπὸν εἶναι, [d] διὰ τὰ προειρημένα· εὖ δὲ ἴσθι ἐξεταζόμενον, αἱρετώτερον φανεῖται τῆς περισπουδάστου ζωῆς. Ἐνταῦθα μὲν γὰρ ἐνοχλεῖ τοῖς ἀνθρώποις [e] ὁ βραχὺς πόνος, οὐδὲ λύπη καὶ ταλαιπωρία ξύντομος· ἀλλ' οὐδὲ τῶν προσηκόντων εἰς σώματος ἐπιμέλειαν [f] εὔροια πάρεστιν, οὐδὲ [g] ὑγίεια συνεχής· οὐδὲ μὴν αἱ θαυμαζόμεναι παρά τισιν ἡδοναὶ καθ' ἑαυτὰς εἰλικρινεῖς τε 611
καὶ ῥάδιαι γίγνονται, τοῦ μὲν ἀνιῶντος προκαταρχομένου, καὶ ὥσπερ ἀπογεννῶντος αὐτὰς, τοῦ δὲ οἰκείου βραχεῖαν καὶ ὀλιγοχρόνιον ἔχοντος τὴν τέρψιν· πόλεμοι δὲ καὶ μάχαι, καὶ πράξεις ἐπίπονοι, [h] μακρὸν ἂν εἴη λέγειν, ὁποῖά ἐστιν, εἴ τις ἐθέλοι μαρτύρια ποιήσασθαι τὰ ἔργα ἐπὶ τοῖς λόγοις, [i] οὐδὲ γὰρ ἐπὶ θανάτοις [k] οἰκείων καὶ φίλων ὁποῖα δρῶσι πατέρες ἢ μητέρες, καιρὸς ἐπιτήδειος ὁ παρὼν ἐξηγήσασθαι· ἀλλ' οὐδὲ τὰς ἐπὶ τὸ πλουτεῖν μεταβολὰς, οὐδὲ κινδύνους ὑπομένουσιν ἑκάστων διὰ γῆς καὶ θαλάττης. Ἐπὶ πᾶσι γὰρ ὁ δαίμων τέτακται, μεταποιεῖν τἀγαθὰ καὶ διώκειν ἀντεισάγων αὐτοῖς τὰς συμφοράς. Ὁ δὲ θάνατος ἄδηλον μὲν εἰ φύσιν ἔχει τῆς ἀληθοῦς ζωῆς, τοῦ ζῆν ὑπό τινων ἀποτεθνηκέναι λεγομένου· ὅσα μέντοι ἀγαθὰ παρέχει, δεξάμενος ἡμᾶς ἀδεῶς τε καὶ πιστῶς, [l] ἀκούετε. Τὰ μὲν γὰρ ἐνοχλοῦντα ταῖς ψυχαῖς σώματα, μυρίων ὄντα κακῶν αἴτια, ἐπιστὰς διέλυσεν, ἀποδιδοὺς αὐτὰ τοῖς στοιχείοις, καὶ προστιθεὶς ἅπερ ἐξ αὐτῶν ὥσπερ ἐδανείσατο· τὰς δὲ ψυχὰς ἄγει

[d] διὰ] om. A.
[e] οὐ] ὁ A. B.
[f] εὔρροια] Lego εὔροια vel εὐπορία. Gesner. εὐρεῖα A.
[g] ὑγίεια] ὑγιείας A.
[h] μακρὰν] Potius μακρὸν. Gesner. Sic A.
[i] οὐδὲ γὰρ] Hinc usque ad finem om. A. B.
[k] οἰκείων] οἰκεῖ Trinc.
[l] ἀκούεται μὲν γὰρ] Locus non est integer. Gesner. Dedi conjecturam Tyrwhitti.

ἐπὶ τὸν [m] ἀειδῆ τόπον, ἔνθα δικασταί τε καὶ ἀψευδεῖς θεοὶ τῶν τε δικαίων καὶ τῶν ἀδίκων κάθηνται κρίνοντες, κατὰ μίαν ταττομένας εἰς τὸν προεληλυθότα δῆμον· αἵ τε ἀπαλλαττόμεναι τῶν δικαιωτηρίων τυχοῦσαι νίκης, ἐπὶ πεδία Ἠλύσια καὶ τὰς ἐκεῖσε εὐπαθείας ἐκπέμπονται· καὶ εἰσὶ φίλαι τε καὶ κοινωνοὶ δαιμόνων τε καὶ ἡρώων, οὓς τέως ἀκοῇ παραλαμβάνουσαι ἐθαύμαζον, στρατηγῶν τε καὶ βασιλέων οὐκ ἀπολείπονται· τὰς δὲ χαλεπὰς καὶ ἀδίκους μεταβολὴ καταλαμβάνει, καὶ οὐκέτι ἀφικνοῦνται ἐς τὸ φῶς.

36 [a] Πλάτωνος ἐκ τοῦ Γοργίου.

Ἀλλὰ μὲν δὴ καὶ ὥς γε σὺ λέγεις, δεινὸς ὁ βίος. Οὐ γάρ τοι θαυμάζοιμ' ἄν, [b] εἰ Εὐριπίδης ἀληθῆ ἐν τοῖσδε λέγει, λέγων·

τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν;

καὶ ἡμεῖς δὲ τῷ ὄντι ἴσως τέθναμεν· [d] ἤδη γάρ του ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, [e] ὡς νῦν ἡμεῖς τέθναμεν, καὶ τὸ μὲν σῶμά ἐστιν ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο, ἐν ᾧ [f] αἱ ἐπιθυμίαι εἰσὶ, τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν [g] ἄνω κάτω, καὶ τοῦτο ἄρα τὶς μυθολογῶν κομψὸς ἀνὴρ, ἴσως Σικελικός τις ἢ Ἰταλικὸς, παράγων τῷ ὀνόματι, διὰ τὸ πιθανόν τε καὶ πιστικὸν, ὠνόμασε πίθον· τοὺς δὲ ἀνοήτους, ἀμυήτους· τῶν δὲ [h] ἀνοήτων τοῦτο τῆς ψυχῆς, οὗ [i] αἱ ἐπιθυμίαι εἰσὶ, τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανὸν, ὡς τετρημένος εἴη πίθος, διὰ τὴν ἀπληστίαν ἀπεικάσας. Τού-

[m] ἀειδῆ] Alludit ad ᾅδην, i. e. *inferos*. Gesner.

35.

[a] Sic A. Scil. p. 492. E. Simpl. Πλάτωνος Trinc.

[b] ἢ] εἰ A. Trinc.

[c] δὲ om. A. Mox τῷ ὄντι om. Trinc.

[d] ἤδη γάρ του] ὅπερ ἤδη τοῦ Gesn. marg.

[e] ὡς] καὶ A. B.

[f] αἱ om. A.

[g] ἄνω καὶ κάτω] καὶ om. A. Tr.

[h] ἀνοήτων] ἀμυήτων Gesn. marg.

[i] αἱ om. A.

ναντίον [k] δὴ οὗτός σοι, ὦ Καλλίκλεις, ἐνδείκνυται, ὡς τῶν ἐν ᾅδου τὸ ἀειδὲς δὴ λέγων, οὗτοι ἀθλιώτατοι εἶεν οἱ ἀμύητοι, καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον [l] ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ· τὸ δὲ κόσκινον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, [m] τὴν ψυχὴν εἶναι· τὴν δὲ ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοήτων, ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν δι' ἀπιστίαν τε καὶ λήθην.

37 [a] Ξενοφῶντος ἐκ τῆς πρὸς Σώτειραν Ἐπιστολῆς.

Ἐμοὶ δὲ δοκεῖ, ὦ Σώτειρα, οὔτε ὁ θάνατος αἰσχρὸν, οὔτε τὶ 612
καλὸν εἶναι. Ὅρος δὲ ζωῆς, οὐχ εἷς πάντων, ἀνισάριθμον ἐτῶν φέρων τὸ μὴ ὅμοιον τῆς γενέσεως τῇ ἰσχύϊ ἡ ἀρρωστία. Τὴν δὲ πρόφασιν, [b] πότε μὲν αἰσχρὰν οὖσαν, ἐφέλκεσθαι θάνατον· ὅπου δὲ καλὴν καὶ πρεπώδη.

38 [a] Πλάτωνος ἐκ τοῦ Ἀξιόχου.

Ὅτι τῆς συγκρίσεως ἅπαξ διαλυθείσης, καὶ τῆς ψυχῆς εἰς τὸν οἰκεῖον ἱδρυθείσης τόπον, τὸ [b] ὑπολειφθὲν σῶμα γεῶδες ὂν καὶ ἄλογον, οὐκ ἔστιν ὁ ἄνθρωπος. Ἡμεῖς γάρ ἐσμὲν ψυχὴ, ζῶον ἀθάνατον, ἐν θνητῷ [c] καθειργμένον φρουρίῳ· τὸ δὲ σκῆνος τουτὶ πρὸς κακοῦ περιήρμοσεν ἡ φύσις, [d] ᾧ τὰ μὲν ἥδοντα [e] ἀμυχιαῖα καὶ πτηνὰ καὶ πλείοσιν ὀδύναις ἀνακεκραμένα, τὰ δὲ ἀλγεινὰ, ἀκραιφνῆ καὶ πολυχρόνια καὶ τῶν ἡδόντων ἄμοιρα· νόσους δὲ καὶ φλεγμονὰς τῶν αἰσθητηρίων, ἔτι δὲ τὰς ἐντὸς κακότητας, οἷς ἀναγκαστῶς, ἅτε παρεσπαρμένη τοῖς [f] πόροις, ἡ ψυχὴ συναλγοῦσα τὸν οὐράνιον ποθεῖ καὶ σύμφυλον αἰθέρα, καὶ διψᾷ τῆς ἐκεῖ δι-

[k] δὴ] δὲ A. B.
[l] ὕδωρ] οἶνον A. B.
[m] τὴν] τῇ A.

36.

[a] Sic A. Simpl. Ξενοφῶντος Tr.
[b] τότε] πότε A. B.

37.

[a] Sic A. Scil. p. 365. Simpl. Πλάτωνος Trinc.
[b] ὑπολειφθὲν] ὑποληφθὲν A.
[c] καθειργμένον] καθειρμένον Trinc.
[d] ᾧ τὰ μὲν usque ad finem om. A. B. N.
[e] ἀμυγιαῖα] Forte ἀμυχιαῖα, i. e. ἐπιπόλαια. Gesner. ἀμυχαῖα Tr.
[f] πόροις] πονηροὺς Trinc.

αἴτης καὶ χορείας [g] ὀριγνωμένη· ὥστε ἡ τοῦ ζῆν ἀπαλλαγὴ κακοῦ τινός ἐστιν εἰς ἀγαθὸν μεταβολή.

39 [a] Σωκράτους.

Ἐν τῷ βίῳ καθάπερ ἐν θεάτρῳ ἄχρι τούτου δεῖ παραμένειν, ἄχρις οὗ τὴν τῶν ἔργων θέαν ἐπιτερπῆ εἶναι συμβαίνει.

40 [a] Ἡροδότου.

Ὦ βασιλεῦ, ὡς πολὺ ἀλλήλων κεχωρισμένα [b] ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σέωυτὸν, δακρύεις. Ὁ δὲ εἶπεν· Ἐπῆλθε γάρ με λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, [c] εἰ τούτων γε ἐόντων τοσούτων, οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται. Ὁ δὲ ἀμείβετο λέγων· Ἕτερα τούτου παρὰ τὴν ζωὴν πεπόνθαμεν οἰκτρότερα· ἐν γὰρ οὕτω βραχεῖ βίῳ, οὐδεὶς οὕτως ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκεν, οὔτε τούτων, οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐχὶ ἅπαξ τεθνάναι μᾶλλον βούλεσθαι ἢ ζῆν· αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράσσουσαι καὶ βραχὺν ἐόντα μακρὸν δοκεῖν εἶναι ποιεῦσι τὸν βίον. Οὕτω ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζωῆς καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν· ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών.

## ΠΕΡΙ ΠΕΝΘΟΥΣ. ΡΚΒ.

1 [a] Βακχυλίδου Ὕμνων.

Αἲ αἲ τέκος ἁμέτερον,
μεῖζον ἢ πενθεῖν ἐφάνη κακὸν,
[b] ἀφθέγκτοισιν ἴσον.

[g] ὀριγνωμένη] ὀριγνομένη Trinc.

38.

[a] Sic A. Deest lemma Trinc.

39.

[a] Sic A. Scil. VII. 46. Deest locus Trinc.

[b] ἔργα σὰ τὸ νῦν] ἔργα σὰ ὁ νῦν A.

[c] καὶ τούτων — τοσούτων οὐδεὶς ἐς] εἰς τούτων—οὐδ' εἰς A.

1.

[a] Sic A. Simpl. Βακχυλίδου Tr.

[b] ἀφθέγκτοισιν] ἀφεύκτοισιν Gesn. marg.

2 [a] Αἰσχύλου Ἡρακλειδῶν.

Οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι.

3 [a] Σόλωνος.

Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

4 [a] Εὐριπίδου Τρῳάδων.

Ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπονθόσι,
[b] θρήνων τ' ὀδυρμοὶ, μοῦσά θ' ἢ λύπας ἔχει.

5 [a] Ὁμήρου Ὀδυσσείας.

Τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι,
κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν. 613

6 [a] Τοῦ αὐτοῦ Ἰλιάδος.

Πάτροκλον κλαίωμεν· [b] ὃ γὰρ γέρας ἐστὶ θανόντων.

7 Εὐριπίδου Ἀρχελάου.

Ἔστι καὶ παρὰ δάκρυσι κείμενον ἡδὺ βροτοῖς,
ὅτ' ἂν ἄνδρα φίλον στενάχῃ τὶς ἐν [b] οἴκῳ.

8 [a] Εὐριπίδου Οἰνόμαος.

Ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ
θνητοῖς, ὀδυρμοὶ, δακρύων τ' ἐπιρροαί·
ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν,
καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.

9 [a] Εὐριπίδου Φρίξῳ.

Καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει·

2.
[a] Sic A. Simpl. Αἰσχύλου Trinc.

3.
[a] Sic A. Trinc.

4.
[a] Sic A. Scil. v. 604. Simpl. Εὐριπίδου Trinc.
[b] θρηνόντ'] θρήνων τ' A. Voss. Trinc. Grotius e Scaligeri emendatione.

5.
[a] Sic A. Scil. Odyss. δ. 197. Simpl. Ὁμήρου Trinc.

6.
[a] Sic A. Scil. Il. ψ. 9.
[b] τὸ] ὃ B. Grotius.

7.
[a] Sic A. Scil. fr. 27. Simpl. Εὐριπίδου Trinc.
[b] οἴκτῳ] οἴκῳ A. B.

8.
[a] Sic A. Scil. fr. 5. Deest lemma Trinc.

9.
[a] Sic A. Scil. fr. 16. Deest lemma Trinc.

ἢν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ
πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.

10 [a] Σοφοκλέους Τεύκρου.

Ὡς ἄρ', [b] ὦ τέκνον, κενὴν
ἐτερπόμην σου τέρψιν εὐλογουμένου,
ὡς ζῶντος· ἡ δ' ἄρ' ἐν σκότῳ λαθοῦσά με
[c] ἔσαιν' [d] Ἐριννὺς ἡδοναῖς ἐψευσμένον.

11 [a] Σοφοκλέους.

Θανόντι κείνῳ συνθανεῖν [b] ἔρως μ' ἔχει.
[c] ἥξεις· [d] ἐπείγου μηδὲν εἰς τὸ μόρσιμον.

12 [a] Φιλήμονος.

Τί δὴ [b] ποιεῖς πλέον; οὐδέν· ἡ λύπη δ' ἔχει,
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν, τὸ δάκρυον.

13 [a] Δημοσθένους ἐξ Ἐπιστολῶν.

Ἀλλ' ἔχει τινὰ τοῖς ἀδικουμένοις ῥαστώνην, τὸ λέγειν ἃ πάσχουσιν, ὥσπερ τοῖς ἀλγοῦσι τὸ στένειν.

14 [a] Σόλωνος.

Σόλων ἀποβαλὼν υἱὸν [b] ἔκλαιεν· εἰπόντος δέ τινος πρὸς αὐτὸν, ὡς οὐδὲν προὔργου ποιεῖ κλαίων· Δι' αὐτὸ γάρ τοι τοῦτο, ἔφη, κλαίω.

15 [a] Ὀβρίμου ὑπὲρ Πρωτογόνου.

Ἔστι δὲ ἀνθρώποις καὶ θρήνων χάρις, καὶ ταύτην ἔδωκεν ἡμῖν παραμυθίαν ἡ φύσις ἐν ταῖς τύχαις.

10.

[a] Sic A. Scil. fr. 3. Deest lemma Trinc.
[b] ὦ] αὖ A.
[c] ἔσαιν'] ἔσσεν A.
[d] ἐριννὺς] ἐρινῦς Voss.

11.

[a] Sic A. Scil. inc. 32. Deest lemma Trinc.
[b] μ' ἔρως] ἔρως μ' A. B.
[c] ἥξεις] ἔρξεις A.
[d] ἐπείου] ἐπείγου A. B. ἐπείσου Tr.

12.

[a] Sic A. Trinc. Cleric. p. 328.
[b] ποιεῖς] ποεῖς A. Voss.

13.

[a] Sic A. Sc. p. 1485. Simpl. Δημοσθένους Trinc.

14.

[a] Sic A. Deest locus Trinc.
[b] ἔκλαυσεν] ἔκλαιεν A.

15.

[a] Sic A. Simpl. Ὀβρίμου Trinc.

16 [a] Πλάτωνος Νόμων ιβ̅.

Δακρύειν μὲν τὸν τετελευτηκότα ἐπιτάττειν, ἢ μὴ, ἄμορφον· θρηνεῖν δὲ καὶ ἔξω τῆς οἰκίας φωνὴν ἐξαγγέλλειν, ἀπαγορεύειν· καὶ τὸν νεκρὸν εἰς τὸ φανερὸν προάγειν τῶν ὁδῶν, κωλύειν· καὶ ἐν ταῖς ὁδοῖς πορευόμενον φθέγγεσθαι, καὶ πρὸ ἡμέρας ἔξω τῆς πόλεως εἶναι.

## ΠΕΡΙ ΤΑΦΗΣ. ΡΚΓ.

1 [a] Εὐριπίδου Πολυΐδῳ.

Ἀνθρώπων δὲ μαίνονται φρένες,
δαπάνας ὅτ᾽ ἂν θανοῦσι πέμπωσιν κενάς.

2 [a] Μενάνδρου Περινθίας.

Οὐ πώποτ᾽ ἐζήλωσα πολυτελῆ νεκρόν.
εἰς τὸν [b] ἴσον ὄγκον τῷ σφόδρ᾽ ἔρχετ᾽ εὐτελεῖ.

3 [a] Μοσχίωνος.

Ἐάσατ᾽ ἤδη γῇ καλυφθῆναι νεκρούς·
[b] ὅθεν δ᾽ ἕκαστον εἰς τὸ σῶμ᾽ ἀφίκετο,
ἐνταῦθ᾽ ἀπελθεῖν, πνεῦμα μὲν πρὸς αἰθέρα,
τὸ σῶμα δ᾽ εἰς γῆν. Οὔ τι γὰρ κεκτήμεθα
ἡμέτερον αὐτὸ, πλὴν ἐνοικῆσαι βίον·
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.

4 [a] Εὐριπίδου Ἀνδρομέδας.

Τὸ ζῆν [b] ἀφέντες, τὸ κατὰ γῆν τιμῶσί σου.

16.

[a] Sic A. Scil. p. 959. Simpl. Πλάτωνος Trinc.

[b] ἢ] εἰ A. Trinc. Infra τὸ νεκρὸν Trinc. Mox προάγειν pro προσάγειν A. Gesn. marg. Trinc.

1.

[a] Sic A. Scil. fr. 6. Simpl. Εὐριπίδου Trinc.

2.

[a] Sic fere A. ubi περινθείας. Cleric. p. 146. Simpl. Μενάνδρου Tr.

[b] ἴσον] Vulgo ἴσον δ᾽.

3.

[a] Sic A. Voss. Μοσχίονος Trinc. Gesnerus: *Moschionis, al. Menandri.* Euripidi in Suppl. 533. non Moschioni hoc fragmentum tribuendum docet Gataker. N. T. S. p. 48. A. M. P. p. 327.

[b] ὅθεν δ᾽ ἕκαστον] ὅθεν θ᾽ ἕκαστος B. ἕκαστος Arsen.

4.

[a] Sic A. Scil. fr. 23. Simpl. Εὐριπίδου Trinc.

[b] ἀφέντες] ἀφέντος Grotius.

Κενόν γ'· [c]ὅτ' ἂν γὰρ ζῇ τις, εὐτυχεῖ, Κρέων.

5 [a]Λάωνος ἐκ Διαθηκῶν.

Τῶν γὰρ μετ' ἐμαυτὸν εἰκόνος καὶ μνημάτων
ἀεὶ καταφρονῶν, ζῶν ἔχειν τὶ βούλομαι.

6 [a]Ὁμήρου Ὀδυσσείας.

Σῆμά τε οἱ χεῦσαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι.

7 [a]Τοῦ αὐτοῦ Ἰλιάδος.

Ὄφρά ἑ ταρχύσωσι κασίγνητοί τε ἔται τε, 614
τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.

8 [a]Τοῦ αὐτοῦ.

Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας.

9 [a]Θουκυδίδου.

Ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος.

10 [a]Ἐκ τῆς Αἰλιανοῦ Συμμίκτου Ἱστορίας.

[b]Ὁ Σωκράτης, ἐπεὶ τὸ κώνειον ἔμελλε πίεσθαι, τῶν ἀμφὶ [c]τὸν Κρίτωνα ἐρομένων αὐτὸν, τίνα τρόπον ταφῆναι [d]θέλει· Ὅπως ἂν ὑμῖν, ἀπεκρίνατο, ᾗ ῥᾷστον.

11 [a]Διογένους.

Ἔλεγεν ὁ Διογένης, ὅτι ἂν μὲν κύνες αὐτὸν σπαράξωσιν, Ὑρκανία ἔσται ἡ τάφη· ἂν δὲ γύπες, [b]ἀπτέον· ἂν δὲ μη-

[c] ὅταν] ὅτου A. B. An ὅπου?

5.

[a] Sic A. Deest locus Trinc.

6.

[a] Sic A. Scil. α. 291. Deest locus Trinc.

7.

[a] Sic A. Scil. Il. π. 674. Simpl. Ὁμήρου Trinc. Excidisse h. l. credo Il. η. v. 85.

8.

[a] Sic A. Scil. Il. τ. 228. Deest lemma Trinc.

9.

[a] Sic A. Scil. II. 43. Deest lemma Trinc.

10.

[a] Sic A. Deest lemma Trinc.

[b] Σωκράτης] ὁ Σωκράτης A.

[c] τῶν κριτῶν] Malim τοὺς κριτὰς Gesner. τῶν κριτῶν δ' A. B. ἀμφὶ τὸν Κρίτωνα vere correxit Kuhnius ad Ælian. I. 16. Locum non Æliani esse monet Perizonius p. 1054=371.

[d] θέλει] ἐθέλει A.

11.

[a] Sic A. Deest lemma Trinc.

[b] ἀπτέον] Vox est in Græco corrupta: sed autores alii Indos, alii Iberos cadavera vulturibus lancinanda proposuisse scribunt.

δεὶς προσέλθῃ, ὁ χρόνος [c] καλλίω τὴν ταφὴν διὰ τῶν πολυτελεστάτων, [d] ἡλίου καὶ ὄμβρου.

12 [a] Ἐκ τῆς Νικολάου ἐθῶν συναγωγῆς.

Κίοι τοὺς ἀποθανόντας κατακαύσαντες, καὶ ὀστολογήσαντες, ἐν ὅλμῳ τὰ ὀστᾶ [b] καταπτίσσουσιν, εἶτα ἐνθέντες εἰς πλοῖον, καὶ κόσκινον λαβόντες ἀναπλέουσιν εἰς πέλαγος, καὶ πρὸς τὸν ἄνεμον ἐξοδιάζουσιν, ἄχρις ἂν πάντα ἐκφυσηθῇ καὶ ἀφανῆ γένηται.

Ταῦροι, Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκαταθάπτουσιν. Ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου, ἢ μέρος, ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον; [c] πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος.

Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς [d] ᾖ.

Κολχοὶ τοὺς τελευτήσαντας οὐ θάπτουσιν, ἀλλὰ [e] κρεμῶσιν [f] ἀπὸ δένδρων.

Φρύγες οὐ κατορύττουσι τοὺς ἱερεῖς τελευτήσαντας, ἀλλ' ἐπὶ λίθους δεκαπήχεας τιθέασιν ὀρθούς.

Πάνηβοι Λίβυες, ὅτ' ἂν αὐτοῖς βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα κατορύττουσι, τὴν δὲ κεφαλὴν ἀποκόψαντες καὶ [g] χρυσώσαντες ἀνατιθέασιν ἐν ἱερῷ.

---

Gesner. ἀπτέωνται A. B. Βακτριανὴ vel Βακκαίων conjicit Menagius ad Diogen. Laert. VI. 79. Vide Plutarch. II. p. 499. D.

[c] καλλίων τῇ ταφῇ] καλλίω τὴν ταφὴν A. B. Voss.

[d] ἡλίου] οἴνου A.

12.

[a] Sic A. Trinc.

[b] καταπτίσσουσιν] καταπίσσουσιν A.

[c] πρὸς] omittit Voss. relicto spatio. δεικνύων Arsen.

[d] ᾖ] ἦν Voss. Trinc.

[e] κρεμῶσιν] κρεμνῶσιν A.

[f] ἀπὸ] ἐπὶ Arsen. Voss. Gesn. marg. Apollon. Rhod. III. 200. Ἔνθα δὲ πολλαὶ Ἑξείης προμάλοι τε καὶ ἰτέαι ἐκπεφύασι· Τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται, Δέσμιοι, εἰσέτι νῦν γὰρ ἄγος Κόλχοισιν ὄρωρεν Ἀνέρας οἰχομένους πυρὶ καίεμεν· οὐδ' ἐνὶ γαίῃ Ἔστι θέμις στείλαντες ὕπερθ' ἐπὶ σῆμα χέεσθαι, Ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις Δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος. Ubi v. Scholiastem. Hunc locum, nec non Ælian. IV. 1. Sil. Ital. XIII. 486. indicavit Valesius.

[g] χρυσώσαντες] αρύσωσαντες Tr.

Ἰνδοὶ συγκατακαίουσιν, ὅτ᾽ ἂν τελευτήσωσι, τῶν γυναικῶν τὴν προσφιλεστάτην. Αὐτῶν δὲ ἐκείνων ἀγὼν μέγιστος γίγνεται, σπουδαζόντων [h] νικῆσαι ἑκάστην τῶν φίλων.

Τὸ αὐτὸ καὶ Ἡρόδοτος ἐν πέμπτῃ ἱστοριῶν παρὰ Σκυθῶν τῶν ὕπερθεν Κριστονέων γίγνεσθαι λέγει.

13 [a] Ἡροδότου Ἱστορίας τρίτης.

Πέρσαι καὶ Αἰγύπτιοι οὐχ ὅσιον ἡγοῦνται τοὺς νεκροὺς καίειν· Πέρσαι γὰρ θεὸν νομίζουσιν εἶναι τὸ πῦρ, διὸ [b] οὐδὲ δίκαιον εἶναι λέγουσι θεῷ νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται τὸ πῦρ θηρίον εἶναι ἔμψυχον, πάντα δὲ αὐτὸ [c] κατεσθίειν, τάπερ ἂν λάβῃ, πλησθὲν δὲ [d] αὐτὸ τῆς βορῆς συναποθνήσκειν τῷ κατεσθιομένῳ· οὐκ οὖν θηρίοισι οὐδαμῶς σφιν νόμος ἐστὶ τὸν νέκυν διδόναι· καὶ διὰ ταῦτα ταριχεύουσιν, ἵνα μὴ κείμενος ὑπὸ εὐλέων καταβρωθῇ.

14 [a] Πλάτωνος Νόμων δ.

Οὔσης γὰρ ταφῆς, τῆς μὲν ὑπερβεβλημένης, τῆς δὲ ἐλλει- 615
πούσης, τῆς δὲ μετρίας· τὴν μίαν ἑλόμενος σὺ τὴν μέσην ταύτην προστάττεις, καὶ ἐπῄνεσας ἁπλῶς. Ἐγὼ δὲ, εἰ μὲν γυνή [b] μοι διαφέρουσα εἴη πλούτῳ, καὶ θάπτειν αὐτὴν διακελεύοιτο, ἐν τῷ ποιήματι τὸν ὑπερβάλλοντα ἂν τάφον ἐπαινοίην· φειδωλὸς δ᾽ αὖ τις καὶ πένης ἀνὴρ, τὸν καταδεᾶ· μέτρον δὲ οὐσίας κεκτημένος, καὶ μέτριος αὐτὸς ὢν, τὸν αὐτὸν ἂν ἐπαινέσοι.

15 [a] Ξενοφῶντος ἐν τῷ η περὶ τῆς Κύρου παιδείας.

Τὸ δ᾽ ἐμὸν σῶμα, ὦ παῖδες, ὅτ᾽ ἂν τελευτήσω, μήτε ἐν

[h] νικῆσαι ἑκάστην] ἑκάστη νικῆσαι A. vid. Herod. V. 5.

13.

[a] Sic A. Scil. III. 16. Simpl. Ἡροδότου Trinc.

[b] οὐ] οὐδὲ A. B.

[c] κατεσθίει] κατεσθίειν A. B.

[d] αὐτὸν] αὐτοῦ A. B. πλησθέντα δὲ αὐτὸν Trinc. et mox θηρίῳ.

14.

[a] Sic A. Scil. p. 719. Simpl. Πλάτωνος Trinc.

[b] μοι alias abest. Gesner.

15.

[a] Sic A. Scil. VIII. 7, 25. Simpl. Ξενοφῶντος Trinc.

*χρυσῷ θῆτε, μήτε ἐν ἀργυρῷ, μήτε ἐν ἄλλῳ μηδενὶ, ἀλλ' [b] ὡς τάχιστα τῇ γῇ ἀπόδοτε. Τί γὰρ τούτου μακαριώτερον, ἢ [c] τὸ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλὰ, πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; Ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους.*

## ΠΑΡΗΓΟΡΙΚΑ. ΡΚΔ.

1 [a] Ὁμήρου Ἰλιάδος ω.

*Ἴσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.*
*οὐ γάρ τι πρήξεις ἀκαχήμενος [b] υἷέος αἰνῶς,*
*οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.*

2 [a] Τοῦ αὐτοῦ Ἰλιάδος ταῦ.

*Γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι [b] Ἀχαιούς.*

3 [a] Ὁμήρου.

*Μέλλει [b] μέν που τὶς καὶ φίλτερον ἄλλον ὀλέσσαι,*
*ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν.*
*ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε·*
*τλητὸν [c] γὰρ μοῖραι θυμὸν θέσαν [d] ἀνθρώποισι.*

4 [a] *Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,*
*τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,*
*ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες [b] ἡβώωντες.*

[b] *ὡς τάχιστα τῇ γῇ*] *τῇ γῇ ὡς τάχιστα* A.
[c] *τὸ*] *τῇ* A.

1.
[a] Sic A. Scil. v. 549. Simpl. Ὁμήρου Trinc.
[b] *υἷέος αἰνῶς*] *αἰνῶς* deest A. relicto spatio. *υ. ἔξῃος* B.

2.
[a] Sic A. Scil. v. 225. Deest lemma Trinc.
[b] *Ἀχαιοὺς* om. Trinc.

3.
[a] Sic A. Scil. Il. ω. 46. Deest lemma Trinc.
[b] *μὲν*] Al. *γὰρ*. Gesner.
[c] *τοι*] *γὰρ* A. B. Voss. Gesn. marg.
[d] *ἀνθρώποισι*] *ἐν ἀνθρώποισι* A.

4.
[a] Deest lemma Trinc. Il. ω. 602.
[b] *ἡβώοντες*] *ἡβώωντες* A.

5 [a] Σιμωνίδου.

Τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρας μιᾶς.

6 [a] Μενάνδρου.

[b] Ἐπὶ τοῦτ' ἐγένοντο πάντες ἔνθα λήξομεν.
ἀνθρωπίνως [c] χρὴ τὰς τύχας φέρειν, ξένε.
τὰ κοινὰ [d] κοινῶς δεῖ φέρειν συμπτώματα.

7 [a] Εὐριπίδου Ἰνοῦς.

Γίγνωσκε τἀνθρώπεια, μηδ' ὑπερμέτρως
ἄλγει· κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.

8 [a] Εὐριπίδου Πρωτεσίλαος.

Πέπονθεν, οἷα καὶ σὲ καὶ πάντας μένει.

9 [a] Θεόγνιδος.

Τόλμα, θυμὲ, κακοῖσιν ὁμῶς ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη.
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
[b] ἔχθει, μὴ δ' ἄχθου, μηδὲ φίλους ἀνία,
μηδ' ἐχθροὺς εὔφραινε, θεῶν δ' εἱμαρμένα δῶρα
[c] οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.

10 [a] Φιλήτα Παιγνίων.

Ἐκ θυμοῦ κλαῦσαί με τὰ μέτρια, καί τι προσηνὲς
εἰπεῖν, μεμνῆσθαί [b] τ' οὐκ ἔτ' ἐόντος [c] ὁμῶς.

5.

[a] Sic A. Trinc.

6.

[a] Sic A. Trinc. Cleric. p. 256.

[b] ἐπὶ τοῦτο πάντες ἐγενόμεθα Grotius in mss. Deest vs. Trinc.

[c] χρὴ] δεῖ A. Voss.

[d] κοινῶς δεῖ] κοινῶ χρῆ A. Voss. κοινῷ Gesn. marg.

7.

[a] Sic A. Scil. fr. 21. Simpl. Εὐριπίδου Trinc.

8.

[a] Sic A. Scil. fr. 5. Deest lemma Trinc.

9.

[a] Sic A. Trinc. Scil. v. 1023.

[b] ἔχθει μηδ' ἄχθου] Ita habet Theognidis editio. Male heic αὔχει· μὴ δ' αἴσχεα. Grotius.

[c] οὐκ ἂν] Et hoc ex Theognidis editione. Male heic ἃ οὔ. Grotius.

10.

[a] Sic A. Simpl. φιλήτα Trinc.

[b] τ' οὐκ ἔτ'] δ' οὐκ ἔτι B. Ver. sup. με τὰ pro μέγα Jacobsius.

[c] ὁμῶς] ὅμως paroxyt. Gesner.

11 [a] Φιλέα Ἐπιγραμμάτων.

Οὐ κλαίω ξείνων [b] σε φιλαίτατε· πολλὰ γὰρ ἔγνως 616
καλά· κακῶν δ' αὖ σοι μοῖραν [c] ἔνειμε θεός.

12 [a] Εὐφορίωνος.

[b] Τῷ καὶ μέτρια μέν τις ἐπὶ φθιμένῳ ἀκάχοιτο,
μέτρια καὶ κλαύσειεν· ἐπεὶ καὶ πάμπαν ἄδακρυν
μοῖραι [c] ἐπημήναντο.

13 [a] Ὀδυσσείας δ.

Αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.

14 [a] Ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
ζώειν ἀχνυμένους, αὐτοὶ [b] δ' ἀκηδέες εἰσίν.

15 [a] Στησιχόρου.

[b] Ἀτελέστατα γὰρ καὶ ἀμήχανα τοὺς θανόντας κλαίειν.

16 [a] Εὐριπίδου Μελανίππης.

Τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι,
καὶ [b] τἀκχυθέντα συλλέγεις ἀλγήματα;

17 [a] Σοφοκλέους Σκυρίων.

Ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ,
καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἧττον κτῆμα τοῦ κλαίειν ἂν ἦν.

11.

[a] Sic A. Simpl. Φιλέα Tr. Philetæ tribuunt Brunck. et Jacobs.

[b] σε] δὲ Trinc.

[c] νέμοι] Al. νέμει. Lego ἔνειμε. GESNER. νέμει A. Voss. Arsen. ἔνειμε B.

12.

[a] Sic A. Trinc.

[b] καὶ τόκα] καὶ om. A. Trinc. τῷ καὶ B.

[c] ἐπημήναντο] ἐσκμή . . ν A. ἐσημήναντο B. ἐπιμήναντο Trinc. An μοῖραν ἀπηνήναντο? sc. θεοί.

13.

[a] Sic A. Sc. v. 103. Ὁμήρου Trinc.

14.

[a] Scil. Il. ω. 525. Deest lemma Trinc.

[b] δ' ἀκήδεες] δέ τ' ἀ. Gesn. marg.

15.

[a] Sic A. Trinc.

[b] Ἀτελέστατα] ἀτέλεστα B. καὶ om. Trinc.

16.

[a] Sic A. Scil. fr. 19. Simpl. Εὐριπίδου Trinc.

[b] ἐκχυθέντα] Ita MS. A. non ἐκχαθέντα ut erat. GROTIUS. τἀκχυθέντα B.

17.

[a] Sic A. Scil. fr. 6. Simpl. Σοφοκλέ. Trinc.

νῦν δ᾽, ὦ γεραιὲ, ταῦτ᾽ ἀνηνύτως ἔχει,
[b] τὸν μὲν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν.
καί μοι γὰρ [c] ἂν πατήρ τε δακρύων χάριν
ἀνῆκτ᾽ ἂν εἰς φῶς.

18 [a] Φιλήμονος Σαρδίου.

Εἰ τὰ δάκρυ᾽ ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ᾽ ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
ἠλλαττόμεσθ᾽ ἂν δάκρυα δόντες χρυσίον.

19 [a] Τιμοκλέους.

Ὦ ᾽τὰν ἄκουσον, ἤν τι σοι δοκῶ λέγειν·
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπήρ᾽ ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρατο
ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ᾽ ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,
ὡς ὠφελοῦσι [b] πάντας. Ὢν μὲν γὰρ πένης,
πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν, [c] Ἀλκμαίων᾽ ἐσκέψατο.
ὀφθαλμιᾷ τις, [d] εἰσὶ Φινεῖδαι τυφλοί.

[b] τὸν μὲν] τὸ μὲν A.
[c] ἂν—τε] ἦν—γε B.

18.

[a] Sic A. Cleric. p. 328. Deest locus Trinc.

19.

[a] Sic A. Trinc.
[b] πάντας] πάντως A.
[c] Ἀλκμαίων] Ἀλκμένωνα Voss. A. m. p. Ἀλκμένονα Trinc. Ἀλκμαίων᾽ B. Ἀλκμέων᾽ voluisse videtur Walpolius Comic. Gr. fragment. p. 100. auctoritate fretus marmoris Sandvicensis. Ἀλκμέων cet. habet sæpius Herodoti codex Mediceus. Vid. Wesseling. et Gronov. ad I. 59. Ceterum h. l. affert Salmasius ad Simmiæ Ovum p. 166. ut probet longam vocalem vel diphthongum ante alteram corripi posse.

σιι m.s.
[d] ἴσιφον ἶδεν] ἴσι φιν εἶδ᾽ A. εἰς ἶφιν B. ἴσῖφῖν ἶδε Voss. Trinc. ἴσιφιν Gesn. marg. Arsen.

Ib. εἰσὶ Φινεῖδαι τυφλοὶ] Ἴσιφιν

τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικε.
χωλός τις ἐστι, [e] τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζον' [f] ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' [g] ἐννοούμενος,
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει.

20 [a] Εὐριπίδου Ἀλεξάνδρου.

Παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν.

21 [a] Φιλιππίδου.

Ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος.

22 [a] Μενάνδρου.

Πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν
χρόνος ἐστὶν, οὗτος καὶ σὲ νῦν ἰάσεται.

εἶδεν τυφλὸν libri habent etiam MSS. At quam reposuimus lectionem apud Athenæum exstare Salmasius monuit. Fabulæ meminit Apollonii Scholiastes, ([II. 178.] Σοφοκλῆς δὲ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν, Ὤρυιθον καὶ Κράμβιν) et citantur tragœdiæ ejus argumenti. (Et Sextus Empiricus Libro Adv. disciplinarum sectatores capite XII. [I. 262.] ex Phylarcho narrat Æsculapium fulminatum διὰ τὸ τοὺς Φινέως υἱοὺς τυφλωθέντας ἀποκαταστῆσαι. Ovid. de Art. Amand. [I. 339.] *Quid fodis immeritis, Phineu, sua lumina natis.* Apollodorus Biblioth. [I. 9, 21.] ὅτι πεισθεὶς μητρυιᾷ τοὺς ἰδίους ἐξετύφλωσε παῖδας. Et Lib. III. [15, 3.] κἀκείνη, Κλεοπάτρα, τῶν προγόνων πρὸς Φινέα φθορὰν καταψεύδεται, καὶ πιστεύσας Φινεὺς, ἀμφοτέρους τυφλοῖ. Hyginus Fab. XIX. Ovid. in Ibin [271.] *Ut duo Phineidæ quibus idem lumen ademit Qui dedit.* Sophocles Antig. [971.] et Servius in Virgil. Æneid. III. [210.]) Illud simul monebo, primo hujus fragmenti versu apud Athenæum legi, ἤν τι σοι μέλλω λέγειν, pro quo vir summus Isaacus Casaubonus malebat ὅττι σοι μέλλω λέγειν. Versu nono ὁ μὲν γὰρ ὢν πένης duodecimo ὁ νοσῶν δὲ μανικῶς, ultimo, συμφορὰς ῥᾶον φέρει. GROTIUS. Grotianis similia protulit Heinsius ad Ovid. A. A. I. 339.

[e] τὸν om. A.

[f] ἢ] ἢν B.

[g] ἐννοούμενος] εὐνοούμενος A.

20.

[a] Sic A. Scil. fr. 20. Simpl. Εὐριπίδου Trinc.

21.

[a] Sic Trinc. et fere A. ubi Φιλιππίδους.

22.

[a] Sic A. Trinc. Cleric. p. 286.

23 [a] Ὁμήρου.

Τέκνον ἐμὸν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων,
σὴν ἔδεαι κραδίην;

24 [a] Πυθαγόρου.

Φείδεο τῆς ζωῆς, μή μιν καταθυμοβορήσῃς.

25 [a] Διφίλου.

Λύπης δὲ πάσης γίγνετ' ἰατρὸς χρόνος.

26 [a] Φιλήτα Δημητρός.

Ἀλλ' ὅτ' ἐπὶ χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα πέσσειν 617
ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει.

Φιλήτα Δημητρός.

Καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο,
κήδεα δειλαίων εἷλεν ἀπὸ πραπίδων.

27 [a] Ἀντιφάνους ἐξ Ἀφροδισίου.

Πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους.
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον,
[b] προεληλύθασιν· εἶτα χ' ἡμεῖς ὕστερον
εἰς ταυτὸ καταγωγεῖον αὐτοῖς ἥξομεν,
κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον.

28 [a] Εὐριπίδου Ἀνδρομάχης.

Παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ.
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος [b] κέκρανται, κατθανεῖν τ' ὀφείλεται.

23.

[a] Sic Trinc. Scil. Il. ω. 128. Deest locus A.

24.

[a] Sic Trinc.

25.

[a] Sic A. Trinc.

26.

[a] Sic A. eodem ante distichon sec. posito lemmate. Semel Φιλήτα Trinc.

27.

[a] Sic A. Simpl. Ἀντιφάνους Tr.

[b] προεληλύθασιν] προσεληλύθασιν A. Voss. Trinc. Mox vulgo καταγώγιον. Deinde συνδιατρίψαντες Trinc.

28.

[a] Sic A. Scil. v. 1271. Simpl. Εὐριπίδου Trinc.

[b] κέκραται] κέκρανται B.

29 [a] Εὐριπίδου Τημένισι.

Τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει.
κοινὸν δ' ἔχοντες αὐτὸ κοινὰ πάσχομεν
πάντες· τὸ γὰρ χρεὼν μεῖζον, ἢ τὸ μὴ χρεών.

30 [a] Ἀρχιλόχου.

Κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτε τις [b] ἀστῶν
[c] μεμφόμενος θαλίῃς τέρψεται, οὐδὲ πόλις.
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
[d] ἔκλυσεν, οἰδαλέους δ' ἀμφ' [e] ὀδύνῃς ἔχομεν
πνεύμονας· ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,
ὦ φίλ', [f] ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον· ἄλλοτε [g] δ' ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν.
[h] ἐξαῦτις δ' [i] ἑτέρους ἐπαμείψεται· ἀλλὰ τάχιστα
τλῆτε, γυναικεῖον πένθος ἀπωσάμενοι.

31 [a] Πολυαίνου.

Ἐπὶ τοῖς ἀποθνήσκουσι μὴ λυποῦ, ἀναγκαῖον γὰρ, ἀλλ' ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσιν.

32 [a] Ἀμάσιος.

[b] Ἄμασις πρός τινα τὸν υἱὸν ἀποβαλόντα εἶπεν, Εἰ ὅτε μηδέπω ἦν οὐκ ἐλύπου, μηδὲ νῦν λυπηθῇς, ὅτε [c] οὐκ ἔτ' ἐστίν.

29.

[a] Sic A. Scil. fr. 15. Deest lemma Trinc.

30.

[a] Sic Trinc. Deest locus A.

[b] ἀστῶν] αὐτῶν Grotius.

[c] μεμφόμενος] μεμνόμενος Grotius, e Scaligeri emendatione. μεμνόμενος ne Græcum quidem esse monet Valckenærius. Mox ποτοῖς pro πόλις Grotius.

[d] ἔκλασεν ὑδαλέους] Al. ἔκλαυσεν οἰδαλέους Gesn. marg. et sic Voss. Arsen. ἔκλυσεν· οἰδαλέους δ' ἴσχομεν ἀμφ' ὀδύνῃ B.

[e] ὀδύνῃ ἔχομεν] ὀδύνῃ ἴσχομεν Voss. Arsen. ὀδύνῃ σίσχομεν Trinc.

[f] ἐπὶ κρατερὴν] ἄμφι κρατέην Ars.

[g] δ' ἄλλος] τ' ἄλλος Trinc.

[h] ἐξαῦτις] ἐξαῦς τις Arsen.

[i] ἑτάρους] ἑτέρους B. Sic emend. Gesn. ἑταίρους Arsen.

31.

[a] Sic A. Trinc.

32.

[a] Sic A. Deest lemma Trinc.

[b] Ἀμάσιος ὁ τῶν Αἰγυπτίων βασιλεὺς γράφων ἐπιστολὴν πρός τινα. Gesn. marg. A. B.

[c] οὐκ ἔτ'] οὐ μήκετ' A. B.

33 [a] Δίωνος ἐκ τοῦ Χαριδήμου.

Τὰ μὲν καθ' ἡμᾶς οὕτω γέγονεν, ὡς ἔδοξε τῷ θεῷ. [b] Χρὴ δὲ [c] μὴ [d] γιγνομένων χαλεπὸν ἡγεῖσθαι, μηδὲ δυσχερῶς φέρειν, [e] ὥσπερ ἐν δεινοῖς οὖσι. Παραινοῦσι δὲ ἄλλοι τε σοφοὶ, καὶ οὐχ ἥκιστα Ὅμηρος λέγων μηδαμῆ ἀπόβλητα εἶναι ἀνθρώποις τὰ θεῶν δῶρα, [f] καλῶς ὀνομάζων [g] τὰ δῶρα, τὰ ἔργα τῶν θεῶν, ὡς ἅπαντα [h] ἀγαθὰ ὄντα, καὶ ἐπ' ἀγαθῷ γιγνόμενα.

34 [a] Θεοκρίτου.

Θεόκριτος, ἐν περιδείπνῳ τοῦ πενθοῦντος λαιμάργως ἐσθίοντος, Θάρρει βέλτιστε, εἶπεν, οὐ σοὶ μόνῳ ταῦτα γέγονεν.

35 [a] Ἀπολλώνιος Νουμηνίῳ.

Οὐ θρηνητέον οἵων φίλων ἐστερήθημεν, ἀλλὰ μνημονευτέον, ὅτι μετὰ τῶν φίλων τὴν καλλίστην βιοτὴν [b] ἐβιοτεύσαμεν.

36 [a] Ὑπερίδου.

Χαλεπὸν μὲν ἴσως ἐστὶ τοὺς ἐν τοῖς τοιούτοις ὄντας πά- 618
θεσι παραμυθεῖσθαι. Τὰ γὰρ πένθη, οὔτε λόγῳ, οὔτε νόμῳ κοιμίζεται· ἀλλ' ἡ φύσις ἑκάστου καὶ φιλία πρὸς τὸν τελευτήσαντα ὁρισμὸν ἔχει τοῦ λυπεῖσθαι. Ὅμως δὲ χρὴ θαρρεῖν καὶ τῆς λύπης [b] παραιρεῖν εἰς τὸ ἐνδεχόμενον, καὶ μεμνῆσθαι μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ καὶ τῆς ἀρετῆς, ἧς καταλελοίπασιν. Οὐ γὰρ θρήνων ἄξια πεπόνθασιν, ἀλλ' ἐπαίνων μεγάλων πεποιήκασιν. Εἰ δὲ γήρως θνητοῦ μὴ μετέσχον, ἀλλ' εὐδοξίαν [c] ἀγήρατον εἰλή-

33.

[a] Sic fere A. ubi Βίωνος. Δίωνος ἐκ τοῦ χαρίδου Trinc. Scil. p. 300.

[b] χρὴ] χρὴν A.

[c] μὴ] Lego μηδὲν τῶν. Gesner. μηδὲν ὑπ' ἐκείνου γ. Dio p. 300. B.

[d] γιγνομένων] γινομένω A.

[e] ὥσπερ ἐν δεινοῖς οὖσι. παραινοῦσι δὲ] ὡς παραινοῦσιν Dio. λέγων post Ὅμηρος om. Trinc.

[f] κακῶς] Malim καλῶς. Gesn. Sic A. B. Dio.

[g] τὰ δῶρα τὰ ἔργα] τὰ ἔργα τὰ δῶρα A.

[h] Om. τὰ ante ἀγαθὰ A. Trinc.

34.

[a] Sic A. Deest locus Trinc.

35.

[a] Sic A. Simpl. Ἀπολλωνίου Tr.

[b] ἐβιώσαμεν] ἐβιοτεύσαμεν A. B. Gesn. marg. Supra om. φίλων.

36.

[a] Sic A. Trinc.

[b] παραινεῖν] παραιρεῖν A.B. hoc vel παραιρεῖσθαι conjicit Gesn. v. Wyttenb. Plutarch. II. p. 2. C. 114. C.

[c] ἀκήρατον] ἀγήρατον A. Ges. mar.

φασιν, εὐδαίμονές τε γεγόνασι κατὰ πάντα. Ὅσοι μὲν γὰρ αὐτῶν ἄπαιδες τετελευτήκασιν, οἱ παρὰ τῶν Ἑλλήνων ἔπαινοι παῖδες αὐτῶν ἀθάνατοι ἔσονται· ὅσοι δὲ παῖδας καταλελοίπασιν, ἡ τῆς πατρίδος εὔνοια ἐπίτροπος αὐτοῖς τῶν παίδων καταστήσεται. Πρὸς δὲ τούτοις, εἰ μέν ἐστι τὸ ἀποθανεῖν ὅμοιον τῷ μὴ γενέσθαι, ἀπηλλαγμένοι εἰσὶ νόσων, καὶ λύπης, καὶ τῶν ἄλλων τῶν προσπιπτόντων εἰς τὸν ἀνθρώπινον βίον· εἰ δ' ἔστιν αἴσθησις ἐν ᾅδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβάνομεν, [d] εἴη τοὺς ταῖς τιμαῖς τῶν θεῶν καταλυομέναις βοηθήσαντας πλείστης κηδεμονίας ὑπὸ τοῦ δαιμονίου τυγχάνειν.

37 [a] Ἀπολλώνιος Θεαιτήτῳ.

Τὸ λυπούμενον ἀλλοτρίοις κακοῖς [b] παραμυθοῦ.

38 [a] Εὐσεβίου.

Ἀνιηροῦ τευ προσπεσόντος ἔπειτα χαλεπαίνειν τοῖς θεοῖς, μεῖζον κακόν ἐστι ζητέειν.

39 [a] Εὐσεβίου.

Ἀνιηροῦ τευ προσπεσόντος, εἴ τι τοῦ παραστεῶτος ἐστὶν εὑρεῖν μεῖζον, [b] ἐπιλέγεο· καὶ εὑρὼν, ὅτι μὴ ἐκεῖνο, ἀλλὰ τὸ μεῖον ἔχεις, ἀσπάζεο.

40 [a] Διονυσίου Ἁλικαρνάσεως.

Τοῖς δὲ ἀνθισταμένοις καὶ μὴ καταπίπτουσι κουφότερα γίγνεται τὰ κακά.

41 [a] Σωκράτους.

Πεττείᾳ τινι ἔοικεν ὁ βίος, καὶ δεῖ, ὥσπερ ψῆφόν τινα, τίθε-

[d] εἴη] εἶναι A. B.

[e] εὐδαιμονίας] ἐπιμελείας A. B. Gesn. marg. quod est glossema. Vere Ruhnkenius Hist. Crit. Or. Gr. p. lxix. κηδεμονίας. Vide Wyttenbach. Plut. II. p. 107. D. Mox δαίμονος A. B.

37.

[a] Sic A. Deest locus Trinc.

[b] παραμύθου] παραμύθιον A.

38.

[a] Sic A. Deest locus Trinc.

39.

[a] Sic A. Deest locus Trinc.

[b] ἐπίλεγεο] An ἐπιδίζεο? Valck.

40.

[a] Sic A. Trinc.

41.

[a] Sic A. Trinc.

σθαι τὸ συμβαῖνον. Οὐ γάρ ἐστιν ἄνωθεν βαλεῖν, οὐδὲ [b] θέσθαι τὴν ψῆφον.

42 [a] Ξενοφῶντος ἐκ τῆς πρὸς Σώτειραν ἐπιστολῆς.

Ἀλλ' οὔτε ἐπὶ θανάτῳ προσήκει τοσοῦτον πένθος εὑρέσθαι, ἐπισταμένην, ὅτι ὁδοῦ ἀνθρωπίνης χρὴ νομίζειν ἀρχὴν μὲν γένεσιν, τέλος δὲ θάνατον. Ἀπέθανε δὲ, ὅπερ ἂν καὶ ὁ μὴ θέλων ἔπαθε· τὸ δὲ καλῶς, ἑκόντος τε ἔργον, καὶ ἃ χρὴ παιδευθέντος. Μακάριος οὖν δὴ Γρύλλος, καὶ ὅστις οὐ τὸ μήκιστον ἑλόμενος τοῦ βίου· τὸ δὲ μετὰ ἀρετῆς, καὶ εἰ βραχὺν οἱ ἔδωκεν αἰῶνα ὁ θεός.

43 [a] Πλάτωνος.

Ἀνὴρ, ἦν δ' ἐγὼ, ἐπιεικὴς, τοιᾶσδε τύχης μετασχὼν, υἱὸν ἀπολέσας, ἤ τι ἄλλο ὧν περὶ πλείστου ποιεῖται, ἐλέγομέν που καὶ τότε, ὅτι ῥᾷστα οἴσει τῶν ἄλλων. Πάνυ γε. Νῦν δὲ τόδε [b] ἐπισκεψώμεθα, πότερον οὐδὲν [c] ἀχθέσεται, ἢ τοῦτο μὲν ἀδύνατον, μετριάσει δέ πως πρὸς λύπην. Οὕτω μᾶλλον, ἔφη, τό γε ἀληθές. Τὸ δὲ νῦν μοι περὶ αὐτοῦ εἰπὲ, πότερον αὐτὸν μᾶλλον οἴῃ τῇ λύπῃ μάχεσθαί τε καὶ ἀντιτείνειν, ὅτ' ἂν ὁρᾶται ὑπὸ τῶν ὁμοίων, ἢ ὅτ' ἂν ἐν ἐρημίᾳ μόνος αὐτὸς καθ' αὑτὸν γίγνηται; Πολύ που, ἔφη, διοίσει, ὅτ' ἂν ὁρᾶται. Μονωθεὶς δέ γε, οἶμαι, πολλὰ μὲν τολμήσει φθέγξασθαι, ἃ εἴ τις αὐτοῦ [d] ἀκούοι, αἰσχύνοιτ' ἄν· πολλὰ δὲ 619
ποιήσει, ἃ οὐκ ἂν δέξαιτό τινα ἰδεῖν δρῶντα. Οὕτως ἔχει, ἔφη. Οὐκ οὖν τὸ μὲν ἀντιτείνειν διακελευόμενον, λόγος καὶ νόμος ἐστί· τὸ δ' ἕλκον ἐπὶ τὰς λύπας, αὐτὸ τὸ πάθος; Ἀληθῆ. Ἐναντίας δὲ δὴ ἀγωγῆς γιγνομένης ἐν τῷ ἀνθρώπῳ περὶ τὸ αὐτὸ, ἅμα δύο [e] ἔφαμεν δὴ ἀναγκαῖον εἶναι.

[b] θέσθαι] Al. ἀναθέσθαι. GESN.

42.
[a] Sic A. Simpl. Ξενοφῶντος Tr.

43.
[a] Sic Trinc. Scil. Rep. X. p. 603. Deest locus A.

[b] ἐπισκεψόμεθα] ἐπισκεψώμεθα Trinc.

[c] ἀχθεσθήσεται] ἀχθέσεται Trinc.

[d] ἀκούει] ἀκούοι Trinc.

[e] ἔφαμεν] Al. φαμὲν αὐτῷ ἀνάγκη. GESNER.

Πῶς δ' οὔ; Οὐκ οὖν τὸ μὲν ἕτερον τῷ νόμῳ ἕτοιμον πείθεσθαι, ᾗ ὁ νόμος ἐξηγεῖται; Πῶς; [f] Λέγει που ὁ νόμος, ὅτι κάλλιστον ὅτι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς, καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων· οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι· οὔτε τὶ τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς, ὅ τε δεῖ ἐν αὐτοῖς ὅτι τάχιστα παραγίγνεσθαι ἡμῖν, τούτῳ ἐμποδὼν γιγνόμενον τὸ λυπεῖσθαι. Τίνι, ἦ δ' ὃς, λέγεις; Τῷ βουλεύεσθαι, ἦν δ' ἐγὼ, περὶ τὸ γεγονὸς, καὶ ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὑτοῦ πράγματα, [g] ὅπου ὁ νοῦς αἱρεῖ βέλτιστ' ἂν ἔχειν. Ἀλλὰ μὴ [h] προσπταίσαντας καθάπερ παῖδας ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν· ἀλλ' ἀεὶ ἐθίζειν τὴν ψυχὴν ὅτι τάχιστα γίγνεσθαι πρὸς τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν [i] ἰατρικῇ, θρηνῳδίαν ἀφανίζοντα. Ὀρθότατά γ' ἂν οὖν [τις, ἔφη,] πρὸς τὰς τύχας οὕτω προσφέροιτο. Οὐκ οὖν φαμὲν τὸ μὲν βέλτιστον τούτῳ τῷ [k] λογισμῷ ἐθέλει ἕπεσθαι; Δῆλον δή. Τὸ δὲ πρὸς τὰς ἀναμνήσεις τε τοῦ πάθους καὶ πρὸς τοὺς ὀδυρμοὺς ἄγον, καὶ [l] ἀπλήστως ἔχον αὐτῶν, ἆρ' οὐκ ἀλόγιστόν τε φήσομεν [m] εἶναι, καὶ ἀργὸν, καὶ δειλίας φίλον; Φήσομεν οὖν.

[f] λέγει κ. τ. λ.] Citantur hæc etiam supra in sermone, *Bonam fortunam proferendam esse* &c. Gesner. Scil. 109, 10.

[g] ὅπου] Al. ὅπῃ ὁ λόγος ἐρεῖ. Gesner.

[h] προσπταίσαντας] προσπέσαντας Trinc.

[i] ἰατρικῇ] Al. non legitur ἰατρικῇ. Gesner. Mox τις ἔφη om. Trinc.

[k] λογισμῷ] Al. λογιστικῷ. Gesner.

[l] ἀπλήστως] ἀπλείστως N.

[m] εἶναι] καὶ Trinc.

## ΟΤΙ ΟΥ ΧΡΗ ΠΑΡΟΙΝΕΙΝ ΕΙΣ ΤΟΥΣ ΤΕΤΕΛΕΥΤΗΚΟΤΑΣ. ΡΚΕ.

1 [a] Ὁμήρου Ἰλιάδος ω.

Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.

2 [a] Ὁμήρου Ὀδυσσείας χ.

Οὐχ ὁσίη φθιμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.

3 [a] Μοσχίωνος ἐκ Φεραιῶν.

[b] Κενὸν θανόντος ἀνδρὸς αἰκίζειν σκιάν.

4 [a] Ζῶντας κολάζειν, οὐ θανόντας εὐσεβές.

5 [a] Ἀρχιλόχου.

Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν.

6 [a] Εὐριπίδου Ἀντιγόνης.

Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος
ἔχει· τί γὰρ τοῦδ' ἐστὶ μεῖζον ἐν βροτοῖς;
τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ
ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς,
εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων;

7 [a] Αἰσχύλου Ἕκτορος.

Καὶ τοὺς θανόντας [b] εἰ θέλεις εὐεργετεῖν.
[c] τὸ γοῦν κακουργεῖν ἀμφιδεξίως ἔχει,
[d] καὶ μήτε χαίρειν, μήτε λυπεῖσθαι βροτούς.
ἡμῶν γε μέντοι νέμεσις ἔσθ' ὑπερτέρα,
καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον.

1.
[a] Sic A. Sc. v. 54. Simpl. Ὁμήρου Trinc.

2.
[a] Sic A. Sc. v. 412.

3.
[a] Sic A. Ἀρχιλόχου Trinc.
[b] κενὸν] καινὸν A.

4.
[a] Tanquam Moschionis A. Voss.

5.
[a] Sic A. Deest lemma Trinc.

6.
[a] Sic A. Scil. fr. 16. Simpl. Εὐριπίδου Trinc.

7.
[a] Sic A. Scil. Phryg. fr. 2. Simpl. Αἰσχύλου Trinc.
[b] εἰ θέλεις om. A. B.
[c] τὸ γοῦν] ὃ γοῦν A.B. ἤγουν edidit Grotius, qui in notis commendat τῷ γοῦν ex Salmasii emendatione.
[d] καὶ μήτε] Versus non quadrat huc. Gesner. οἷς μήτε χαίρειν μήτε

8 [a] Διονυσίου Σωτείρας.

Πρὸς τὸν τελευτήσαντ' ἕκαστος, κἂν σφόδρα
[b] ὢν ἐχθρὸς ᾖ τις, γίγνεται φίλος τότε.

9 [a] Εὐριπίδου Φοινισσῶν.

Τοῖς γὰρ [b] τεθνεῶσι χρὴ τὸν οὐ τεθνηκότα
τιμὰς διδόντα [c] χθόνιον εὐσεβεῖν θεόν.

10 [a] Τιμοκλέους Συνεργικά.

Τοῖς μὲν τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός·
τοῖς ζῶσι δ' ἕτερον [b] ἀνοσιώτατον, φθόνος.

11 [a] Σοφοκλέους Λαρισσαίων.

[b] Μηδὲ τῷ τεθνηκότι
τὸν ζῶντ' ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον.

12 [a] Μιμνέρμου ἐκ Νεοπτολέμου.

Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ
ζῶντι φθονῆσαι, κατθανόντα δ' αἰνέσαι.

13 [a] Σοφοκλέους Αἴαντι.

Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς,
μήτ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.

14 [a] Μοσχίωνος.

Τί κέρδος οὐκ ἔτ' ὄντας αἰκίζειν νεκρούς;

λυπεῖσθαι πάρα. ed. Grotius.

8.

[a] Sic A. Διοδώρου Trinc.

[b] ὢν ἐχθρὸς] ζῶντ' ἐχθρὸς Valckenær. Eurip. Phœn. 1455. ἦν B. pro ᾖ.

9.

[a] Sic A. Scil. v. 1330. Simpl. Εὐριπίδου Trinc.

[b] τεθνεῶσι χρῆν] Ita mutavimus ob MS. A. auctoritatem qui habebat τεθνεῶσιν ἄρ' ἦν. Vulgo θανοῦσι χρή. Grotius. τεθνηκόσιν ἄρ' ἦν Trinc.

[c] χθόνιον] χρόνιον A. Trinc.

10.

[a] Sic A. Τιμοκλέους Voss. 'Αρχιλόχου Trinc.

[b] ἀνοσιώτατον] ἀνοσιώτατος A. B.

11.

[a] Sic A. Scil. Acris. fr. 9. Simpl. Σοφοκλέ. Trinc.

[b] μηδὲ] Lego χρή. Gesner. Pro ἐπαρκεῖν Tyrwhittus ἐπαυχεῖν.

12.

[a] Sic A. Simpl. Μιμνέρμου Voss. Trinc.

13.

[a] Sic A. Scil. v. 1091. Simpl. Σοφοκλέ. Trinc.

14.

[a] Sic A. Deest lemma Trinc. τι in pr. om. A.

τί τὴν ἄναυδον γαῖαν ὑβρίζειν πλέον;
ἐπὰν γὰρ ἡ κρίνουσα καὶ [b] θ' ἡδίονα
καὶ τἀνιαρὰ φροῦδος αἴσθησις φθαρῇ,
τὸ σῶμα κωφοῦ τάξιν εἴληφεν πέτρου.

15 [a] Χείλωνος.

Τὸν τετελευτηκότα μὴ κακολόγει, ἀλλὰ μακάριζε.

16 [a] Πλάτωνος Πολιτείας ε̄.

Ἀνελεύθερον δὲ οὐ δοκεῖ καὶ φιλοχρήματον νεκρὸν συλᾶν, καὶ [b] γυναικείας τε καὶ σμικρᾶς διανοίας, τὸ πολέμιον νομίζειν τὸ σῶμα τοῦ τεθνεῶτος, ἀποπταμένου τοῦ ἐχθροῦ, λελοιπότος δὲ ᾧ ἐπολέμει; ἢ οἴει τι διάφορον δρᾶν τοὺς τοῦτο ποιοῦντας τῶν κυνῶν, αἳ τοῖς λίθοις [c] οἷς ἂν βληθῶσι χαλεπαίνουσι, τοῦ βάλλοντος οὐχ ἁπτόμεναι; Οὐδὲ σμικρὸν, ἔφη. Ἐατέον ἄρα τὰς νεκροσυλίας, καὶ τὰς τῶν ἀναιρέσεων διακωλύσεις.

17 [a] Τοῦ αὐτοῦ.

Εἴς τινα γὰρ οὖν μοι καιρὸν φαινόμεθα τοὺς ἔμπροσθεν λόγους διεξελθεῖν, ὡς ἄρα αἱ τῶν τελευτησάντων ψυχαὶ δύναμιν ἔχουσί [b] τινα τελευτήσασαι, ᾗ τῶν κατ' ἀνθρώπους πραγμάτων ἐπιμελοῦνται. Ταῦτα δὲ ἀληθεῖς μὲν, μακροὶ δέ εἰσι περιέχοντες λόγοι. Πιστεύειν τε ταῖς ἄλλαις φήμαις χρεὼν περὶ τὰ τοιαῦτα, οὕτω πολλαῖσι καὶ σφόδρα παλαιαῖς οὔσαις· πιστεύειν δ' αὖ τοῖς νομοθετοῦσι ταῦθ' οὕτως ἔχειν, ἄν περ μὴ παντάπασιν ἄφρονες φαίνωνται,

[b] τὰ ἡδίω] τὰ ἡδίονα A. θ' ἡδίονα B. τὰ ἡδίων Trinc.

15.

[a] Sic A. Χίλωνος Trinc. Vid. Menag. Diog. Laërt. I. 70.

16.

[a] Sic A. Scil. p. 469. Simpl. Πλάτωνος Trinc.

[b] γυναικείας] γυναικείας τε A. B.

[c] οἷς om. A. Trinc. Mox οὐχ ἁπτόμεναι om. Trinc. Cum h. l. desinunt MSS. A. B.

17.

[a] Sic Trinc. Scil. Legg. XI. p. 926.

[b] τινα τελευτήσασαι ᾗ τῶν] τινα καὶ τῶν Trinc. Mox πιστεύειν— οὔσαις om. Trinc.

[[c] ταύτῃ δὲ εἰ ταῦτ' ἐστὶ κατὰ φύσιν, πρῶτον μὲν τοὺς ἄνω θεοὺς φοβείσθων, οἳ τῶν ὀρφανῶν τῆς ἐρημίας αἰσθήσεις ἔχουσιν· εἶτα τὰς τῶν κεκμηκότων ψυχὰς, αἷς ἐστιν ἐν τῇ φύσει, τῶν αὐτῶν ἐκγόνων κήδεσθαι διαφερόντως,] καὶ τιμῶσί τε αὐτοὺς εὐμενεῖς εἶναι, καὶ ἀτιμάζουσι δυσμενεῖς.

## ΟΤΙ ΤΩΝ ΠΛΕΙΣΤΩΝ ΜΕΤΑ ΘΑΝΑΤΟΝ Η ΜΝΗΜΗ ΔΙΑΡΡΕΙ ΤΑΧΕΩΣ. ΡΚϚ.

1 [a] Εὐριπίδου.

Τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος.

2 [a] [b] Θανόντων δὲ καὶ λόγοι φίλοι προδόται.

3 [a] Σοφοκλέους.

Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαρρεῖ, καὶ προδοῦσ' ἁλίσκεται.

4 [a] Ἀρχιλόχου.

[b] Οὔ τις αἰδοῖος μετ' ἀστῶν καίπερ ἴφθιμος θανὼν
γίγνεται· χάριν δὲ μᾶλλον τοῦ ζοοῦ διώκομεν
[c] οἱ ζοοὶ, κάκιστα δ' αὐτῷ τῷ θανόντι γίγνεται. 621

[c] ταύτῃ—διαφερόντως om. Trinc.

1.

[a] Sic Trinc. Scil. fr. inc. 84.

2.

[a] Menandro tribuit Gesnerus, Cleric. p. 256. Deest lemma Trinc.

[b] Θανουμένων δὲ καὶ λόγοι προδόται φίλοι] Quia Menandro hic versus asserebatur, senarium feci. Alioqui sic legebatur, Θανόντων δὲ κ. λ. φ. π. Grotius.

3.

[a] Sic Trinc. Scil. Aj. 1266.

4.

[a] Sic Trinc.

[b] οὔτις] Et nomen Archilochi et ipsi numeri monent nos trochaicos esse. Atque ita confusos digessi. Illud καίπερ εὔφημος pro καὶ περίφημος a Salmasio est. Grotius. Optime Porsonus Eurip. Hec. 1090. ed. tert. καίπερ ἴφθιμος. Qui in seqq. ζοοῦ—οἱ ζοοὶ—δ' αὐτῷ, pro ζωοῦ—ζωοὶ—δὲ τῷ.

[c] ζωοὶ ἀνθρώπων] Deest vulgo ἀνθρώπων. Sed omnino vocem talem versus hic desiderabat. Fuit autem hæc ipsa, quæ descriptorum vitio in sequens fragmentum perperam irrepsit. Ideo heic suo loco eam adscripsimus. Grotius. Manus ignota exemplari, quo utor, Grotiano adscripsit, οἱ ζωοὶ, κάκιστα δ' αἰεὶ—.

5 [a] Στησιχόρου.

Θανόντος ἀνδρὸς, [b] πᾶσ' ἀπόλλυται χάρις.

6 [a] Εὐριπίδου.

Ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος,
καὶ μνημονεύων οὐδὲν ὧν ἐχρῆν φίλου.

7 [a] Τοῦ αὐτοῦ.

[b] Σπάνιον δ' ἄρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι,
κἂν ὁμόθεν ὦσι· τὸ γὰρ ἔχειν, πλέον κρατεῖ
[c] τῆς εὐσεβείας· ἡ δ' ἐν ὀφθαλμοῖς χάρις
ἀπόλωλ', ὅτ' ἄν τις ἐκ δόμων ἔλθῃ [d] θανών.

8 [a] Χρόνος δ' ἀμαυροῖ πάντα, κ' εἰς λήθην ἄγει.

## ΓΝΩΜΑΙ ΘΕΟΚΤΙΣΤΟΥ, ΠΡΟΣ ΤΟΥΣ ΜΑΛΑΚΩΣ ΚΑΙ ΥΠΤΙΩΤΕΡΩΣ ΔΙΑΚΕΙΜΕΝΟΥΣ ΜΑΛΙΣΤΑ ΤΗΝ ΩΦΕΛΕΙΑΝ ΠΑΡΕΧΟΥΣΑΙ, ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

1 Ἀνιαρὸν μέν· πῶς γὰρ οὔ; τὸ μὴ ἐπικουφίζειν ἀτυχίας ἐλέῳ καὶ συμφορᾷ διὰ τὸ ἀνθρώπινον ἀδοκήτως παραπιπτούσας· ἀλλ' ὀνειδίζειν καὶ δριμυτέραν τὴν ὀδύνην ἐργάζεσθαι, ὑπέκκαυμα τοῦ πάθους καὶ τῆς δίκης [a] διὰ τὸ ὁμογενὲς καθεστῶτας.

5.

[a] Sic Trinc.

[b] πᾶσ' ἀπόλλυται χάρις] Certa hæc Scaligeri emendatio, cum legeretur ante, θανόντος ἀνδρὸς πᾶσ' ὄλυτ' ἀνθρώπων χάρις. Illud ἀνθρώπων unde venerit jam diximus. Grotius. Gesneri margo: *al.* πᾶσα πολιὰ ποτ' ἀνθρώπων χάρις.

6.

[a] Sic Trinc. Scil. fr. inc. 85.

7.

[a] Scil. fr. inc. 86. Deest lemma Trinc.

[b] δάνειον] Forte σπάνιον legendum. Gesner.

Ib. κἂν ὁμόθεν ὦσι] κἂν μὴ θάνωσι Grotius. Vide Valckenærii Diatr. p. 237.

[c] τῆς εὐσεβείας] Male divellebatur a prioribus, cum sensus continuetur. Grotius. Mox ὀφθαλμοῖσι Trinc.

[d] θανών] Illud θανών addendum Scaligero adsentior. Grotius. ἀνὴρ θάνῃ pro ἔλθῃ Gesnerus in marg.

8.

[a] Deest lemma Gesner. locus Trinc.

1.

[a] Malim εἰς. Gesn.

2 Βέλτιον ἐπὶ ξυροῦ ἢ ὄγκου βαίνειν μετὰ προλήψεως, διὰ τὸ ἀβέβαιον καὶ ἀστάθμητον τοῦ βίου.

3 Γῆν ὥσπερ ἐπαμησάμενοι ἄνθρωποι, ἐπὶ τὸ ἀσελγέστερον προϊούσης τῆς μοχθηρίας, κατέχεαν ἑαυτοῖς, καὶ τοῖς ἐχθροῖς γέλωτα ὤφλησαν· ὡς καὶ οἱ ἐπιγενόμενοι ὀφλισκάνουσιν.

4 Δεινὴ πέφυκεν ἡ συνήθεια κόρον ἀπογεννῆσαι, καὶ φύσιν ἐκ παραλλήλου μεταποιῆσαι.

5 Εὖ παθοῦσι τοῖς φίλοις, οἱ πολλοὶ ἥδονται· δυσπαθοῦσι δὲ εὐαρίθμητοι συμπάσχουσι, κακῷ τὸ κακὸν παρηγοροῦντες.

6 Ζωὴν ἀμείψασθαι χειρίστης τὴν κρατίστην, ἐπιπονώτερον.

7 Ἠλιθιότητος οὐχ ἧττον ἢ κενοσπουδίας, τὸ ὑπεκλύειν τὸ ἀνακεχωρηκὸς τοῦ θυμοειδοῦς ἐν τοῖς [a] περιπάτοις.

8 Θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο.

9 Ἰατρεύειν δεῖ τοὺς ἀναφέροντας καὶ μὴ, μή πως οἱ μὲν πρὸς τὴν αὐτὴν νόσον, οἱ δὲ τὴν ἐπὶ θανάτῳ βαδίσωσι.

10 Κράτιστον μὴ μᾶλλον ὑπ' ἀγχινοίας, ἢ ἀρετῆς ἐγκαλλωπίζεσθαι.

11 Λίαν εὖ βεβηκότων ἀνδρῶν, τῶν ἀκλινὲς τὸ τῆς ψυχῆς ὄρθιον ἐν τοῖς δεινοῖς διαφυλαττόντων.

12 Μέγιστον μὲν καὶ θεοῦ μόνον τὸ ἀνάλωτον· γενναίων δὲ τὸ καὶ μετὰ τὸ ὑπὸ τῆς ἁμαρτίας [a] ἀρχθῆναι, ἐν τῷ παραχρῆμα ἀνενεγκεῖν.

13 Ναῦν ἐξ ἑνὸς ἀγκυρίου, καὶ ἐκ μιᾶς ἐλπίδος πρὸς τὸν λιμένα τῆς ἀπαθείας, οὐ καθορμίζομεν.

7.

[a] Al. περιπέζοις nullo sensu. Gesner.

12.

[a] Al. ἀχθῆναι. Gesn. Supra καὶ θεοῦ μόνον om. Trinc. ubi ἀνάλαστον pro ἀνάλωτον.

14 Ξένον χρὴ πάντα τρόπον τῶν γλαφυρῶν θεαμάτων τυγχάνειν, καὶ μετέωρον σκιατροφίας, μή πως ὑφ' ἡδονῆς ἀρθέντα, ἐπίσημον σχεῖν τὴν πονηρίαν.

15 Οὐ χαλεπὸν τοσοῦτον αὐτοῖς πληρώμασι καταδῦναι ναῦν ὅσον ὑπέραντλον αὐτὸν τοῖς πάθεσιν ἀπειρηκότα τῷ βυθῷ τῆς ἀπωλείας καταβαπτίσαι.

16 Πᾶν ὃ τιμῆς τε καὶ τιμωρίας κατὰ τὸ ἴσον ἀφέστηκεν, οὔπω ἀρετή.

17 Ῥαστώνης τὴν ἀκμὴν παραιρεῖσθαι, κακίας ὑποπιμπλώσης, καὶ διωλύγιον τὸν ὄλισθον παρασκευαζούσης.

18 Σαινόντων παρασίτων ἐπ' ἀρρήτοις καὶ ἀνωνύμοις αἰσχρουργίαις, καὶ ὡς τὸ πολὺ καταγοητευόντων, μὴ ἐπιστρέφεσθαι.

19 Τὸ μὲν δυσωπεῖσθαι τὰς τῶν φίλων συνουσίας εἰς δυσμένειαν ἀποτελευτώσας φυλάξασθαι οὐ ῥᾴδιον [a] προπολλοῦσαν ἰδεῖν. Ἐπηλυγαζόντων τὸ ἀμύνασθαι τὸ δὲ τὰς τῶν διαφόρων.

20 Ὑψιτενεῖν, μὴ ὑπερφρονεῖν, τῶν σωτηρίων ὁδῶν ἐπιλαμβανόμενον.

21 Φεύγειν δεῖ πάντα τρόπον τὰς σκολιὰς, καὶ πρανεῖς· τὰς δὲ ἀποτόμους καὶ ὀρθίους τρίβους ἀσπάζεσθαι.

22 Χαλεπὰ τὰ καλὰ, τὰ δὲ κακὰ οὐ χαλεπά.

23 Ψυχὴν ὅτι μάλιστα τῆς τοῦ σώματος βδελυρίας χωρίζειν. ὅτι πᾶσα ἀνάγκη τὴν τούτων συμπάθειαν [b] ἀποικονομεῖσθαι.

19.

[a] Locus non est integer. Gesn.

[b] Al. πρὸ πολλοῦ συνιδεῖν et al. post φυλάξασθαι punctum notatur. Gesn.

23.

[a] Al. τούτου. Gesn.

[b] Forte ἀποικοδομεῖσθαι. Gesn.

24 Ὥρας χρὴ ἀπεριμαχήτως ἡρηκέναι. Τὸ γὰρ περιεῖναι αὐτὰς, κινδυνεύει, μὴ οὐχὶ ἐπ' ἔσχατον κακόν· [a] ὥσπερ αὖ κατὰ τὸ ἐναντίον χωρῆσαι.

[a] ἅπερ Trinc.